(1) Nuncius apost. tunc ad Belgas Aleander erat.

ex aula caesarea ad me dedita opera cursorem misit cum litteris quibus significabat reverendissimum ·D· Card. Dertusensem (1), coreuli et animae Paternitatis vestrae dimidium, summum Pontificem esse factum. Ego, reverende Pater (ut vere et ingenue fatear) principio non potui lacrymas etiam profusissimas cohibere; mox in laetitiae et exultationis vocem prorumpens, coram multis qui me visitaverant, exclamavi : *a Domino factum est istud*, etc. *Haec dies quam fecit Dominus*, etc. Pontificem habemus absque ulla ambitione in absentia electum, et talem quo Pontifice nullus melior, nullus integrior, nullus sanctior, nullus doctior nobis dari, sed ne optari quidem poterat. Pontificem habemus, patrem omnis probitatis, fontem omnium doctrinarum, studiorum decus, studiosorum patronum, et felicissimis atque sanctissimis optimi Caesaris nostri votis omnino accommodatum. Postremo cum mecum cogitarem, cui potissimum istam animi mei laetitiam aperirem, non fuit mihi difficile inventu, occurrit enim mihi statim reverenda Paternitas V., cui istam promotionem non minus gratam esse certo scio, quam ipsimet Pontifici novo ; optime enim novi quam sit Paternitas V. de eo benemerita ; novi quantum ipsa eum amabat, quantum ab eo redamabatur, adeo ut unam animam in duobus corporibus quamvis absentibus merito quis dicere potuisset. Ea propter quam possum maxime, reverendae P. V., immo verius universali ecclesiae, quae talem moderatorem habebit, tantam felicitatem gratulor ; et mihi summopere gaudeo tum aliis innumeris de causis, quas longum esset scribere, et aliâs coram referendas mihi reservo ; tum quia ecclesia

(1) Agitur de Hadriano ·VI·, qui ianuario mense anni ·M·D·XXII· pontifex maximus processit.

nostra leodiensis, cuius ipse canonicus erat, plurimum inde et ornamenti et commodi adsequetur. Deinde quia ratione bibliothecariatus mihi ad vitam commissi, etiam peculiaris meus est patronus. Postremo quia Lutheranos et alios haereticos, in quibus oppugnandis tot labores (teste orbe universo) sustinui, tot ignominias passus sum, tot discrimina incurri, vere sanctissimus iste Pontifex, caelitus nobis datus, exradicitus extirpabit. Nec immerito; fuit enim a Lutheranis etiam ignominiose habitus; et labores meos non irremuneratos diu permittet. Ad quod reverenda P. V. (ut spero) mihi optimum patrocinium praestabit; utpote quae probe meminit, quam semper sibi bonus et obediens fuerim servitor et cliens, tanto animi affectu, ut non semel ipsi dixerim, quod vaticinium dubio procul ex cordis observantia proveniebat, me visurum eam brevi Cardinalem; quod tempus iam prope est (1). Bibliothecam palatinam Pontificis, thesaurum incomparabilem, commendare superfluum est. Sed quaeso ne domus mea utraque, quas multis pecuniis in palatio aedificavi, ullo pacto aut occupentur aut contaminentur. Et hoc si forte D. Ioh. Matthaeus (Gibertus) eas iam dimiserit, in cuius manibus eas optime conservatas et custoditas esse non dubito. Spero me aliquando et non semel visurum Pontificem nostrum in sua bibliotheca suis sanctissimis manibus felicissimos libros, quos plurimi semper fecit, evolvere. Reverende domine mi, quaeso ne patiatur P. V. me excommunicari ab heredibus quondam Willelmi Petri ob XXV ducatos reliquos a me debitos; sed ipsamet de suo reddat, et eos ex salario bibliothecae sibi accipiat. Certe iniquum es-

(1) Reapse Henchenvortius unicus Cardinalis ab Hadriano iam supremum aegrotante creatus fuit.

set valde, si dum pro romana Sede sanguinem meum ita expono, ut non potuerim res meas privatas curare, tandem pro praemio in compitis palam excommunicatus et diris devotus exponerer, idque vidente et permittente Paternitate V., cuia nunc interest in primis christianam rempublicam magna in parte curare, et summi Pontificis onera vicariis interdum laboribus suscipere. De reliquiis lutheranae haeresis, ad quas nunc pro virili et officio meo extinguendas accessi, scribam per proximum cursorem ad R. P. V., quam Deus ·O·M· cum novo Pontifice vicario suo diu incolumem et felicem conservare dignetur.

5. Iohanni Petro Caraffae episcopo Theatino (1).

Quum primum hesterno vesperi abs te decedens dudum rediissem, evolvi lucubratiunculas quasdam meas, ut viderem quid in ea re, de qua heri colloquebamur, aliâs observavissem. Deus bone! quam sum indignatus istis basiliscis, qui omnia veneno suo inficere conantur! In nullo graecorum codicum, qui diversis locis antea impressi circumferuntur, sed ne in manu quidem scriptis, quos adhuc videre potui, illud ὀπίσω μου Matth. IV. habetur, sicut in tuo isto quem heri proferebas, tam tenuibus illis et decoloribus atque adeo illegibilibus typis excuso, quamvis forsan quantum ad sensum attinet non absque mala istorum malitia depravato; quod vel ex eo cognoscas quod Origenes, atque eum plerique omnes secuti postea sancti interpretes locum hunc maxime perpendunt, quod non Satanae sicut Petro dixerit Dominus. Solus Theophylactus, is saltem quem latinum fecit haereticus Oecolampadius

(1) Hic postea Paulus IV. PP. fuit.

(graeci enim nunc copiam non habeo) verba quidem illa in Matthaeo adducit, attamen cum non enarret, sed neque Chrysostomus, a quo omnia Theophylactus praecidens in compendium redegit, dubio procul censendum est, verba illa duo ὀπίσω μου in Theophylacti codicem alicuius graeci scioli arrogantia pridem fuisse intrusum; idque quia Theophylactus aliàs exponens verba Domini ad Petrum, *vade post me Satana*, tam Matthaei ·XVI· quam Marci ·VIII· utrubique iisdem fere verbis, *vade post me*, ne repugna, inquit, sed sequere voluntatem meam, ne obsistas, ne reluctéris, neve impedias, sed pone me sequaris; non praetermissurus inenarratum priorem Matthaei locum, si et illic ὀπίσω μου in suo codice habuisset. Non me praeterit divum Augustinum alicubi hunc locum *vade retro Satana*, omisso pronomine adducere, quod tametsi sensum non minus rectum et orthodoxum prae se ferat, quamvis omissa utraque dictione, in huiusmodi tamen dubitationibus, vel ipsius sancti patris decreto, graecorum codicum incorruptae fidei standum est, accedente praesertim tot priscorum et optimorum interpretum consensu. Expungendae igitur sunt tam e tuo graeco codice, quem heri legebamus, quam de latino ad huius exemplum corrupto adulterinae istae dictiones. Atque adeo ubi videres pluscula inesse alia in hunc modum depravata, uterque esset omnino supprimendus (1). Quamvis enim ista tibi qui scientias et linguas calles, ac veterum et eorum bonorum exemplarium copia abundas, non admodum noceant, aliis

(1) Reapse verba ὀπίσω μου Matth. IV. 10. desunt in antiquissimo et celeberrimo vaticano 1209. Omiserunt etiam Millius et Birchius in suis criticis editionibus, quorum, et praesertim Millii, videsis adnotationes.

tamen, qui istis praeclaris gratiis carent (horum autem quam magnus est numerus!) non periculum modo sed et manifestissimam perniciem afferre possunt. Bene vale.

Addo iam epistolae longioris an. ·M·D·XXXVI· datae excerptum, quo sua erga S. Sedem rom. merita Aleander enumerat. Et hanc autem et praecedentes cunctas epistolas ante Cardinalatum scripsit.

6. Paulo ·III· Pontifici maximo.

Inserviebam ego Sedi apostolicae, cum Patavii, cum Lutetiae Parisiorum, cum in aliis christiani orbis gymnasiis diu studendo, et publice linguas et disciplinas profitendo, has litterulas mihi comparabam quibus postea Sedes ap. saepe usa est. Inserviebam Sedi ap. cum rector parisinae academiae factus, dato nobis a rege christianissimo Ludovico, super discutienda auctoritate conciliabuli pisani, negotio, illius et deprimendi et dissolvendi praecipuus auctor et adiutor fui, quod vel nunc publicis et legitimis documentis probare possum. Inserviebam Sedi ap. cum in conventu imperiali Vormatiae habito, magno vitae meae discrimine tot haereticorum millibus obiectus, praeclarum illud Imperii edictum, ap. Bullae qua Lutherus haeresiarcha condemnatus fuerat executoriale, orando et disputando sum adsecutus. Inserviebam denique Sedi ap. cum in aliis postea Imperii conventibus (quos diaetas Germani vocant) adversus haereticos, et postremo Viennae adversus Turcas apud Carolum Caes. aug. et Ferdinandum Sedis ap. nuncius tot tantisque vitae periculis pectus exposui. Ut omittam quae in castris gallicis ad Ticinum nuncius item ap., cum christianissimo rege captus, quae in aliis legationibus pro sede ap. sum passus *etc.*

ΣΥΝΑΓΩΓΗ ΚΑΙ ΕΞΗΓΗΣΙΣ

ΩΝ ΕΜΝΗΣΘΗ ΙΣΤΟΡΙΩΝ

Ο ΘΕΙΟΣ ΓΡΗΓΟΡΙΟΣ

ΕΝ ΤΟΙΣ ΕΜΜΕΤΡΩΣ ΑΥΤΩ ΕΙΡΗΜΕΝΟΙΣ

ΕΚ ΤΕ ΤΗΣ ΘΕΟΠΝΕΥΣΤΟΥ ΓΡΑΦΗΣ

ΚΑΙ ΤΩΝ ΕΞΩΘΕΝ ΠΟΙΗΤΩΝ ΚΑΙ ΣΥΓΓΡΑΦΕΩΝ.

ΚΟΣΜΑ ΙΕΡΟΣΟΛΥΜΙΤΟΥ

ΠΟΝΗΜΑ ΦΙΛΟΓΡΗΓΟΡΙΟΥ.

COLLECTIO ET INTERPRETATIO

HISTORIARUM QUARUM MEMINIT

DIVUS GREGORIUS

IN CARMINIBUS SUIS TUM EX S. SCRIPTURA

TUM EX PROFANIS POETIS ATQUE SCRIPTORIBUS.

OPUS

COSMAE HIEROSOLYMITANI

COGNOMENTO PHILOGREGORII.

Τοὺς βυθίους διφήτορας τῶν θαλαττίων μυχῶν, τοὺς κευθμῶνας διφωμένους, εὐθαμῶς ἀνακωχεῦσι τῆς προθυμίας οἱ παρεπόμενοι κίνδυνοι, τῶν ἐν ἐλπίσι κειμένων ἐπιτυχιῶν, δευτέρας τιθεμένους τὰς ἀτυχίας, καὶ τὸ ἔκ τινος χαλεπῆς συγκυρίας ἐπισυμβαῖνον, κουφότερον ἅπαν εἶναι νενομικότας· ἀμέλει τὸν πολύτιμον ἔσθ' ὅτε μαργαρίτην ἀνι-

μώμενοι, καὶ τοῖς ἐπιγείοις βασιλεῦσιν ὄλβον προσκομίζοντες τὸν τριπόθητον, ταύτῃ μείζοσιν εὐδοξίαις ἀντιτιμῶνται· πολλάκις μὲν οὖν καὶ τῶν εὐτελεστέρων ἕνεκεν, ὅπως τῆς αὐτῆς ἔχονται προθυμίας, οὐδὲ πρὶν ἢ τῶν ποθουμένων κατατύχειεν ἀπολήγουσιν· ἐγὼ δὲ τῆς μὲν ἐκείνων εὐψυχίας οὐκ οἶδ' ὅπως ἂν ἐμαυτὸν ἢ πλέον ἀντιμετρήσας, εἶτ' οὖν καταδεέστερον, ἀφεὶς λέγειν τὴν ἴσην ἐκείνοις ἐκ μεγαλοψυχίας ἐλείμμην εὐδοξίαν· ἄρτι δέ μοι τοῦ ἰωνίου πυθμένος εἴ τις ἐστὶ, τοῦ πληρώματος δὲ μᾶλλον εἰπεῖν οἰκειότερον τοῦ οὐρανίου, φημὶ δὲ τῶν Γρηγορίου λόγων τὸν πολύτιμον μαργαρίτην ἀρυομένῳ, καὶ τῶν ἐνδομύχων θησαυρῶν τὸν ἐγκόλπιον πλοῦτον παραγυμνοῦντι ἐπιστὰς, μή μέ τις οἰήσηται τούτων χάριν οὐκ ἀγεννῶς βεβουλεῦσθαι, ἀλλὰ καὶ μάλα γε μὴν νεανικῶς, ὅτι καὶ λίαν ὀρθῶς φιλοδικάσας· εἰ γὰρ δή που τοῦ τῆς εὐφροσύνης κεράσματος κονδυχρυσεῦν ὁ λόγος προὔθηκε τὸν Γρηγόριον, καὶ μυρίπνοον ἄγγος τὸ πνεῦμα τοῦτον κατεσκεύασε τὸ πανάγιον, ἥ τε χάρις ἑπτάκαυλον ἔθηκε πάντοθεν σελασφορούμενον λαμπάδιον καὶ πυρσεύμενον, οὐ μικρὸν εἰς εὐδοξίαν τὸν ὁπωσοῦν εὐφροσύνης κρατῆρα μηδαμῶς χρηματίσαντα· τὸ γοῦν κιρνᾷν τοῦ κρατῆρος τὴν εὐφροσύνην, οὐδ' ἂν οἶμαί τις ἀποφαυλίσαιτο, μύρον μὲν οὐχ ὑπάρχοντα, τῷ μυριπνόῳ δὲ παρεπόμενον· οὐχ ἧττον γὰρ τῆς εὐωδίας ἀντιλήψεται, τὸ σελασμώντειον εὖ εἰδὼς, ὄπισθ' οὗ φάσκον εἰς ὀσμὴν μύρων σου δραμοῦμαι· καὶ μέν τοι τῷ λαμπαδίῳ τὸν προσψάυοντα μὴ τῆς λαμπρότητος μετασχεῖν, τῶν ἀμηχάνων· οἷς μὲν οὖν ἀναξίοις περ ὄντοιν ἡμῖν ἐτίμησεν ὁ θεὸς ταῖς ἐκείνου μεσιτείαις, τοῖς ἀφθόνως μετέχουσι σωτηρίως ἐγνωρίσθημεν, καί γε μειζόνως εὖ ἴσμεν φανησόμεθα· τὸν

δὲ τῆς εὐεργεσίας μισθὸν εἰς ὃν ἀνταμείβεσθαι πρέπον ἐστὶ τῆς προθέσεως ἡμῖν, τῶν μάλιστα τουτωνὶ τῶν καλῶν κοινωνεῖν ἡμῖν ἐθελόντων ἔκαστος ἀποδίδοται· μανθανέτωσαν γάρ, φησιν ὁ θεῖος ἀπόστολος, ἀμείβας ἀποδιδόναι· τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος ἡμῶν θεοῦ.

Τοιγαροῦν ὅπερ ἂν εἰς Γρηγόριον εὕφημον εἴποι τις ἢ δράσει τοῖς ἐκείνου λόγοις ἀβρυνόμενος, εἰς Χριστὸν καὶ λέγει καὶ δρᾷ· Χριστοῦ δὲ τιμὴ, πατρός ἐστι προδήλως τοῦ γεννήσαντος· ὁ μὲν οὖν Γρηγόριος, τὸ θεολόγος εἶναι τε καὶ καλεῖσθαι, λελόγχε κατ' ἀξίαν· ἄλλοι δὲ καὶ μόνον γρηγοριολόγοι γεγονότες, ἦραν τὸ κλέος· ὁ γὰρ λαλῶν τὰ Γρηγορίου, λαλεῖ τὸν Χριστόν· Χριστοῦ δὲ λάλησις θεολογία σαφὴς· θεολογία δὲ τριάδος ἐστὶν ἀψευδεστάτη, παρ' ἧς ἐκείνῳ τὸ λαλεῖν ἐνήργηται, καὶ δι' οὗ λαλεῖσθαι τεθέσπικεν· ἡμῖν μὲν οὖν τὰ μὲν πρῶτα τὸ σπουδαζόμενον ἦν, τοὺς Γρηγορίου λόγους ἐς ταυτὸν ἀθροίσαι, τοὺς ἐμμέτρως αὐτῷ φημὶ πεποιημένους, ἔπειτα μιᾶς φαινομένης ἐν ἀντιφράσεσι βίβλου, καὶ τὰς ἄλλας τοῖς ἐντυγχάνουσιν εὐλήπτους ἐφάμιλλον καταστῆσαι, τὰς μὲν λέξεις καταμερίζειν ἐπιτηδεύσαντες, καί γε τοῦ εἰκότος οὐχ' ἁμαρτόντες, αὖθις τὸ διελεῖν τὰς συντάξεις, καὶ τούτων καθ' ἑκάστην παραθέσθαι τὴν ἐξήγησιν, τὸ διά τινος πρὸς τούτοις εὐφυοῦς σημασίας τοὺς στίχους μὴ φυρομένους, αὐτοῖς μὲν τὴν εὐκοσμίαν, τῇ δὲ συντάξει τὴν ἁρμονίαν, καὶ τῇ ἐξηγήσει τὸν ἀπαρτισμὸν περιποιῆσαι· τὸ δὲ πάντων ἐμοὶ δοκεῖ τοῖς ἐντυγχάνουσι προσφιλέστερον, τοῦτο δὴ τὸ πλατυτέρως τὰς ἱστορίας διεκφάναι· τοῦτο μὲν οὖν βουλευθὲν, εἰς ἀμηχανίαν ἀψευδῶς, εἰρήσεται γάρ, κατέστησεν ἡμᾶς

πρὸς τὸ πλῆθος τῶν ἱστοριῶν ἀποβλέψαντας· οὐ γὰρ ᾠήθημεν ἐξαρκεῖν πρὸς τοσοῦτον, ἀλλ' ὅμως τῶν ἐλπίδων τοσοῦτον ἐτύχομεν, ὡς μὴ δὲ σχεδαρίοις δεῆσαι προτυπῶσαι· ἀλλ' ἅμα καὶ παρεκβάλλειν καὶ σχεδιάζειν, καὶ μὴ δὲ ταῖς ὄθεν ἐχρῆν τὸν νοῦν τῆς ἱστορίας λαβόντας παρατίθεσθαι βίβλοις ἐπικύπτειν, ὥσπερ βίβλου παρούσης, καὶ γραμματέως παρεστηκότος· οὐ γὰρ ἂν ἀσράτως αὐτὸν ἀπιστήσαιμ' ἄν, τὸν δι' ὃν ἡμῖν παρεῖναι τὸ σπευδαζόμενον· οὐδὲν τοιγαροῦν ἀνήνυτον ἡμῖν τῶν εἰς Γρηγόριον μέχρι δεῦρο βεβουλευμένων, ταῖς ἐκείνου πρεσβείαις τεθαῤῥηκόσιν· ἐπεὶ καὶ τὰς λέξεις ἡνίκα στιχηρᾶς ἐπεμερίζομεν βίβλου, οὐδὲ μέχρι λέξεως διημάρτομεν, καὶ τὰς ἀντιφράσεις ἐκ τοῦ τῆς ἐννοίας εἱρμοῦ παραθέμενοι, καί περ τότε τυγχάνοντες ἄπειροι, τῆς ὀρθότητος οὐκ ἐσφάλημεν· ταύτας ἔπειτα παλλιλεξίαις γυμνάσαντες· καὶ τὸ θαυμαστὸν ὅτι μετὰ τὸ γράφειν ἐρωτώμενοι ἠπορεῦμεν, εἰ μὴ πόνῳ καὶ σχολῇ μετέπειτα μεμαθήκαμεν, ἅπερ ἀπόνως αὐτοσχεδίως γεγράφαμεν· τοσαῦτα Γρηγόριος ἡμῖν, μᾶλλον διὰ τοῦ Γρηγορίου θεὸς, ταῖς τοῦ θεράποντος πρεσβείαις πειθόμενος εὐμενέστατα· μέλι μὲν τὸ γλυκύτατον καὶ πᾶσι προσφιλέστατον, ὀστρακίνῳ σκεύει καταθέμενος, ἢ χρυσὸν ἐγκαταθήσας ἐσθῆτος εὐτελοῦς ἐῤῥικνωμένῳ τριμήματι κοπρισυλλέκτῳ, μονονουχὶ δὲ τοῖς ὠσὶν ἐπιβοώμενος, γεύσασθε τῆς γλυκύτητος τοῦ μέλιτος κορεσθέντες, καὶ τὸ σκεῦος συντρίψατε· ὀστράκινον γὰρ καὶ λίαν εὐτελὲς· ἐμφορήθητε τοῦ ἐντὸς, καταπτύοντες τοῦ ἐκτὸς· δέξασθε λύσαντες τὸν χρυσὸν, τὸ δὲ ῥάκος ἐν ᾧ περισφίγγεται, παρικτρώσατε· τοῖς ὑμετέροις ἐντίμως ἀπόθεσθε ταμείοις τὸν πλοῦτον, τὸ ῥυπῶδες ῥάκος εἰς ἀτίμους μαγείρων ἀποῤῥίψαντες χεῖρας· οὐκ ἔμ-

φρονος γὰρ ὀστρακίνῳ προσφερόμενον ἀποπέμπισθαι σκεύει, τὸ γλυκύτατον μέλι καὶ ῥωστικὸν, οὐδὲ χρυσὸν ἀποσείσασθαι ῥάκει προσαγόμενον εὐτελιστάτῳ· εἴξατε Γρηγορίῳ, Χριστὸς φησὶ, τῷ ἐμῷ, δι' ὧν ὑμῖν ἐπιγίνεται· κἂν ὅτι μάλιστα μέγιστος ὢν, οὐκ ἀπάξει λαλεῖσθαι δι' εὐτελῶν· εὐ γὰρ ἐκεῖνος, ἐγὼ δέ φησιν ὁ λαλούμενος, ὃς τοσοῦτον ὢν ἀγαθὸς οὐδὲ τοὺς κακοὺς ἀποπέμπομαι, δίδωμι δὲ καὶ χάριν τοῖς αἰτοῦσι, κἂν ὅτι λίαν ὦσι τῶν εὐτελῶν. Αὕτη ἡ βίβλος ἱστοριῶν Γρηγορίου τοῦ Θεολόγου, μαργαρίτης δὲ ὄνομα ταύτῃ.

Πάντων δὲ μέχρις ἐσχάτου χιτῶνος καὶ σπείρατος, ὤνιον ἀντιλάβοιτο τοῦτον ἔμπορος, ὅς τις πυκνὸς τὰ βουλεύματα καλῶς εἰθὼς πραγματεύεσθαι, τοῖς τῆς ἰδίας ἐνστερνισάμενος δὲ καρδίας ἐναποθήσει ταμείοις, ὡς ἂν κεκτημένος μόνον πλοῦτον παρὰ πάντας, ἀπὸ πάντων δόξαν σχεῖν μεγάλην· βίβλος ἱστοριῶν ὧν ἐμνήσθη Γρηγόριος ὁ Θεορήμων, ἐν τοῖς ἐμμέτρως αὐτῷ εἰρημένοις, ἔκτε τῆς Θεοπνεύστου γραφῆς καὶ τῶν ἔξωθεν, κατὰ τὸν προτεταγμένον εἱρμὸν· πρῶτον μὲν οὖν σημειώσασθαι χρὴ ὡς ἑκάστου λόγου καθ' εἱρμὸν εἰσὶν ἰδιοτρόπως αἱ ἱστορίαι· καὶ γὰρ ἕκαστος καθ' ἑαυτὸν μετὰ τῶν οἰκείων ἱστοριῶν ἀφώρισται· σημεῖον δὲ τῆς διαφορᾶς ὅθεν παρῆκται ἡ ἱστορία, τοῦτό ἐστι κατὰ κεφαλῆς, αἱ μὲν τῆς θείας γραφῆς ἔχουσι τὴν κατ' ἔθος νυγμήν· αἱ δὲ τῶν ἔξωθεν ὁμοίως, τὸν κατ' ἔθος ὀβελίσκον ὑπὲρ κεφαλῆς· ἐν δὲ τῇ ἐξηγήσει, πρόθηλός ἐστιν ὁ λόγος ἐν ᾧπερ ἡ ἱστορία· πᾶσαι δὲ καθ' εἱρμὸν ὑποτεταγμέναι κεῖνται προτεταγμένου τοῦ σίχου, δι' οὗ τὴν ἱστορίαν παρήγαγεν ὁ Θεορήμων Γρηγόριος· σκοπῶ δὲ τὰ τοῖς παιδευομένοις εὔληπτον καταστῆσαι τὸ πραττόμενον.

Τρισσὴν γὰρ ἐντεῦθεν ὠφέλειαν ὁ Γρηγορίου ταῖς βίβλοις ἐντυγχάνων καρπεῦται· πρῶτον τὴν πεῖραν τῶν λέξεων καὶ τῆς καλλιεπείας τὴν μεῦσαν· δεύτερον τὸ μετὰ τῆς καλλιεπείας ταῖς θείαις καὶ οὐρανίαις ἐννοίαις εὐρανοπορεῖν συγγινόμενον, καὶ πάντα τοῖς νοεροῖς ὄμμασι βλέπειν, ὅσα καθ' ὑπερουρανίου στερεώματος μέχρις αὐτῆς, εὐμενὴς γενοῦ μου Χριστὲ, τῆς πρώτης ὑφ' ἑαυτῆς καὶ μόνης γνωριζομένης ἀκτῖνος, τῆς τρισσοφανοῦς ἐν μιᾷ φωτὸς μαρμαρυγῇ συνερχομένης θεότητος, λέγω δὴ καὶ τῶν μετ' ἐκείνην καὶ παρ' ἐκείνης τὰ δεύτερα τῆς φωταυγίας κεκληρομένων, οὐρανοῦ τε μὴν αὐτοῦ καὶ τῶν ἐν αὐτῷ θεουργικῶς ἱδρυμένων· γῆς τὲ καὶ θαλάσσης, καὶ τῶν ἐν αὐτοῖς ζώων τὲ καὶ καθύγρων, ἐναλίων, χερσαίων, ἀμφιβίων, ἀερίων, μέχρις αὐτῶν ὑποχθονίων, καὶ τῶν ἔτι· τρίτον δὲ τὸ ταῖς ἱστορίαις ἐντυγχάνειν, καὶ τῇ προγραφῇ τῶν στίχων ὀξύτητι νοὸς πρὸς πᾶσαν ἀνατρέχειν τὴν κατασκευὴν, καὶ τῇ τῶν ἱστοριῶν ποικιλίᾳ τέρπεσθαι κατὰ ψυχὴν ἡδόμενον, καὶ πεῖραν συναθροίζειν, καὶ πρὸς τὸ λέγειν γυμνάζεσθαι, πάντων τὲ τῶν ἀπ' αἰῶνος θαυμαζομένων πειραθῆναι, καὶ τῆς τοῦ θεοῦ περὶ πάντα προνοίας τὲ καὶ διεξαγωγῆς, καὶ τῆς εἰς ἡμᾶς ἀνεκφράστου φιλανθρωπίας τὸ μέγεθος ἐπιγνῶναι· δι' ὧν ἁπάντων ἐπιτυχεῖν δύναιτ' ἂν τοῦ θεοῦ, φῶς γὰρ ὁ θεὸς, ἐν δὲ τῷ φωτὶ τῆς γνώσεως, ὄψεταί τις φῶς· ταῦτα μὲν τοῖς φιλογρηγορίοις, οὓς καὶ φιλοθέους ὁ τῆς ἀληθείας σαφῶς ἐξεπίσταται λόγος· αὖθις δὲ πρὸς ἄλλο βλέψομεν πόνημα ταῖς Γρηγορίου πρεσβείαις τεθαρρηκότες· ἔστι δὲ τὸ συναγαγεῖν ἐς ταυτὸν ἅς περ αὐτὸς μέμνηται φυσιολογίας· εἶθ' ἑξῆς ὅσα περὶ διχρόνων καὶ τέχνης καὶ ποιότητος στοιχείων συμφώνων, καὶ διαρέσεως φωνήεντων, καὶ ἄλλων ἐνρμάτων

διαφόρου σημασίας, ἐπιχωρίων τε λέξεων ἀττικῶν, καὶ ἐπιτεταδιευμένων, καὶ τῶν ἐξ ἐτύμου συγκειμένων, καὶ τῶν διασυρτικῶν ἐκπληκτικῶν, δυσφραστικῶν, σχετλιαστικῶν, τῶν τε συναλυσῶν τῇ ὑποκρίσει, ἐκπεπῶν, ἐλλείψεων, συναλειφῶν, καὶ ὧν παρὰ πᾶσαν τὴν τῶν ἑλλήνων συνήθειαν οἱ ἀττικοὶ κέχρηνται, τῶν τε συντόμων ἐν τοῖς ἔργοις, καὶ τῶν ἀνθ' ἑνικοῦ πληθυντικῶς λεγομένων ἐπιζεύξεων, ἀντὶ δὲ τοῦ παθητικοῦ ἐνεργητικῶν, τῶν τε ἐπιτρεπτικῶν ἐν τῷ μὴ παρόντος τινός, τῶν τε ὑφ' ἓν καὶ τῶν συνθέτων, καὶ τῶν ἐπὶ τὸ λίαν κἀπὶ τῶν ἀδυνάτων λαμβανομένων, τῶν τε δισσῶς καὶ τρισσῶς ἐκφερομένων, ἰσοτύπων τε καὶ ἰσοδυνάμων, καὶ τῶν ἑβδομηκονταδύο τῆς ποιήσεως τρόπων, τῶν τε ἑβδομήκοντα τεσσάρων τῆς ῥητορικῆς τρόπων, τὰ προειρημένα πάντα παρεκβάλλοντες ἰδιοτρόπως, ἔκ τε τῆς θεοπνεύστου γραφῆς, καὶ τῶν λόγων τοῦ θείου Γρηγορίου.

ΚΟΣΜΑ ΜΟΝΑΧΟΥ
ΑΓΙΟΠΟΛΙΤΟΥ ΦΙΛΟΓΡΗΓΟΡΙΟΥ
ΙΣΤΟΡΙΑΙ.

ΛΟΓΟΣ Α.

ΠΕΡΙ ΤΟΥ ΚΑΘ' ΕΑΥΤΟΝ ΒΙΟΥ.

1. Χριστὲ ἄναξ ὃς ἁγναῖς ποτ' ἀειρομέναις παλάμῃσι,
2. Σταυροτύποις Μωσῆος ἐπ' οὔρεϊ σοῦ θεράποντος,
3. Ἔκλινας Ἀμαλὴκ ὀλοὸν σθένος.

Τῆς Αἰγυπτίων πρὸς τὴν τῆς ἐπαγγελίας γῆν ἐπειγομένῳ τῷ Ἰσραὴλ κατὰ τὴν ἔρημον πρῶτος Ἀμαλὴκ συναντᾶται, ἔθνος πρῶτον τῇ γραφῇ κατονομαζόμενον· ἀρχὴ γάρ φησιν ἐθνῶν Ἀμαλὴκ· ἢ διὰ τὸ πρῶτος τὸν Ἰσραὴλ πολεμῆσαι· ἢ τὸ πρῶτον ἐν ἔθνεσιν ὑποστῆναι τοῦτον διαρπάζοντα τοὺς εἰκὸς τοῦ λαοῦ καθυστεροῦντας, εἰς παράταξιν Ἰσραὴλ ἀντικαθίσταται· τῆς γοῦν μάχης ἐφ' ἱκανὸν διακρατούσης, ὁ Μωϋσῆς προφήτης δὲ καὶ τοῦ λαοῦ καθηγούμενος, οὗτος σταυροτύποις χερσὶ τροποῦται τὸν Ἀμαλὴκ· συνέβη δὲ τῷ μὲν ταῖς χερσὶν ἐπαιρομέναις εἰς ὕψος, τὸ τρόπαιον συνεπαίρεσθαι, καθηκομέναις ὥσπερ οὖν συγκαθήκεσθαι· ταύτῃ τοι τὸν Ἀαρὼν καὶ Ὢρ προφήτας καὶ αὐτοὺς ὄντας, ἐπί τινες βουνοῦ τοῦ Μωϋσέως ἀμφοτέρωθεν τὰς χεῖρας ὑποστηρίζειν· τύπος δὲ τοῦτο τοῦ σωτηριώδους πάθους· εἶτα δὲ καὶ λίθοις ἐπιθέτοις ἐπερείδειν, μέχρι παντελοῦς τῶν ἐναντίων τροπῆς· καὶ τῆς μὲν μάχης σταυρό-

τυπον σχῆμα προηγεῖτο· τῶν μαχομένων δὲ τοῦ λαοῦ παῖς Ἰησοῦς ὁ τοῦ Ναυῆ· μέμνηται δὲ τούτων συνεχῶς Μωϋσῆς τῷ Ἰσραὴλ λέγων, ἐχθρανεῖς τῷ Ἀμαλὴκ ὅτι φησὶ τὴν ὐραγίαν σου διήρπαζεν ἐν τῇ ἐρήμῳ, καὶ οὐκ ἠλέησέ σε· ὐραγία δὲ πλήθυς ἐστὶν ὑστέρημα μόχθῳ τῆς ὁδοιπορίας κεκμηκὸς καὶ τεμνόμενον, ἢ πλάνῃ φερόμενον.

Χάσματα καὶ φρικτὰς ὀνύχων ἐπέθησας ἀκωκάς. 6.

Ἐν Βαβυλῶνι τοῦ Ἰσραὴλ καὶ Ἰούδα πρότερον ὑπὸ Ναβουχοδονόσορ καὶ Ναβουζαρδὰν τὸ δεύτερον ἀποικισθέντος, ἐμπρησθείσης τε τῆς Ἱερουσαλὴμ, τῆς τοιαύτης αἰχμαλωσίας δαυιτικῷ διαπρέποντες γένει παῖδες Ἰσραὴλ, Ἀνανίας, Ἀζαρίας, Μισαὴλ ὑπῆρχον· τούτους εὐσεβῶς κατὰ τὸν πατρῷον νόμον πολιτευομένους, προφητικῷ τὲ διαλάμποντας χαρίσματι, τῶν ἀσσυρίων οἱ προὔχοντες τοῖς βασιλεῦσιν ἐνδιαβάλλουσι, τοῖς περσικοῖς ἅτε δόγμασιν ἀντικαθισταμένους· ὁ μὲν οὖν Δανιὴλ ὑπὸ Βαλτάσαρ βασιλέως βορὰ λάκκῳ ῥιφεὶς, χεῖρας πρὸς Θεὸν διαπετάσας, τῶν ὠμοφάγων θηρῶν τά τε ἀνεῳγμένα στόματα καὶ τοὺς σπαρακτικοὺς ἐπέσχεν ὄνυχας, σῶος δὲ μεθ' ἡμέρας ἐπάνεισι τοῦ βοθύνου.

Ὃν διὰ καὶ μεγάλου ἀπὸ κήτεος ἔκθρ' Ἰωνᾶς. 7.

Προφήτης ὁ Ἰωνᾶς, ὑπὸ δὲ Θεοῦ προφητεῦσαι τῇ Νινευῇ μεγάλῃ Νίνου βασιλέως ἀσσυρίων πεμφθεὶς, φεύγει τὸ πρόσταγμα, τὴν ἐπὶ Θαρσεῖς δὲ στέλλεται θαλασσοπορίαν· κλύδωνος δὲ γεγενότος, καὶ παρὰ καιρὸν τῶν ναυτικῶν εἰσμένων τὴν ζάλην, ὑπ' αὐτοῦ τὲ μεμαθηκότων ὡς ἐκ προσώπου Θεοῦ φεύγων ἐστὶ, κλήρῳ καταδικασθέντα καὶ τῇ θαλάσσῃ βεβλημένον, ἐκ προστάγματος θείου κῆτος θαλάσσιος θὴρ ὑποδέχεται· τριῶν δὲ τοῦτον ἡμερῶν ἐν τοῖς σπλάχνοις ἄτρωτον πεφυλαγμένον, δι' εὐχῆς κἀντεῦθεν τῇ

Θεῷ προσομιλοῦντα τριταῖον τὸ κῆτος ἀπήμεσεν ἐν ξηρᾷ, μυστηρίου τύπον ὑπογράφοντα τῆς Χριστοῦ μετὰ ταῦτα γεννησομένης ἀναστάσεως.

8. Ἐν φλογὶ δ' ἀσσυρίῃ θρασέων νέφος ἀμφεκάλυψε
9. Θαρσαλέους τρεῖς παῖδας, ἐπεὶ χεῖρας ἐξεπέτασσαν.

Τρεῖς παῖδες εἰσὶν Ἀνανίας Ἀζαρίας Μισαὴλ, ὧν ἀνωτέρω μεμνήμεθα· Ναβουχοδονόσορ τοίνυν ποτὲ τοῦ βασιλέως εἰκόνα στήσαντος χρυσῆν, ᾗ προσκύνουν πάντες ὁμοθυμαδὸν ἔκ τινος συγκαλούμενοι μουσικῆς συμφωνίας, τοὺς μὴ λατρεύοντας ἀπειλουμένου προσάγματος παμφάγῳ παραδοθήσεσθαι πυρὶ, προσάγονται τρεῖς οὗτοι παῖδες· τοῦ δὲ βασιλέως πείθειν αὐτοὺς πειρωμένου, καὶ τῇ τῆς καιομένης ἐπ' ὄψεσι καμίνου τιμωρίᾳ ἐκδειματοῦντος, ἐπεὶ μὴ λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα διωμολόγουν Θεὸν, κάμινος τούτους ὑποδέχεται προσάγματι τοῦ κρατοῦντος· εἷς ἄγγελος Θεοῦ συγκάτεισιν· ἐκ δὲ πυρὸς θρόσος ἦν τοῖς παιδαρίοις· ἀλλ' οἱ μὲν ὕμνοις Θεοπρεπέσι τὸν Θεὸν μειλισσόμενοι, τῆς καμίνου πρόεισιν ἄρτιοι Θαῦμα πᾶσι τοῖς ὁρῶσι· περὶ δὲ τὴν κάμινον ἐπὶ πήχεις τεσσαρακονταεννέα ἡ φλὸξ διαχεθεῖσα, τοὺς παρατυχόντας ὄλλυσι χαλδαίους· ὅθεν τὸν βασιλέα τούτους μὴ δὲ θριξὶ τοῦ ἀκαμάτου πυρὸς συνειλημμένους ἐκπληττόμενον θεγματίσαι τὸν εἰς τὸν ἐκείνων Θεὸν βλασφημήσαντα πανοικίᾳ διόλλυσθαι.

10. Ζείουσαν ὑπεὶρ ἅλα πεζὸς ὁδεύσας,
11. Κύματα καὶ ἀνέμων μένος νώνασας.

Τοὺς μαθητὰς ἐν πλοίῳ πρεπέμψας Χριστὸς, αὐτὸς τῷ παρεπομένῳ διαλεγόμενος πλήθει, ταῖς ὄχθαις προσμένει τῆς θαλάσσης· κλύδωνος δὲ τούτους συνεσχηκότος, μέλλουσιν ὑποβρυχίοις ἀπολέσθαι· πάρεισι Χριστὸς ὀψίας, τὴν

ὑγρὰν ποσὶν ἐπιπατῶν θάλασσαν· θρεηθεῖσι δὲ καὶ κεκραγέσι προσφωνήσας τοῖς μαθηταῖς θαῤῥεῖν τὸ παρακελευσάμενος, σύμπλους ἦν αὐτοῖς τὸν μὲν σάλον κατευνάσας, ἐπιτιμήσας δὲ τοῖς ἀνέμοις, καὶ τῷ Πέτρῳ βυθιζομένῳ ἐπορέξας τὴν χεῖρα.

Πολλοῖς δ' αὖ ψυχάς τε καὶ ἅψεα λύσαο νούσων. 13.

Συλλήβδην πάντων τῶν Χριστοῦ μέμνηται θαυμάτων, ὡς ἐν διαφόροις κάμνοντες νόσοις καὶ ψυχαῖς καὶ σώμασι, τῶν θείων ἀπήλαυσαν ἄνθρωποι δωρεῶν.

Οὐδ' ὁπότ' ἀφραίνοντι νόῳ λύγον ἀμφὶς ἑλίξας. 331.

Τῇ ψυχῇ διαλεγόμενος, μεταγωγικῶς τὴν παροῦσαν ὁ θεολόγος ἱστορίαν ἐξ ὑποδείγματος παρεισάγει· φησὶν οὖν ὅτι οὔπω τῷ λογισμῷ ἀνοηταίνοντι περιέθηκα ἱμαντῶδες φυτόν· λέγεται γὰρ τοὺς ἵππους τοῦ Ἀδράστου μυρίκης ὄζῳ συσχεθέντας, τὸν Ἄδραστον ἀποβαλεῖν· ὃν εὑρὼν Μενέλαος καὶ ζωγρῆσαι βουλόμενος, οὐ συγχωρεῖται· καὶ γὰρ Ἀγαμέμνων ὁ τῶν ἑλλήνων βασιλεὺς ἐπιστὰς τοῦτον ἀναιρεῖ· μεταφορικῶς οὖν φησὶν ὁ θεολόγος ὅτι τὸν μὲν ἁλωτὸν τοῖς πολεμίοις συσχεθέντες δεδώκασιν οἱ ἵπποι, μικροῦ δέ με τοῖς πάθεσι πάρεργον παρέσχεν ὁ λογισμὸς ἀνοηταίνων, οὐκ ἔχων ὅποι στῇ τῆς ἀτάκτου φορᾶς, μὴ δ' ὑφ' οὗ τινος τοὐναντίον ἐπ' ὠφελείᾳ ψυχῆς συσχεθῇ.

Φεύγων Αἰγύπτοιο μέλαν πέδον, ἔργα τὲ πικρὰ, 354.

Καὶ Φαραὼ βασιλῆα, πάτρην δ' ἐπὶ θείαν ὁδεύει. 355.

Μέλας μὲν ὁ τῆς Αἰγύπτου φύσει χῶρος, ἔργα δὲ πικρὰ τὰ τοῖς ἑβραίοις πάλαι προστεταγμένα, πλινθοποιΐα καί τινα οἷς αὐτοὺς οἱ αἰγύπτιοι κατεδουλοῦντο· διὸ καὶ τῷ Μωϋσῇ παραγενόμενῳ τοὺς υἱοὺς Ἰσραὴλ διὰ θείου προστάγματος τῆς αἰγυπτίων χειρὸς ἐξελέσθαι, πικρότερος καθ-

ἱσταται Φαραὼ τῶν αἰγυπτίων ὁ βασιλεὺς· κατὰ γοῦν τὸν τῆς ἀναγωγῆς λόγον μέλαν πέδον, τὴν ἐν ἁμαρτίᾳ διατριβήν ὁ Θεολόγος φησὶ· Φαραὼ δὲ τὸν διάβολον λέγει· πικρὰ δὲ τὰ ἔργα, τὰ παρ' ἐκείνου τῇ ψυχῇ προσεπινοούμενα· πατρίδα δὲ θείαν, τὸν μέλλοντα φησὶν αἰῶνα, καθ' ὃν ἐπείγεσθαι τὴν ψυχὴν ὡς ἀϊδίου θέμις ταμιεῖον ζωῆς δι' ἀρετῆς καταπαύσυσαν.

356. Μὴ δὲ μένει Βαβυλῶνος ἐνὶ κρανάοις πεδίοισι,
357. Δουριαλὴς ὄχθῃσι παρεζόμενος ποταμοῖο,
358. Ὠδῆς ὄργανα πάντα παρακλίνας ἀτίνακτα,
359. Δακρυόεις σπεύδει θ' ἱερῆς ἐπὶ τέρμα γαίης.

Βαβυλῶνος τραχὺς μὲν ὁ χῶρος, ἔνθα τὸν λαὸν ἀποικισθέντα, ταῖς ὄχθαις λέγεται τοῦ ποταμοῦ καθῆσθαι, καὶ τὴν ἀποικίαν ὀδύρεσθαι, τήν τε ᾠδὴν ἐπ' ἀλλοτρίας μὴ θέλειν γῆς ᾄδειν, ἀλλ' ἀκίνητα καὶ ἀργὰ τῆς ᾠδῆς φυλάττειν τὰ ὄργανα· μετ' ἑβδομήκοντα δὲ χρόνους τῆς τοιαύτης ἀφεθέντες αἰχμαλωσίας, εἰς τὴν οἰκείαν ἐπανέναι πατρίδα· καὶ τοῦτο γοῦν ἀναγωγικῶς ὁ Θεολόγος φησὶ· Βαβυλῶνα μὲν τὴν αἰχμαλωτίζουσαν ἀπὸ θεοῦ καλῶν ἁμαρτίαν· ὄργανα δὲ τὰς τῆς ψυχῆς δυνάμεις ὑπολαμβάνει, εὐχὴν φημὶ καὶ τὴν εἰς θεὸν ὑμνῳδίαν, ὧν ἡ ψυχὴ ἐξατονήσασα, τὸν δούλειον ζυγὸν ἀποδύρεται· γῆ δέ ἐστιν ἱερὰ, τῶν πραέων ὁ χῶρος, ἡ βασιλεία τῶν οὐρανῶν, ἣν ἐστι καταλαβεῖν, τῆς τραχείας ἁμαρτίας ἀποδεδρακότας.

361. Καὶ νηοῦ μεγάλειο θεμείλια χερσὶ βάλῃται.

Δαρεῖος ὁ μήδων βασιλεὺς μεθ' ἑβδομήκοντα χρόνους τῆς θεοσεβείας ἀγάμενος τοὺς ἑβραίους, τῆς αἰχμαλωσίας ἀφῆσαι· προστάσσει τε τὸν ναὸν Σολομῶντος καὶ τὴν Ἱερουσαλὴμ ἀνοικοδομηθῆναι· τότε γοῦν ἐπανελθὼν ὁ λαὸς ἀσσυ-

ρίων, τὸν ναὸν καὶ τὴν πόλιν Ἱερουσαλὴμ ἐπανορθοῦται· θεμέλια τοίνυν ὁ θεολόγος τοῦ ναοῦ, τὰς ἰσχυρὰς φησὶν ἀρετὰς, αἵ τινες τὴν ψυχὴν ναὸν κατασκευάζουσι τοῦ θεοῦ, κύκλῳ περιῳκοδομημέναι.

Οἷον δ' ἐξ ἱερῆς Σολύμων κατιόντα πόληος 369.
Ἱεριχοῦς πτολίεθρον ἐπὶ κλυτὸν ὡς ἐνέπουσιν 370.
Φῶρες ἐδηλήσαντο κακοὶ λοχόωντες ὁδίτην. 371.

Παραβολὴν ὁ σωτὴρ ταύτην φησὶν ἐν τοῖς εὐαγγελίοις, ὅτι τίς ὁδοιπόρος κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ καὶ λῃσταῖς περιέπεσεν, οἳ καὶ ἐκδύσαντες αὐτὸν καὶ πληγὰς πολλὰς ἐπιθέντες κατέλιπον ἡμιθανῆ· κατὰ συγκυρίαν δὲ λευίτης καὶ ἱερεὺς παριόντες· κατέλιπον αὐτὸν ἀνηλεεῖ ψυχῇ· σαμαρείτης δὲ πλησίον ἐλθὼν καὶ τοῦτον ἰδὼν ἠλέησε, πολλὰ δὲ ταῖς πληγαῖς ἐπιθέμενος φάρμακα, κἀπὶ τὸ ἴδιον ἐπιβιβάσας κτῆνος, τῷ πανδοχεῖ μετὰ καὶ τῆς δεούσης ἐπιμελείας καταλιμπάνει· τὸν γοῦν ὁδοιπόρον τὴν ψυχὴν φησὶν ὁ θεολόγος, τὸν βίον τουτονὶ διαπερῶσαν· ἀπὸ τῆς Ἱερουσαλὴμ κατιοῦσαν δὲ τῆς ἀρετῆς φησὶ· λῃστὴν δὲ τὸν διάβολον λέγει, πάλαι μὲν ἀπογυμνώσαντα τοῦ θεοῦ τὸν Ἀδὰμ, τοῖς δὲ ἐξ Ἀδὰμ πᾶσι τὸν αὐτὸν ἐπαναδεδεγμένον, καὶ θεοῦ γυμνοῦν ἁμιλλώμενον.

Πυνθάνομ' ὡς δύο φῶτε μέγα πνείων φαρισαῖος, 395.
Ἠδὲ τελώνης ἐς ἱερὸν ἀναβάντε. 396.

Παραβολικῶς καὶ τοῦτο φησὶν ὁ σωτὴρ ἐν τοῖς εὐαγγελίοις, ὅτι δύο ἄνδρες ἀνέβαινον εἰς τὸ ἱερὸν προσεύξασθαι, ὁ εἷς φαρισαῖος, ὁ δὲ ἕτερος τελώνης· ἀλλ' ὁ μὲν φαρισαῖος, νηστείαις καὶ δεκάταις καὶ ταῖς ἄλλαις νομίμοις ἐντολαῖς μεγαλαυχῶν, καὶ τοῖς ἄλλοις συγκρίνων ἑαυτὸν ἀνθρώποις, λόγοις δὲ καὶ τὸν τελώνην ἀποφαυλίζων, ἄτιμος

ἀποπέμπεται· ὁ δὲ τελώνης τὸ στῆθος ταῖς χερσὶ πατάσσων, ἐκπροχέων τε δάκρυα θερμὰ καὶ τὸν θεὸν αὐτῷ τοῖς ἐπταισμένοις εὐμενῆ γενέσθαι λισσόμενος, ἀφέσεως κατηξίωται, τοῦ θεοῦ τῷ ταπεινουμένῳ μᾶλλον, ἢ τῷ τυφούμενῳ, προσεσχηκότος.

428. Ἱερῆς Ἄννης ἐμιμήσατο φωνήν.

Ἄννα μήτηρ ἐστὶ Σαμουὴλ τοῦ προφήτου, στεῖρα δὲ οὖσα καὶ πικρῶς ὀδυρομένη, κατέστη εἰς Σηλώμ, ἔνθα ἦν ἡ κιβωτὸς διαθήκης κυρίου· προσευξαμένης δὲ ταύτης, τὸν Σαμουὴλ αὐτῇ παρέσχεν ὁ θεὸς· αὐτὸς δὲ καθ' ὑπόσχεσιν τῆς μητρὸς λειτουργεῖν ἀφιεροῦται θεῷ, καὶ τῇ σκηνῇ προσάγεται τοῦ μαρτυρίου νήπιος ὤν· Ἑλκανᾶ ὄνομα τῷ πατρὶ αὐτοῦ.

434. Νῦν αὖτ' ἐναρίθμιος εἰμὶ βεβήλοις,
435. Ἠλεὶ σοῦ θεράποντος ἀγακλέος υἱέσι μάργοις·
436. Οἳ θυσίαις καθαρῆσιν ἐπέγραεν ἄφρονι θυμῷ,
437. Χερσὶν ἐφαπτόμενοι θείων λίχνῃσι λεβήτων·
438. Τούνεκα καὶ χαλεπῆς κύρσαν βιότοιο τελευτῆς.

Υἱοὶ τοῦ ἱερέως Ἠλεὶ Ὀφνεὶ καὶ Φινεὲς ὑπῆρχον παρανομώτατοι σφόδρα, τὸ δικαίωμα τοῦ νόμου μὴ γινώσκοντες παρὰ τοῦ θύοντος λαοῦ· πρὶν ἢ γὰρ τὸ στέαρ θυμιαθῆναι, καθῆκαν τρίοδοντα εἰς τὸ χαλκεῖον, καὶ πᾶν ὅπερ ὁ τρίοδους ἀπέσπα τῆς χύτρας, ὁ παῖς ἐλάμβανε τοῦ ἱερέως· αὕτη τούτοις ἁμαρτία λελόγισο μεγίστη· διὸ καὶ τῷ πατρὶ αὐτῶν διά τινος τῶν εὐσεβούντων ὁ θεὸς δηλοῖ, τὸ δι' αὐτοὺς σὺν αὐτοῖς μέλλειν αὐτῷ τέλος εἰκτρὸν ἐπελεύσεσθαι, καὶ διὰ Σαμουὴλ ἔτι παιδὸς ὄντος, καὶ κατὰ πρόσωπον ἐκείνου τῇ σκηνῇ λειτουργοῦντος· ὃ καὶ συνέβη· τῶν γὰρ ἀλλοφύλων ἐπιθεμένων, μετὰ τῆς κιβωτοῦ ἔξεισιν Ὀφνεὶ καὶ

Φινεὲς εἰ τοῦ Ἠλεὶ παῖδες· κρατυνθέντος δὲ τοῦ τῶν ἀλλοφύλων ἐπ' αὐτοὺς πολέμου, καὶ τῆς κιβωτοῦ ἁλωθείσης, ἄμφω πεπτώκασι στόματι ξίφους· τινὸς δὲ τὴν ἀγγελίαν τῆς τε κιβωτοῦ καὶ τῶν παίδων καὶ τοῦ λαοῦ τῷ Ἠλεὶ ἀπαγαγόντος, δίφρῳ τοῦτον καθεζόμενον ἐς τοὐπίσω πεσεῖν συνέβη καὶ συντριβῆναι, καὶ τοῦ ζῆν ἀπαλλαγῆναι· καὶ μέν τοι καὶ τὴν τούτου γυναικόπαιδα κατὰ γαστρὸς ἔχουσαν ἅμα τεκεῖν τῷ πένθει καὶ σὺν τόκῳ μορῆσαι· ὡς πληρωθῆναι τὸ ῥῆμα τὸ δηλωθὲν ὑπὸ θεοῦ· ἡμέρᾳ μιᾷ, παντὸς οἴκου τοῦ Ἠλεὶ τὸν τὸ θυμίαμα προσφέροντα τῷ θεῷ ἐξολοθρευθήσεσθαι.

Ἤδη τίς φίλον υἷα θεόσδοτον ἤγαγε βωμῷ, 442.
Σάῤῥας ὀψιτόκοιο γόνον ῥίζαν τὲ γενέθλης, 444.
Ἁβραὰμ ἦν ἱερεὺς, ἀμνὸς δέ τε κύδιμος Ἰσαάκ. 446.

Ἁβραὰμ τίκτει τὸν Ἰσαὰκ ἐξ ἐπαγγελίας ἐν γήρᾳ, Σάῤῥας στείρας καὶ αὐτῆς οὔσης καὶ γηραλέας· τούτῳ προστάσσει τὸν ἐκ τῆς ἐπαγγελίας αὐτοῦ μονογενῆ υἱὸν, θυσίαν ὁ θεὸς προσάγειν ἐπί τινα τόπον ὑψηλὸν· ἐλθόντι δὲ σὺν τῷ παιδὶ τῷ Ἁβραὰμ ἐν τῷ τόπῳ, καὶ τὸ θυσιαστήριον οἰκοδομήσαντι, τά τε τῆς ὁλοκαρπώσεως ἐπιστοιβάσαντι ξύλα, πεδήσαντι δὲ καὶ τὸν Ἰσαὰκ, καὶ τὴν μάχαιραν ἐπ' αὐτὸν σπασαμένῳ, φωνήσας οὐρανόθεν ὁ θεὸς τῆς ἐπὶ τῷ παιδὶ σφαγῆς ἀνατρέπει τὴν πρόθεσιν, εὖ μάλα προσδεδεγμένος, ὡς οὐδὲν θεοῦ τῷ Ἁβραὰμ ποθεινότερον· κριὸν δὲ φυτῷ τινὶ σαμὲκ λεγομένῳ τοῦ παιδὸς ἀντιδοὺς αὐτομάτως τῶν κεράτων κατεχόμενον, τὴν θυσίαν προστάσσει καθιερῶσαι· τούτου δὲ γενομένου, πρὸς τοὺς οἰκείους ἐπάνεισι, σῶον ἐπιφερόμενος τὸν μονογενῆ παῖδα.

Οὐδὲ μεταστρέφεται Σοδόμων ἐπὶ τέφραν ἐρήμον, 482.

483. Ἦν διὰ μαργοσύνην ξείνῳ πυρὶ θηϊωθέντων·
485. Φεύγει δ' ἐσσυμένως ἐς ὄρος, πάτρης δὲ λέλησαι,
486. Μὴ μῦθος καὶ λᾶας ἁλὸς μετόπισθε λίπηται.

Σοδόμων τόπος ἐςὶ τίς περὶ τὸν Ἰορδάνην· ὑπῆρχον δὲ πέντε πόλεις· ὁ δὲ χῶρος πρὸ τοῦ καταςραφῆναι, τερπνὸς τὲ ἦν καὶ λίαν εὐθαλὴς, ποτιζόμενος ὥσπερ ἡ τῆς Αἰγύπτου γῆ· τοῦτον ᾤκησε Λὼτ τὸν χῶρον· πρὸς γένους δὲ τῷ Ἀβραὰμ οὗτος, σὺν αὐτῷ γὰρ ἀπὸ τῆς ἐνεγκαμένης πρὸς τὴν Χαναναίαν μετοικήσας, τοῦτον ἔλαχεν οἰκεῖν τοιῶσδε τὸν τρόπον· πολλῶν ὄντων τῶν κτημάτων αὐτῷ τὲ καὶ τῷ Ἀβραὰμ, ἐπεὶ χωρεῖν αὐτοὺς τὴν γῆν οὐχ οἷόν ἦν, μάχην οἱ ποιμένες πρὸς ἀλλήλους συνάπτουσι· τοῦ τοίνυν Ἀβραὰμ εὐλαβηθέντος, τήν τε προτίμησιν εἰ θέλοι τῆς γῆς ὑποχωρῆσαι τῷ Λὼτ παρεσχηκότος αὐτοῦ, πανοικίᾳ μετατίθεται· τῶν δὲ τόπων οἱ ἄνδρες ἀδικώτατοι λίαν παντοίαις ἐμφυρόμενοι σαρκὸς ἀσελγείαις· τῆς τοίνυν αὐτῶν ἀσεβείας πληθυνθείσης, εἰκὸς τὴν θείαν ἐπ' αὐτοὺς μετιέναι ὀργήν· αὐτοῦ τὲ τοῦ θεοῦ πρόσωπον πρὸς πρόσωπον τῷ δικαίῳ περὶ τούτου διαλεχθέντος Ἀβραὰμ, ἐν τῇ παρὰ τῇ θείᾳ γραφῇ θρυλλουμένῃ ξεναγωγίᾳ· δύο τοιγαροῦν τῶν Σοδόμων ἀποσταλέντων ἀγγέλων εἰς τὸ καταςρέψαι, τὸν μὲν Λὼτ αὐτίκα τῇ πύλῃ προσκαθεζόμενον, ἅτε φιλόξενον ὄντα καὶ ἄνδρα δίκαιον, εἰσοικίσασθαι τούτους συνέβη· τῶν δὲ γεγονότων εἴσω τῶν οἴκων, ἅπαντας θύραζε τοὺς σοδομίτας πρεσβυτέρους ἅμα καὶ νέους τὸν Λὼτ ἐκκαλουμένους, ἐναγώνιον εἶναι· καὶ ὁ μὲν δίκαιος Λὼτ ἠπίως αὐτοὺς καταστέλλειν ἐπειρᾶτο, δυεῖν παῖδε προβαλλόμενος τῶν ἀκολάστοις εἰς ἐπιθυμίας ὑπηρεσίαν, ἀνδρῶν καθεστηκώς ἐν συνουσίᾳ μηδέπω· ἀπωσθεὶς δὲ καὶ κινδυνεύσας ὑπ' αὐτῶν

συντριβῆναι, τῆς εἰκαίας προσαγωγῆς κατὰ τὰς θύρας, ἐπικυρίας τῆς παρὰ τῶν ἀγγέλων τυχών, εἶσω χωρίσας διασώζη· τοὺς δέ τις πρὸ τῶν θυρῶν ἐπίχλυσιν ὄρασιν προσεωχθεὶς αὐτῶν, παρελύθησαν γὰρ καὶ τούτους πρόσωπα οὐκ ἠδύναντο γνῶναι· τότε δὴ τὸν Λὼτ εἰ θέλει κατέσπευδον ἄγγελοι, πανεικὶ αὐτὸν αὐτόσε διαθρῆσαι, μὴ πρόσβλέψαι δὲ πορευόμενον εἰς δεξιὰ ἢ ἐπ' ἀριστερὰ· τισὶ δὲ τῶν ἐγχωρίων ἐπιγαμβρευθεῖσιν αὐτῷ διαλεχθεὶς, καὶ νομισθεὶς γελοιάζειν, ὑπό τε τῶν ἀγγέλων ἐξελθεῖν συνωθούμενος, δυσὶν ἅμα κορίσις ἀμωμήτοις ἔξεισι καὶ τῇ γυναικί· πυρὸς δὲ θείου κατὰ τῶν Σοδόμων οὐρανόθεν ἐπομβρισθέντος, εἰς τοὐπίσω τὴν γυναῖκα τοῦ Λὼτ ἐπεστραμμένην πρὸς θεωρίαν, ἄψυχος ἐξεικονίζει στήλη ἁλός· μή τι δὲ συμπαραληφθείη τῷ σοδομιτικῷ πυρὶ δεδιττόμενος ὁ δίκαιος Λὼτ, ἐπεὶ μὴ τέως προσαγαγεῖν οἷός τε ἦν τῷ ὄρει, πολίδριον αὐτόσε Σηγὼρ προσαγορευόμενον, προσφύγιον ἐξῃτήσατο· τούτου δὲ γεγονότος αὐτόθι διασωθεὶς, ἄνεισιν ἐπὶ τὸ ὄρος εὐκαιρίας λαβόμενος· Σόδομα τοιγαροῦν ὁ θεῖος Γρηγόριος τὴν ἐν ἁμαρτίαις φησὶ διατριβήν, Λὼτ δὲ πρόσωπον εἶναι τῆς ἀρετῆς λέγει· τὸν τοίνυν ἐξ ἁμαρτίας ἀναχωροῦντα, μὴ πάλιν ἐπ' αὐτὴν ἐπιστρέφειν· τοῦτο γάρ ἐστιν εἰς τοὐπίσω βλέψαι καὶ στήλην παγῆναι ἁλός· πρὸς γὰρ τὴν ἐπιθυμίαν ἐπεσραμμένην τὴν τοῦ Λὼτ γαμετὴν, εἰκὸς τοῦτο παθεῖν· στήλη δὲ δράματός ἐστιν ἐμφανὲς κατηγόρημα, διατρέχον εἰς τὸ διηνεκὲς· πόλιν δὲ Σηγὼρ, τὴν ἱδρυμένην ὑπ' ἀρετῆς ψυχὴν ὑπολητέον, ἣν πρὸς ὕψος τελειότητος κατεπείγεσθαι ταῖς κατὰ θεὸν ἀναβάσεσιν, ἀλλὰ μὴ μένειν πρὸ ποδῶν· ῥᾳθυμίας γὰρ καὶ τοῦτο καταδίκην κέκτηται.

579. Τειρόμενος κάμπτω σοι γούνατα πέμψον ἐμοί γε,
580. Δακτύλῳ ἱκμαλέῳ ξηρὴν φλόγα Λάζαρον ὦκα·
581. Γλῶσσαν ἀναψύξοντα, χάος δέ με μηκέτ' ἐρύκει,
582. Μὴ δ' Ἀβραὰμ μεγάλων κόλπων ἀπὸ τηλόθι βάλλοι,
Πλούσιον ἐν παθέεσσι, τεὴν δ' ἐπὶ χεῖρα κραταιήν.

Ταύτην ὁ σωτὴρ ἐν εὐαγγελίοις τὴν παραβολὴν εἴρηκεν, ὅτι πλούσιός τις ἦν πορφύραν ἐνδιδυσκόμενος, καὶ καθ' ἡμέραν εὐφραινόμενος· τούτου δὲ προσέῤῥιπτο ταῖς πύλαις πτωχός τις Λάζαρος τοὔνομα ἠλκωμένος τῇ πτωχείᾳ· τῷ γοῦν πλουσίῳ διακεχυμένῳ τρυφῇ τε καὶ ταῖς κατὰ τὸν βίον εὐθηνίαις εὐροοῦντι, φροντὶς οὐδὲ μία τοῦ πένητος ἦν· καὶ ταῦτα χαλεπῶς περὶ τὸ σῶμα διακειμένου καὶ τῶν τῆς ἐκείνου τραπέζης περιττευμάτων ἐντετηκότος· οὐ μὴν ἀλλὰ καὶ τοὺς κύνας λέγεται τοῦ πλουσίου, τὰ τοῦ πτωχοῦ τραύματα καταλείχειν, προσθήκην ἄλγους ἐμποιοῦντας τῷ μὴ δὲ μιᾶς θεραπείας ὑπὸ τῶν κυρίων αὐτῶν ἠξιωμένῳ· ταύτῃ τὸν πλούσιον ἀπηνῶς διακείμενον, εὐχαρίστως τὲ τὸν πένητα διακαρτεροῦντα, ἀμφοτέρους ἀναρπασθῆναι, καὶ πρὸς τὸν ὡρισμένον καταστῆναι τόπον, ὅθεν τὸν πλούσιον κατεῖχε· τὸν δὲ μικρὸν ἀνανεύσαντα, πῦρ δὲ ἦν ὑποσμήχον καὶ σκώληξ πικρότατος διερεθίζων, τὸν πένητα Λάζαρον θεάσασθαι λέγεται πατριαρχικῆς πλατέως ἐπικαθεζόμενον κόλποις, πολλαῖς τε δορυφορίαις παρακαλούμενον· φωνήσαί τε τὸν δορυφόρον Ἀβραὰμ, ἐκεῖνον αὐτῷ τὸν πρώην παρεωραμένον Λάζαρον ἀποσεῖλαι ῥανίδος ὥστε τῷ σμυχομένῳ δίυγρόν τι μικρῷ δακτύλῳ προσεπιστάξαι· τὸν δὲ πατριάρχην μὴ δυνατὸν εἶναι πρὸς λόγον ἀπαμειβόμενον, τοῦ πένθους αὐτῷ τῆς ἀπροσδοκήτου σωτηρίας, περισσότερον ἄλγος τῆς βασάνου προσκαταστῆσαι· καὶ χάσμα δὲ περὶ αὐτοὺς μέ-

γιστον ἠδρᾶσθαι φησὶ, τῶν ἰρίων αὐτοῖς ἀδιεξβάτων ὄντων, καὶ ἀβάτων πρὸς ἀλλήλους καθεστώτων, πέρας ὧδε τῆς κακίας ἐπεσφραγῖσθαι, τοῖς οἷος ἐκεῖνος ἀπηνέσι διαβεβαίουμενος· πλούσιον ἐν πάθεσι φησὶ, τὸν πολλαῖς ἐμφυρόμενον ἁμαρτίαις· Λάζαρον δὲ τὸν ἑλέους ἠξιωμένον ῥανίδα, τὸν θεῖον ὑπολειπτέον λόγον ταῖς καιομέναις πάθεσι ψυχαῖς, ὑπὸ τῶν θεοφόρων ζαζόμενον· χάσμα δὲ τὴν ἀμετάθετον ἐκ κακίας ῥαθυμίαν, ἣν συνέκθημον λαβοῦσα ἡ πανάθλία ψυχὴ, χάσματι καὶ πυρὶ βυθισθῆναι, σωτηρίας ἐλπίδα μηκέτι κεκτημένη· κόλποι δὲ νοηθήσονται τοῦ Ἀβραὰμ, αἱ τῶν ἁγίων διατριβαὶ· τούτῳ γὰρ τὴν τῆς ἐπαγγελίας ὑπέσχετο γῆν ὁ Θεὸς, ἧς γάλα καὶ μέλι διεκρέει· Θεὸς θεοῖς συγγινόμενος, καὶ πρὸς αὐτῶν ἀνυμνούμενος ἀσιγήτως, πλατέως τὲ καὶ ἀπεράντως θεολογούμενος.

Εἰπὲ, καὶ αἱματόεσσα ῥύσις λήξειε τάχιστα. 586.

Τῶν ἐν τοῖς εὐαγγελίοις θαυμάτων ἀναγωγικῶς μεμνημένος, πρὸς Χριστὸν αὐτὸν διαλέγεται· λόγῳ γὰρ εἰπὲ φησὶ, καὶ τῆς ψυχῆς ἡ αἱματώδης στήσεται ῥύσις· ῥύσις αἱμάτων δὲ προκαταβεβλημένου τραύματος πληγὴν ὑποδείκνυσι· τῷ γὰρ τετρωμένῳ, τῆς ὠτειλῆς ἐκρὴ τίς παρέπεται· ταχίστην δὲ λῆξιν φησὶν, ἐκ παραγώγου σχημάτος· αἱμόῤῥους γάρ τις γυνὴ δυσκαίδεκα χρόνων τῷ πάθει κατεχομένη, τῶν κρασπέδων τοῦ Χριστοῦ λαθραίως ἁψαμένη, παραχρῆμα τῆς νόσου ἀπηλλάγη.

Εἰπὲ, καὶ ἐκμήνειε συῶν ἀγέλην λεγεῶνος, 587.

Πνεῦμα καὶ ἐν πελάγεσσι πέσοι. 588.

Τῶν ἐν εὐαγγελίοις θαυμάτων καὶ τοῦτο· κατὰ γὰρ τὴν τῶν Γεργεσηνῶν χώραν, ἣν τίς δαιμονῶν ἐν τοῖς μνημείοις· δι' ὃν ἄβατος ἦν ὁ τόπος, πολλῶν διαφόρως ὑπ' αὐτοῦ κα-

τατρωθέντων· τοῦτον Ἰησοῦς ὑγιῆ καταστήσας, χείρων αὐτόθι νεμομένων, ὑπὸ τῶν δαιμόνων ἀξιοῦται τοῖς χοίροις αὐτοὺς ἐπιτρέψαι τὸ λοιπὸν ἀναμιχθῆναι· τούτου δὲ γενομένου, κατὰ τῆς θαλάσσης οἱ δαίμονες τοὺς χοίρους ἐλάσαντες, ἅπαντα ὑποβρυχίους ἀπώλεσαν.

589. Καὶ λέπρην ἐλάσειας ἀτερπέα.

Μέμνηται τῆς τοῦ λεπροῦ καθάρσεως ὑπὸ Χριστοῦ γενομένης· τὴν πολλαῖς δὲ κατεσιγμένην ἁμαρτίαις ψυχὴν ἀπεικάζει λεπρῷ· τὸ γὰρ πάθος ἐστὶν ἀτερπὲς, κατὰ τοῦ σώματος διακεχυμένον.

590. Καὶ φάος ἔλθοι ὄμμασιν οὐχ ὁρόωσιν.

Βαρτιμαῖον αἰνίττεται· τούτῳ γὰρ ἔλεον ποθοῦντι, παρέχει Χριστὸς φῶς αὐτῷ χαρισάμενος, τυφλότητα δὲ φησὶν ὁ θεολόγος τὴν ἄγνοιαν· ἧς ἐκτὸς γενομένη ψυχὴ τὸ φυσικὸν ἐπιβήσεται πωθοῦσα φῶς· οὐ γὰρ ἔτι τὸν εὐεργέτην ὡς υἱὸν εὐφημεῖ Δαβὶδ, ἀλλ' ὡς θεὸν προσκυνήσει μεγαλεδότην.

Καὶ οὔατα φθόγγον ἀκούει.

Κωφῷ καὶ μογιλάλῳ δεηθεῖσι, τὴν λύσιν ἄμφω παρέχει Χριστὸς· κωφὸς δὲ λέγεται κατὰ τὸν τῆς ἀναγωγῆς λόγον, ὅσις ἔχει πρὸς τὸ τὰ θεῖα δέχεσθαι, βαρυτάτην τὴν φυσικὴν ἀκοήν.

591. Καὶ ξηρὴν τανύσειας ἐμὴν χέρα, δεσμὰ τὲ γλώσσης ῥήξειας.

Καὶ ταῦτα τῶν Χριστοῦ θαυμάτων καθέστηκε· διὸ καὶ λειτορεῖται, σαββάτῳ πεισύμενος τὴν θεραπείαν· τούτοις γὰρ ἀνθρώπῳ τοῖς πάθεσι κάμνοντι, μέσον προσάσσει τῆς συναγωγῆς τὴν χεῖρα διεκτεῖναι, καὶ τῇ γλώσσῃ διηρθρωμένην διαλέγεσθαι· χεῖρα δὲ ξηρὰν φησὶν ὁ πατὴρ, τὸ πρὸς τὰς θείας ἐντολὰς ἀργῶς διακεῖσθαι, δεσμόν τε γλώσσης

ἢ τὸ μὴ ταῖς ἐντολαῖς ἐντυγχάνειν τοῦ θεοῦ, ἢ τὸ δεσμεῖν ἄλλοις τὸ τῆς ὠφελείας λαλητικὸν ὄργανον.

Στήσαις δὲ ποδῶν βάσιν ἀδρανέουσαν. 592.

Πολλῶν παραλελυμένων κοινῇ τῆς Χριστοῦ θεραπείας ἀπολελαυκότων μνήμην ποιεῖται· παρειμένην δὲ λέγει ψυχὴν, ἢ τῷ πολέμῳ κατατρωθεῖσαν τοῦ ἐχθροῦ, ἢ τῷ ῥᾳθυμίᾳ κεῖσθαι καὶ μὴ δύνασθαι τῆς νόσου τοὐτέστι τῆς ἁμαρτίας ἀνανεῦσαι.

Ἐκ δ' ἄρτου κορέσαις ὀλίγου. 593.

Πέντε Χριστὸς ἄρτοις κατὰ τὴν ἔρημον καὶ δυσὶν ἰχθυδίοις χιλιάδας πολλὰς διαθρέψας τὸ πρότερον, καὶ λειψάνοις δώδεκα κοφίνων τὸ μέγιστον τοῦ θαύματος πιστωσάμενος, ὡσαύτως τὸ δεύτερον ἄρτοις ἑπτὰ χιλιάδας εἰς κόρον ἐμπλήσας, τῆς θείας δυνάμεως σαφεῖς παρέσχε τὰς ἀποδείξεις· ἀλλὰ τούτων Γρηγόριος ὁ θεῖος τῇ ψυχῇ διαλεγόμενος μνημονεύει, καὶ γὰρ τὸν λόγον ἄρτον οἶδε πολλαχοῦ τῆς ψυχῆς τροφὴν κατονομάζειν· ἐκεῖνον τοιγαροῦν τῇ λιμοττούσῃ ψυχῇ πρὸς θεοῦ παρασχεθῆναι λιτάζεται.

Στορέσαις δὲ θάλασσαν δειμαλέην.

Ταύτην ἐν ἀρχῇ τοῦ λόγου παρεθέμεθα τὴν ἱστορίαν Χριστοῦ τοῖς μαθηταῖς κατὰ τὴν φοβερὰν συγγενομένου θάλασσαν· θάλασσαν δὲ τὰς βιωτικὰς εἴποι τίς ἂν τρικυμίας, πολλαῖς συμφοραῖς τὴν ἀθλίαν ψυχὴν βυθίζειν ἀλλεπαλλήλοις βράσμασιν ἐπειγομένας· τὸ δὲ καταστρῶσαι φησὶν, ἀντὶ τοῦ καθομαλίσαι· γαλήνην γὰρ εἰκὸς καὶ ζάλης ἀπαλλαγὴν ἔνθα Χριστὸς ἐπιγίνεσθαι.

Ἀστράψαις δὲ φαάντερον ἠελίοιο. 594.

Τῶν μαθητῶν τοὺς προκεκριμένους παραλαβὼν ὁ Ἰησοῦς, ἐπ' ὄρους ὑψηλοτάτου μετεμορφώθη, Μωϋσῆν αὐτοῖς ὑπο-

δείξας καὶ Ἠλίαν· τῆς δὲ τῶν μαθητῶν ὄψεως, ἐκεῖνο μικροῦ τὸ φῶς καὶ στερρότερον ἦν· λάψαις τοίνυν φησὶ ταῖς διανοίαις, ὡς τοῖς μαθηταῖς ἐν ὄρει ποτὲ λαμπρότερον ἡλίου.

595. Πήξειας δὲ μέλη βεβαρηότα.

Τῆς τοῦ παραλύτου μέμνηται ἱστορίας· τοῦτον γὰρ τοῖς μέλεσι βεβαρημένον, προστάγματι συσφίγγει Χριστὸς· μέλη τοίνυν βεβαρημένα, τῆς ψυχῆς τὰ ὄργανα φησὶ, μόχθῳ τοῦ πρὸς τὸν ἀόρατον τοῦ ἐχθροῦ πόλεμον, ἀκίνητά τε καὶ παντελῶς ἀργὰ καθεστηκέναι.

596. Ἐκ νεκύων δὲ αὖθις ἀναστήσειας ὀδωδότα.

Λάζαρον τεταρταῖον τοῦ τάφου Χριστὸς ἐλκύσας, ζῶντα παρίστησιν· οὗτος δὲ φίλος αὐτῷ καὶ τῶν αὐτῷ πεφιλημένων γυναικῶν ἀδελφὸς, Μαρίας φημὶ καὶ Μάρθας· ὁρμᾶτο δὲ τῆς Βηθανίας κωμυδρίου, μικροῖς διαστήμασι τῆς Ἱερουσαλὴμ καθεστηκότος· τοῦτον ἀῤῥωστίᾳ τὸν Λάζαρον περιελθόντα, τοῖς μαθηταῖς ἀλλαχόσε διατρίβων προλέγει Χριστὸς, εἶτα δὲ καὶ θανόντα· πένθους δὲ περὶ τὸν τοῦ τεθνηκότος εἶκον οὐ τοῦ τυχόντος ὑπάρχοντος, κατὰ τὴν τετάρτην ἡμέραν σὺν τοῖς μαθηταῖς πάρεισι Χριστὸς, ᾧ συναντήσασαι Μάρθα καὶ Μαρία τοῦ τεθνηκότος αἱ ἀδελφαὶ καταδεδακρυμέναι τῆς βραδύτητος ἐνεκάλουν· ἢ γὰρ ἂν τοῖς τοῦ θανάτου δεσμοῖς οὐχ' ὑπήχθη Λάζαρος παρόντος Ἰησοῦ· τὸν γοῦν ἀδελφὸν ἀναστήσειν ἐπαγγειλαμένου Χριστοῦ, θᾶττον τὲ τῷ τάφῳ παραστάντος τοῦ τεθνηκότος, ἀποτρέπειν τὰς ἀδελφὰς λέγεται τὴν τοῦ μνήματος ἀνακάλυψιν τεταρταίου τοῦ τεθνηκότος ὑπάρχοντος, ἅτε δὴ καὶ σεσηπότος· ἀλλὰ Χριστὸς φωνήσας κειρίαις αὐτὸν ὡς ἔθος τοῖς θαπτομένοις περιελιγμένον, ἀσυνήθως βαδίζοντα πρὸ τοῦ τάφου παρίστησι· θαῦμα μέγιστον τοῖς ὁρῶσι, νεκρὸς

τεταρταῖος ἀνεμποδίστως βαδίζων διεμεῖς· λυθέντα δὲ τὸν πρὸ βραχέος νεκρὸν, οἷος τὶ πεπερυσμένον, παμπληθεῖ τῆς Ἱερουσαλὴμ τοῦ θαύματος διαδραμόντος, τῶν τε τῆς πόλεως οἰκητόρων καὶ τῶν παρατυχόντων ἀλλαχόθεν νεηλύδων, ἦν γὰρ ἑορτὴ τοῦ πάσχα, πωλῷ παραγενησόμενον Ἰησοῦν σὺν κλάδοις καὶ βαΐοις ὑποδεξαμένων, ὕμνον εἰς θεὸν εἰπεῖν δαυϊτικὸν, ὡς υἱόν τε Δαβὶδ τὸν βασιλέα καθομολογῆσαι Χριστὸν γέγραπται· ψυχὴν οὖν τῇ ἁμαρτίᾳ νενεκρωμένην, τῶν θανατηφόρων ἀπολυθήσεσθαι δεσμῶν ἐπιστασίᾳ Χριστοῦ, φησὶν ὁ θεῖος Γρηγόριος.

Μὴ δέ μ' ἄκαρπον 596.

Οἵα συκῆν τὸ πάρεθεν ἰδὼν, ξηρὸν τελέσειας. 597.

Ἐκ Βηθανίας ἐπὶ τὴν πόλιν Ἱερουσαλὴμ ὁδοιπορῶν Χριστὸς, καθ' ὁδὸν πεινήσας προσάγει συκῇ, βρώσεως ὀρεγόμενος, ἐν ᾗ μάλιστα καρπὸν οὐχ εὑρὼν, ἀποτόμως ταύτην τῷ λόγῳ ξηραίνει· συκῆ δὲ νοηθήσεται ψυχὴ ῥᾳθυμίᾳ ἀκαρπίᾳ καὶ τραχύτητι πιεζομένη, ἣν μὴ κατὰ καιρὸν τὸν καρπὸν ἀποδιδοῦσαν τῷ λόγῳ ξηραίνει Χριστὸς· ξηρὸν δὲ ξύλον καὶ ἄκαρπον, πυρός ἐστι κατάβρωμα δηλονότι τελευταῖον.

Ὡς δ' ὅτε τίς τε λέοντα λιπὼν, ἄρκτῳ πελάσειε 618.

Μαινομένῃ, καὶ τήνδε φυγὼν ἐς δῶμα πέσῃσιν, 619.

Ἀσπασίως, καὶ χεῖρα ἑὴν πρὸς τοῖχον ἐρείσῃ, 620.

Ἔνθεν δ' ἐκπροθορῶν μιν ὄφις τύψῃσιν ἀελπτῶς. 621.

Τοῦτο τὸ παράδειγμα τοῦ προφήτου ἐστὶν Ἀμὼς· φησὶ γάρ, οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν κυρίου, καὶ αὕτη ἐστὶ σκότος καὶ οὐ φέγγος· ὡς γὰρ ἄν τις λέοντα καταλιπὼν, ἄρκῳ προσεγγίσῃ· καὶ ταύτην ἐκφυγὼν, εἰσπέσῃ εἰς οἰκίαν, καὶ ἀπερείσῃ τὰς χεῖρας αὐτοῦ πρὸς τὸν τοῖχον, καὶ δέξηται αὐτὸν ὄφις· οὐχὶ σκότος ἡ ἡμέρα κυρίου καὶ οὐ φῶς οὐκ ἔχων φέγγος;

ΛΟΓΟΣ Β.

ΠΕΡΙ ΠΑΡΘΕΝΙΑΣ.

Ἀρχόμενος ὁ θεῖος Γρηγόριος τοῦ εἰς παρθενίαν λόγου, καὶ μεγάλως βουλόμενος αὐτὴν ὑπερεξάραι, δεῖξαι τὲ ἀμυδρῶς ἐν τοῖς προτέροις φαινομένην, λαμπρότερον δὲ διαλάμπουσαν ἀπὸ τῆς τοῦ σωτῆρος ἡμῶν ἐνανθρωπήσεως, ἐκ θεολογίας εἰσβάλλει τὴν σεπτὴν τριάδα καὶ ἀδιαίρετον, πρώτην ἀποδεικνὺς παρθένον, μεθ' ἣν τὰς ἀγγελικὰς δυνάμεις τὰς περὶ τὴν πρώτην ἱδρυμένας ἀκτίνα· θεολογήσας δὲ καὶ ὡς ἐνὸν παραστήσας ἐξηγηματικῶς, τήν τε τῶν ἀγγέλων παρεισάγει δημιουργίαν, καὶ τοῦδε τοῦ παντὸς· ἀρχόμενος ἀπὸ φωτὸς, ὡς πρῶτον ὑπέςη τὸ φῶς ἄν φησι πλήρη φωτὸς γένοιντο τὰ ἔργα καὶ χαρίῃ· τόν τε οὐρανὸν παρεισάγει καὶ τὴν γῆν, τὴν θάλασσάν τε καὶ τὰ ἐν αὐτῇ, ἥλιον, σελήνην, ἀστέρας, καὶ ζώων παντοίων εἴδη παντοδαπὰ, τήν τε τοῦ ἀνθρώπου διάπλασιν, καὶ τῆς ἐκ πλευρᾶς αὐτοῦ ληφθείσης γυναικὸς τὴν πᾶσαν δημιουργίαν συντόμῳ λόγῳ περιλαβών.

131. Καὶ πολλοῖσι πάρος παιδεύμασι πλάσμα δαμασθὲν,
132. Γλώσσαις τεμνομένῃσι, καὶ ὕδασι καὶ πυρὸς ὄμβροις.

Μέμνηται τοῦ κατακλυσμοῦ καὶ τῆς πυργοποιΐας, καὶ τῶν σοδομιτῶν· τοῦ γὰρ γένους τῶν ἀνθρώπων εἰς πλῆθος ἐληλακότος, καὶ πάντων ὡς εἰπεῖν ἀπηλγηκότων, ἑκάστου τὲ πονηρὰ καθ' ἑαυτὸν διαπραττομένου, πορνείαις τὲ μοιχείαις καὶ ἀσελγείαις, γοητείαις τὲ καὶ εἰδωλολατρίαις τῶν πάντων διακεχυμένων, Νῶε τινὶ δικαίῳ κατὰ τὴν γενεὰν ἐκείνην προςάσσει, κιβωτὸν ὁ θεὸς κατασκευάσαι ξυ-

λίνην· ἐν ᾗ πανσικὶχ γενόμενον, τοῦ γινομένου κατακλυσμοῦ φυλαχθήσεσθαι· Νῶε τοίνυν ἐν ἔτεσιν ἓξ ἑκατὸν τὴν κιβωτὸν ἀπαρτίσας, εἰσελθὼν τὸ πανσικὶχ, καὶ τῶν θηρίων καὶ ζώων, πτηνῶν τε καὶ ἑρπετῶν πᾶν γένος κατὰ συζυγίαν ἑαυτῷ συναποκλείσας, τὸ παγκόσμιον ἐκεῖνο διαδιδράσκει ναυάγιον· τούτου γὰρ γενομένου, τὴν σύμπασαν ὁ θεὸς ὄμβρεις ἀπείρους κατέκλυσε, τοὺς οὐρανίους ἐπανοίξας καταῤῥάκτας, καὶ τῆς γῆς ὑποκάτωθεν τὰς ἀβύσσους διαῤῥήξας· τότε δὴ τῶν ὀρέων ὑπερχυθέντος τοῦ ὕδατος ἐπὶ πήχεις πεντεκαίδεκα, πᾶσαν σάρκα καὶ πᾶν ἐπὶ προσώπου τῆς γῆς ἀνάστημα ἄρδην εἰκὸς ἀπολέσθαι· Νῶε δὲ διασωθέντος μετὰ καὶ τῶν σὺν αὐτῷ τῇ θήβῃ ἐγκατακλείσων, ἀρχὴν ἐντεῦθεν τόδε τὸ πᾶν καὶ αὖθις κομίζεται, τοῦ θεοῦ μεταμεταμεληθέντος, διαβεβαιωσαμένου τὲ μὴ δεῖν ἔτι κατακλυσμὸν ἐπαγαγεῖν, κἂν ὅτι πλεῖστον εἰς αὐτὸν ἀσεβήσαιεν οἱ ἄνθρωποι· τὸν ἐπὶ θεοῦ μετάμελον οὐ τροπὴν εἶεσθαι, ἀλλ' ἀγαθότητος ἔμφασιν· τὸ γὰρ ἠπειλημένον μᾶλλον ἐκφοβεῖ, τὸ δ' ἀνοχὴν ὑπισχνεῖσθαι καὶ παίουσι τῆς ἀνωτάτω φιλανθρωπίας τεκμήριον· ἄλλοτε δὲ πάλιν τοῦ γένους τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς πληθυνθέντος, καὶ πολλαῖς ταῖς εἰς θεὸν ὕβρεσιν ἐνασχολουμένου, μιᾶς οὔσης τηνικαῦτα φωνῆς καθ' ὅλου τοῦ γένους, ματαιοπονίας ἐργασίαν αὖθις ἄνθρωποι ωεριποιοῦνται, τὸ μηχαναῖς τισὶ πρὸς οὐρανὸν ἀνορμῆσαι· πλίνθον οὖν καὶ πηλὸν κατασκευάσαντες, πύργον οἰκοδομεῖν ἐπιχειροῦσιν· ἀλλ' ὅτε πρὸς ὕψος ἐδόκει καθορᾶν τὸ μηχάνημα, τότε δὴ τῶν γλωσσῶν διαίρεσις τίς ἀθρόως τοῖς ματαιοπόνοις προσγίνεται· διαχυθέντες δὲ καὶ πρὸς ἄλλον ἄλλος ὁμονοεῖν οὐ δυνάμενοι, τῆς εἰκαίως αὐτοῖς ἐργαζομένης ἐργασίας στάσιν εἰλήφασιν ὧδε·

μόνος δέ τις Ἔβερ τοὔνομα, τῇ τούτων λέγεται ματαίᾳ μὴ συνθέσθαι ἐργασίᾳ· ὄμβρους δὲ πυρὸς τοὺς σοδομιτικοὺς φησὶ κεραυνούς.

165. Πρὸς ζωὴν παλίνορσον Ἀδὰμ καὶ κῦδος ἀνάξει.

Ἀδὰμ πρῶτος ὑπὸ θεοῦ κατ' εἰκόνα δημιουργηθεὶς ἄνθρωπος, πάντων βασιλεύειν τῶν ἐπὶ τῆς γῆς λαχὼν, καὶ θείων ἐννοιῶν ὑπάρχων ἐργάτης, τρέφων τε νοήμασιν ἁπλοῖς τὴν ψυχὴν καὶ βοηθὸν κεκτημένος τὴν ἐκ πλευρᾶς αὐτοῦ ληφθεῖσαν γυναῖκα, παράδεισον ᾤκησεν ὑπὸ θεοῦ πεφυτευμένον· ἐντολῆς δὲ πρὸς θεοῦ δοθείσης αὐτῷ, πάντων τῶν ἐν παραδείσῳ φυτῶν ἀφθόνως ἀπολαύειν, ἑνὸς δὲ μόνου ξύλου ἀπέχεσθαι τελεωτέρας τροφῆς, ἀγώνισμα τοῦτο θεμένου τοῦ θεοῦ, δι' οὗ τὸν ἀντίπαλον νικήσειε δαίμονα, τῆς βρώσεως ἡττηθεὶς ἐξόριστος γίνεται τῆς τρυφῆς· ὄφει γὰρ ὁ σατανᾶς ὀργάνῳ χρησάμενος, εἰσδὺς ἀνθρωπίνως τῷ Ἀδὰμ, τῇ δὲ γυναικὶ συμβουλεύσας τε καὶ τοῦ καρποῦ μετασχεῖν, ἐξαπατήσας, καὶ διὰ τῆς γυναικὸς τὸν πρωτόπλαστον ἀνατρέψας, γυμνοὺς καταλιπὼν ᾤχετο· φύλλα δὲ συκῆς περιθέμενοι, καὶ τῆς φωνῆς ἀκούειν τοῦ θεοῦ μηκέτι φέροντες, εἰσέδυσαν οἱ προπάτορες ἐπὶ τὸ ἄλσος· ἀλλ' ὅτε κληθέντες θεῷ παρασῆναι, διὰ τὴν γύμνωσιν οὐχ' οἷοί τε καθεσήκασι, τοῦ μὲν Ἀδὰμ αἰτιωμένου τὴν γυναῖκα, τῆς δὲ τὸν ὄφιν ἀνταιτιωμένης, ἀπόφασιν τῷ μὲν ὄφει τὴν γῆν ἐσθίειν, τῷ στήθει δὲ καὶ τῇ κοιλίᾳ χαμαὶ φέρεσθαι δίδωσιν ὁ θεὸς, ὑπὸ κατάραν θέμενος διὰ παντὸς, ἐχθρεύειν τε τῷ τῆς γυναικὸς σπέρματι καὶ πτέρναν αὐτοῦ ἐπιτηρεῖν, ὑπὸ δὲ τούτῳ κεφαλὴν διαθλᾶσθαι· τῇ δὲ γυναικὶ ὠδίνειν καὶ πονεῖν ἐν τῷ τεκεῖν, καὶ πρὸς τὸν ἄνδρα ἐπιστρέφειν, ὑπ' αὐτοῦ τε ἄρχεσθαι καὶ κατακυριεύεσθαι· τῷ δὲ Ἀδὰμ ἱδρῶν

καὶ βιοὺν καὶ μόχθῳ τὸν ἄρτον ἐσθίειν, τῆς γῆς ἀκάνθας αὐτῷ καὶ τριβόλους ἀναβαλλούσης, φθείρεσθαί τε καὶ πρὸς τὴν μητέρα γῆν ἐπιστρέφειν, καὶ χοῦν ἄνωθεν εἶναι ἣν πρὸ τοῦ γενέσθαι τῆς ψυχῆς αὐτῷ διαζευχθεῖσης ὑπάρξαι· χιτῶσι δὲ τὴν αὐτῶν γύμνωσιν δερματίνοις καλύψας ὁ Θεὸς, τοῦ τῆς τρυφῆς ἀτίμως ἀποπέμπεται κτήματος· τάξας δὲ χερουβὶμ καὶ φλογίνην ῥομφαίαν φυλακὴν τῷ παραδείσῳ, τὸ τῆς ζωῆς αὐτοῖς ἐν μέσῳ τῷ ἄλσει πεφυτευμένον, ἀπρόσιτον ἔθηκε ξύλον.

Πίστις Ἐνὼχ μετέθηκεν, ὁ δ' ἐξ ὑδάτων ἐσάωσεν 309.
Κόσμον ὅλον, ψυχαῖς ὀλίγαις καὶ σπέρμασι πλωτοῖς, 310.
Νῶε μέγας. 311.

Ἐνὼχ ἕβδομος ὢν ἀπὸ Ἀδὰμ τῷ Θεῷ εὐηρέστησε· τῶν γὰρ ἀνθρώπων ταῖς ἀσεβείαις μαινομένων, ἐπί τινος αὐτὸς ὄρους ἑαυτῷ ζῆν καὶ Θεῷ λέγεται· λόγος δέ τις καὶ ἄλλος ἐστὶ περὶ αὐτοῦ, ὅτι τοῦτον ὁ Λάμεχ ἀνὴρ τὰ πάντα πονηρὸς ἀνελεῖν ἐπειράθη, τὰς αὐτοῦ τυραννικῶς ἀφελόμενος γαμετὰς· τοῦτον ἀγαθὸν ὄντα τὸν Ἐνὼχ καὶ Θεῷ εὐηρεστηκότα μετατίθησι ὁ Θεὸς ζῶντα μέχρι νῦν, καὶ τῶν ὠδίνων ἀνώτερον τοῦ θανάτου διαφυλάξας· Νῶε δὲ καὶ αὐτὸς δίκαιος ὢν, κατακλυσμοῦ τὴν γῆν ἀφανίσαντος, πανσικὶ διεσώθη.

Ἀβραὰμ πατὴρ πτολίων τε καὶ ἐθνῶν, 311.
Καὶ θυσίην Χριστῷ παραβώμιον υἷα πεδήσας· 312.
Μωσῆς ἤγαγε λαὸν ἀπ' Αἰγύπτοιο βαρείης 313.
Θαύμασι σὺν μεγάλοισι, νόμον δ' ὑπεδέξατο πλαξὶν, 314.
Ὑψόθε λαϊνέῃσι, θεὸν δ' εἰσέδρακεν ἄντην. 315.

Μωϋσῆς Ἰσραηλίτης ὢν ἐν Αἰγύπτῳ τεχθεὶς, προσάγματος τότε τοῦ Φαραὼ τοὺς τικτομένους παῖδας τοῖς ἑβραίοις

ἀπειλουμένου τῷ ποταμῷ ῥίπτεσθαι, τρίμηνον ὑπὸ τῶν γονέων φυλαχθεὶς, ἐπεὶ μὴ τέλεον δυνατὸν ἦν ἀπικρυβῆναι αὐτὸν, ἐκτίθεται· θήβην γὰρ οἱ γονεῖς περιχρίσαντες ἀσφάλτῳ πίσσῃ, τὸ παιδίον ἐκβάλλουσι καὶ ταῖς ὄχθαις τοῦ ποταμοῦ προσρίπτουσι, τὴν ἀδελφὴν νεάνιν οὖσαν, ἐπιτηρεῖν προστεταχότες· τῆς δὲ θυγατρὸς Φαραὼ κατὰ συγκυρίαν λούσασθαι παραγενομένης, τὴν θήβην αἱ ταύτης ἄβραι τῶν ποταμίων ὄχθων ἀνελόμεναι, τῇ κυρίᾳ προσάγουσι· ταύτης δὲ τὴν θήβην ἀνεωξάσης, καὶ παιδίον κλαυθμυριζόμενον θεασαμένης, συμπαθείας τρόπῳ κινηθείσης, ἐγνωκυίας τὲ τῶν ἑβραίων εἶναι τὸ παιδίον καὶ φεισαμένης, τῇ τε ἀδελφῇ τροφεύουσαν καλέσαι γυναῖκα διαταξαμένης, ἐκδεδωκυίας τὲ πρὸς γαλακτοτροφίαν, ἀνδρυνθέντα τῆς θρεψαμένης ἀντιλαβεῦσα, τοῖς βασιλείοις ἄγουσα θεραπείαις καὶ πάσῃ σοφίᾳ παιδεύουσα τῶν αἰγυπτίων, υἱὸν οἰκεῖον ἀναγορεύει· χρόνου δὲ παρηκμακότος, ἤδη ταῖς ἀνδρείαις φρεσὶ τοῦ Μωϋσέως τελειωθέντος, καὶ πρὸς τὴν προγενικὴν εὐσέβειαν πυρπολουμένου, συνέβη τινὰ τῶν αἰγυπτίων τύπτειν ἑβραῖον τῶν αὐτοῦ ἀδελφῶν· ὁ δὲ Μωϋσῆς εὐκαιρίας λαβόμενος ἀναιρεῖ τὸν αἰγύπτιον, ὑπὸ δὲ ψάμμῳ καλύπτει· τῇ τε ἑξῆς ἀδελφαῖς ἑβραίοις πρὸς ἀλλήλους διαπληκτιζομένοις ὀφθεὶς, τὰ εἰς εἰρήνην συναλάσσειν ἐπειρᾶτο· τοῦ δὲ τὸν πλησίον ἀδικοῦντος ἀπωσαμένου αὐτὸν, καὶ τὸν πρὸ βραχέος ὑπομνήσαντος φόνου, ἐν οὐκέτι τῷ Φαραὼ κρύπτεσθαι δυνατὸν ἦν, δείσας, τὴν ἐπὶ Μαδιὰμ στέλλεται τρίβον· ἐν ᾗ γεγονὼς τῷ παρακειμένῳ προσκαθέζεται φρέατι· τῶν δὲ κατὰ συνήθειαν συνειλεγμένων ποιμένων τὰ πρόβατα ποτίζειν τὰ οἰκεῖα, νεανίδας τοῦ ἱερέως παρθένους θυγατέρας παρούσας μετὰ τῶν αἰπολίων τοῦ φρέατος ἀποδιωκόντων, τυραν-

νίδι δὲ τῶν παρθένων ἐπικρατούντων, αὐτὸς ἀναστὰς τοὺς μὲν ἀδικοῦντας καὶ σὺδις ἐμάστιζεν, ἴσην ἔχων τῇ κακίᾳ τὴν ἐκ προθέσεως διώρυχα ζηλοτυπίαν, κατακτείρας δὲ καὶ πλέον τὰς παρθένους, αὐτοχειρίᾳ τῶν ὑδάτων τὰς δεξαμενὰς ἀναπλήσας, ταῖς ληνοῖς τῶν πατητηρίων τὰ θρέμματα προαγαγεῖν ἐγκελεύεται· τάχιστα δὲ τῶν κριῶν πρὸς τὸν πατέρα παρ' ἔθος ἀφικομένων, ἐκείνου μὲν τὴν ταχυτητα καταπλαγέντος, τῶν δὲ τὸ αἴτιον εἰρηκυιῶν, προφάσει συνάπτεται τῷ ἀνδρὶ καὶ παρ' αὐτῷ κατοικίζεται, καὶ δὴ τῶν θυγατέρων γήμας τὴν πρεσβυτέραν, Σεπφώρα δὲ ταύτης τοὔνομα, τεσσαρακονταετῆ χρόνον αὐτόσε διατρίβει· μεθ' ὃν προσάγει ποιμαίνων κατὰ τὸ Χωρὴβ ὄρος, ὅπου βάτος ἦν, ἣ προσεγγίσας θεοπτίας ἀξιοῦται, πῦρ γὰρ ἐδόκει τῇ βάτῳ συμπεφυρθαι, ἡ δὲ οὐκ ἐκαίετο· θαυμάσαντα δὲ τὸν Μωϋσέα, καὶ πλέον κατανοῆσαι προθυμούμενον φωνή τις ἀπείργει θειοτέρα τῆς βάτου ἐξενεχθεῖσα, ἡ δὲ ἦν λύειν παρακελευομένη τὰ τῶν ποδῶν ὑποδήματα, ἐγὼ δὲ φήσαντος εἰμὶ τοῦ λαλοῦντος, ὁ θεὸς τῶν πατέρων σου, ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακώβ· ἔμφοβος δὲ γενόμενος Μωϋσῆς, ὑλαβεῖτο κατανοῆσαι· πολλῆς δὲ τῆς ἐκ τοῦ λαλεῖν παῤῥησίας ὑπαρχθείσης, τοῦ μὲν θεοῦ προσάσσοντος τὴν αἰγυπτίων καταλαβόντα τὸν Μωϋσέα, τῆς αἰγυπτίων ἐξελέσθαι δουλείας τοὺς υἱοὺς Ἰσραὴλ, εἰς τέλος τὲ τῆς κακώσεως ἀναβιβάσαι· τοῦ δὲ τὴν ἄφιξιν ἀναβαλλομένου, καὶ μὴ πρὸς τοῦτ' ἐξαρκεῖν διαβεβαιουμένου, τῆς τε γλώσσης τὴν βραδύτητα προτιθεμένου, καὶ τῆς φωνῆς τὸ δύσηχον προφασιζομένου, θυμωθέντα τὸν θεὸν ἐπ' αὐτῷ, χαλεπῇ θεοῦ ἀντικοτοῦντος ἀπειλῇ, τὰς μὲν οἵας ἔφαμεν προφάσεις ἀφεὶς, ὅτι μὴ παρ' αὐτοῖς ἔλεγε πιστω-

θήσεται· ῥάβδον οὖν ἐν τῇ χειρὶ κατέχων προσρίψας τῇ γῇ τοῦτο προστάξαντος αὐτῷ τοῦ λαλοῦντος, εἰς δράκοντα ταύτην μετελθοῦσαν, μάλα δείσας διῤῥάσκει· τῆς δὲ κέρκου λαβέσθαι καὶ αὖθις προστεταχότος θεοῦ, ταύτην εἶχεν εἰς τὸ ἀρχαῖον ἐπανελθοῦσαν· ἀλλ' ἔτι διαπιστῶν τὴν χεῖρα τῷ κόλπῳ προσαγαγεῖν ἐγκελεύεται· ἀφ' οὗ λεπρῶσαν αὐτὴν ἐξαγαγών, αὖθις τε εἰσαγαγών, καὶ πρὸς τὴν ἀρχαίαν χροιὰν ἀποκατασᾶσαν ἀπολαβών, τὴν ἐπ' Αἴγυπτον ὁδοιπορίαν στέλλεται, σὺν τῇ γαμετῇ καὶ τοῖς ἐξ αὐτῆς αὐτῷ τεχθεῖσι παιδίοις, τῷ πενθερῷ καὶ τοῖς προσφιλέσιν ἐξόδια προσομιλήσας καὶ μάλα φιλικά· γενομένῳ δὲ τῆς ὁδοιπορίας ἄγγελος ἐπιστὰς τὸν πρωτότοκον υἱὸν Γηρσὰμ οὕτω λεγόμενον τοῦ Μωϋσέως, μικροῦ δεῖν ἀναιρεῖ· πλὴν εἰ μὴ δραμοῦσα τοῦ παιδὸς ἡ μήτηρ, καὶ ψῆφον ἀνελομένη, τὴν ἀκροβυστίαν ἀπέκοψεν αὐτοῦ, στῆναι φήσας τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου· ὡς ἐντεῦθεν τὸν ἄγγελον φεισάμενον ὑποχωρῆσαι· τοῦ δὲ Μωϋσέως κατὰ τὸ Σηεὶρ ὄρος γενομένου, τὸν αὐτοῦ ἀδελφὸν ἔκ τινος χρηματισμοῦ κατὰ τὴν ἔρημον αὐτῷ συναντήσαντα, Ἀαρὼν δὲ ὄνομα τούτῳ, τῶν ὑπὸ θεοῦ προστεταγμένων αὐτῷ κοινωσάμενον, ἀμφεῖν ἐμφανίσαι λέγεται τοῖς ἰσραηλίταις· καὶ τὰ μὲν πρῶτα χαρήσεσθαι τούτους, εἰ μὴ τοῦ Φαραὼ τοῦ προσάγματος ἐπενεχθέντος, ἡ τῶν ἀχύρων τοῖς πλινθουργοῖς ἀποστερησις, πικροτέραν τοῖς κάμνουσι παρεῖχε τὴν ἀλγηδόνα· μεμαστιγμένοι τε καὶ πρὸς ἀπορίαν παντελῆ ἐληλακότες, τὸν Μωϋσέα διαλοιδοροῦνται καὶ τὸν Ἀαρών· τοῦ δὲ θεοῦ παρορμῶντος αὐτοὺς, σημείοις τε καὶ τέρασιν οἷς καθεξῆς τῶν λόγων προϊόντων κατ' εἶδος σημανοῦμεν καθοπλίζοντος, πολλαῖς μὲν Αἴγυπτον συμφοραῖς μεμαστιγωμένην, πολλαῖς δὲ

πληγαῖς πάντοσε τετρωμένην, ὑφὶ γεῦν πανσυδὶ τῆς αἰγυπτίων κακώσεως σὺν χειρὶ κραταιᾷ καὶ βραχίονι ὑψηλῷ, ταύτην ἐν ἐσχάταις κακοῖς ἀφέντες ἀπηλλάγησαν· ἐντεῦθεν θάλασσαν μὲν ὁδοιπορήσαντες μέσην ἀβρόχοις ποσὶν· ὑπ' ἐκείνῳ δὲ τὸ Χωρὴβ ὄρος ἐδηγηθέντες, θείας ἀξιοῦνται νομοθεσίας· τοῦ Μωϋσέως φανερῶς ὡς ἰδεῖν εἰκὼς τῆς θεοῦ θεωρίας ἀξιωθέντος.

Πιστὸς ἐνὶ πρετέρεσι θυηπόλος ἔσκεν Ἀαρών. 316.

Οὗτος Ἀαρὼν Μωϋσέως ὢν ἀδελφὸς, ἀρχιερεὺς ἦν τοῦ θεοῦ προφήτης ὑπάρχων, καὶ τοῦ λαοῦ σὺν τῷ Μωϋσῇ καθηγούμενος.

Μήνῃ δ' ἠελίῳ τε δρόμον σχέθεν ἠὺς Ἰησοῦς. 317.

Τοῦ Μωϋσέως μεταστάντος καὶ Ἀαρὼν, τοῦτον Ἰησοῦν υἱὸν ὄντα Ναυῆ, τοῦ λαοῦ προηγεῖσθαι πρὸς τὴν τῆς ἐπαγγελίας γῆν ὁ θεὸς διατάσσεται· ἐν ᾗ γεγενὼς, πέντε βασιλέων τὴν χαναναίων οἰκούντων γῆν ἐπιθεμένων ὁμοθυμαδὸν αὐτῷ τοῦ πολέμου κρατήσας, μέλλοντα δύναι τὸν ἥλιον ἐπέχει, στήσας ἐπὶ τοῦ ὀχήματος αὐτὸν τριῶν ἐφ' ὥρῶν διάσημα, μέχρι παντελοῦς ἀπωλείας τῶν ἐναντίων· τῷ μὲν ἡλίῳ κατὰ Γαβαῶ κώμην, βραχὺ τῆς Ἱερουσαλὴμ διεστηκυῖαν, τῇ δὲ σελήνῃ κατὰ φάραγγα Σελὼν, τὸν δρόμον κατασχών· συλλαβὼν δὲ καὶ τοὺς πέντε βασιλεῖς ἐν σπηλαίῳ τινὶ καταδύντας, ἐπὶ ξύλων κρεμάσας ἀνεῖλε· τῆς δὲ γῆς κατακρατήσας, ταύτην κληροδοτεῖ ταῖς ὑπολειφθείσαις φυλαῖς τοῦ Ἰσραήλ.

Καὶ σὺ μάκαρ χρισοῖσι φέρων κέρας ἄγνὲ Σαμυήλ. 319.

Οὗτος ἐστὶ Σαμυὴλ ὁ κριτὴς, ὁ μετ' Ἠλεὶ τὸν ἱερέα κρίνας τὸν Ἰσραήλ· ὃς τὸν μὲν Σαοὺλ πρῶτον βασιλέα χρίει τῷ Ἰσραήλ, δεύτερον δὲ τὸν Δαβὶδ μετ' ἐκεῖνον· οὗτος δὲ

χρίων τοὺς βασιλεῖς, κέρας ἔχων μετὰ χεῖρα ταῖς κεφαλαῖς τῶν χριομένων ἐπετίθει, ἐξ οὗ αὐτομάτως ἔλαιον ἀνεβλύσανε, τῆς κεφαλῆς τοῦ χριομένου καταχεόμενον· ὡς ἐντεῦθεν χριστὸν τὸν βασιλέα καλεῖσθαι.

320. Δαβὶδ ἐν βασιλεῦσιν ἀείδιμος ἦεν ἅπασιν.

Οὗτος ἐστὶ Δαβὶδ ᾧ ἐμαρτύρησεν ὁ Θεὸς λέγων· εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ ἄνδρα κατὰ τὴν καρδίαν μου· ὃς ὢν παιμὴν προβάτων, βασιλεὺς Ἰσραὴλ ψήφῳ θείᾳ καθίσταται, πάντων τε τῶν ἀπ' αἰῶνος βασιλευσάντων ὑπάρχει διάδηλος, προφήτης τε καὶ θεσπάτωρ· τούτου γὰρ ἀπὸ τοῦ σπέρματος, Χριστὸς ἀναγορεύεται κατὰ σάρκα.

321. Καὶ Σολομῶν σοφίης πρῶτον κλέος.

Τὸν Σολομῶντα τίκτει Δαβὶδ καὶ τῆς αὐτοῦ διάδοχον βασιλείας καθίστησι· τούτῳ καθ' ὕπαρ φανεὶς ὁ Θεὸς, καὶ ὅτι βούλοιτο τῶν κατὰ κόσμον παρ' αὐτοῦ ἐξαιτῆσαι προτρεπόμενος, σοφίαν αὐτῷ δοθῆναι πρὸς τοῦ χρηματίζοντος ἐξητήσατο, πρὸς τὸ δύνασθαι τὸν λαὸν θεσπρεπῶς ἄγειν, καὶ κρίσιν ἔμφρονα τοῖς ὑπ' αὐτῷ τεταγμένοις διεκφαίνειν· ταύτῃ τὸν Θεὸν ἀρεσθέντα, πρὸς τῇ λοιπῇ δόξῃ καὶ σοφίαν ὑποσχέσθαι παρασχεῖν τῶν προβεβασιλευκότων καὶ τῶν ἔπειτα γεγενησομένων, λόγος ἔχει· διὸ τὸν Σολομῶντα σοφίης πρώτην δόξαν εἰκότως ὁ θεσπέσιος ὀνομάζει Γρηγόριος.

322. Ἠλίαν δὲ πρὸς οὐρανὸν ἥρπασεν ἅρμα.

Προφήτης ὁ Ἠλίας ζήλῳ δὲ τῷ πρὸς Θεὸν πυρπολούμενος, πολλαῖς μὲν πληγαῖς ἁμαρτάνοντα τὸν Ἰσραὴλ καὶ τὴν ἐκ Θεοῦ νοσοῦντα ἀποστασίαν, πολυτρόπως δαμάζει· τριῶν χρόνων καὶ μηνῶν ἓξ τὸν οὐρανὸν ἀποκλείσας, καὶ τὴν γῆν ἀνομβρίᾳ καταξηράνας, πολλοὺς δὲ τῶν ἀσεβούντων εἰς Θεὸν ἀνελὼν, ἔμπνους μεταστὰς ἅρματι πυρίνῳ

χαίρων ἐπιβὰς, εἰ θεὸς προσίταξι μετιτέον, θάνατον οὐκ ἰδὼν καὶ τῶν ἀνθρωπίνων ὕρων ἐν σαρκὶ μέχρι δεύρο διάγων ὑπερανέχει.

Τίς δὲ νόμου μέσον καὶ πνεύματος οὐχὶ τέθηπεν, 523.
Φωτὸς Ἰωάννην ἐρικύδεα πρόδρομον ὄντα; 524.

Μέσος Ἰωάννης τοῦ νόμου λέγεται τοῦ πνεύματος, ὅσῳ μὲν προφήτης ὑπάρχων καὶ προφητῶν ἀπεσφράγισμα, αὐτὸν δὲ σωματικοῖς ὀφθαλμοῖς ἰδὼν τὸν ὑπ' αὐτοῦ κηρυττόμενον· πρόδρομος δὲ λέγεται κατὰ τὴν γέννησιν καὶ τὸ κήρυγμα· ἓξ γὰρ μηνῶν προγεννᾶται Χριστοῦ σαρκικῶς τικτομένου· οὗτος δὲ ὁ Ἰωάννης Ζαχαρίου παῖς ὑπάρχων τοῦ ἱερέως ἐξ Ἐλισάβετ στείρας οὔσης, τῷ Ζαχαρίᾳ κατά τινα χρησμὸν θυμιῶντι τὸν θεῖον ναὸν τίκτεται· οὗ χάριν ἀναιρεθεὶς ὑπὸ Ἡρῴδου Ζαχαρίας ἐν τῷ ναῷ, τὸν Χριστὸν εἶναι τὸν Ἰωάννην ὑπονοοῦντος, ὅθεν τὸ πέρας εἴληφε τῆς ἐν σαρκὶ βιοτῆς· Ἰωάννην δὲ διασωθέντα τῶν Ἡρῴδου χειρῶν, χρόνοις ἐπὶ τριάκοντα κατὰ τὴν ἔρημον βοτάναις καὶ τοῖς τῶν καλάμων ἀκροδρίοις ἀσκούμενον, προκηρύξαι Χριστὸν φανησόμενον ὁ θεὸς ἀποστέλλει, ὃς ἐλθὼν προκαταγγέλλει Χριστοῦ τὴν ἐπιφάνειαν· τοῦ δὲ πλήθους συῤῥέοντος πρὸς αὐτὸν καὶ βαπτιζομένου ἐν τῷ Ἰορδάνῃ ποταμῷ, παραγίνεται μέσος τῶν δήμων Ἰησοῦς, ὃν Ἰωάννης οὐκ ἠγνόησεν· ἀξιοῦντα δὲ τὸν Ἰησοῦν ὑπ' αὐτοῦ βαπτισθῆναι διακωλύει, μὴ πρέπον εἶναι τοῦτο διανοούμενος· ἐπιμένοντα δὲ Χριστὸν καὶ ταύτῃ πρέπον πᾶσαν πληροῦν δικαιοσύνην αὐτὸν διαβεβαιούμενον, μόλις ὅμως βαπτίζει· θείου τε πνεύματος σωματικῶς ἐπιθημοῦντος αὐτῷ ἐν εἴδει περιστερᾶς, τῆς θεοπτίας ἀξιωθεὶς, καὶ πατρικῆς οὐρανόθεν φωνῆς ἀντιλαβόμενος, αὐτὸν εἶναι τὸν ἐκλεκτὸν τοῦ θεοῦ μαρτυρήσας, τῷ

τε πλήθει τὰ εἰκότα διαλεχθεὶς, τὴν ἐπὶ τὸ πέραν ἀσπασάμενος ἔρημον, μετ' οὐ πολὺ τῇ Ἡρώδου τοῦ τετράρχου περιτυχὼν μιαιφονίᾳ, τῆς ἐν βίῳ διατριβῆς τὴν οὐρανίαν ζωὴν ἀντηλλάξατο.

325. Τίς δὲ δυωδεκάδα κλεινῶν μετέπειτα μαθητῶν;

Δώδεκα Χριστὸς μαθητὰς ἐκλεξάμενος, ἐπισήμους τοῖς θείοις χαρίσμασι δι' ὧν ἐνήργουν δυνάμεων τοῖς πᾶσιν ἀνέδειξεν, οἷς καὶ τὴν οἰκουμένην διανείμας, τοῦ σωτηρίου κηρύγματος προστάττει καθηγεῖσθαι.

326. Τίς Παύλοιο μένος μεγαλήτορος οὐρανοφοίτου;

Παῦλος οὗτος ἑβραῖος τὸ γένος καὶ ζηλωτὴς, πολλαῖς διωγμοῖς τὴν ἐκκλησίαν πορθήσας, καὶ περισσῶς τοῖς μαθηταῖς ἐμμαινόμενος, μετὰ γραμμάτων καὶ τῆς τῶν ἐν Ἱερουσαλὴμ ἀρχιερέων ἐξουσίας, τὴν Δαμασκὸν μετελεύσεσθαι προθυμεῖται, εἴ τινας αὐτόσε τῆς ὁδοῦ εὕροι γυναῖκας τὲ καὶ ἄνδρας, ἄξων εἰς Ἱερουσαλὴμ τιμωρηθησομένους· ᾧ τινι τῇ Δαμασκῷ προσεγγίσαντι Χριστὸς οὐρανόθεν ἅμα μὲν καταστράπτει, ἅμα δὲ καὶ πρὸς λόγους συγκαταβαίνει· πυνθανομένῳ δὲ τῷ φανέντι τί ποτε τοῦτον διώκει, κἀκείνῳ ἀντεπαγόντι τίς ἂν εἴη, μαθόντι τὲ τὸν Ἰησοῦν ἐκεῖνον εἶναι ὃν αὐτὸς διώκειν προθυμεῖται, τοῦ φανέντος τὰς ὄψεις κεκορεσμένας φωτὸς ἐπιφερόμενος, Ἀνανίου τινὸς τῶν αὐτόθι καθηγουμένου μαθητῶν ἐμφανισθέντος αὐτῷ, καὶ τὰς αὐτῷ πεπληγυίας ἀποκαταστήσαντος ὄψεις, τοῦ τῆς ἀναπλάσεως ἀξιωθεὶς ὕδατος, κήρυξ χρηματίζει Χριστοῦ, πᾶσαν τὲ τὴν οἰκουμένην σχεδὸν τοῖς Χριστοῦ δικτύοις ἐμβαλὼν, τρίτον οὐρανὸν ἐν σώματι ὢν διίπταται, εἰς δὲ τὸν παράδεισον ἁρπασθεὶς, ἀῤῥήτων κατηξιώθη ῥημάτων ὧν ἀνθρώποις βουλομένοις εἰπεῖν οὐκ ἐξόν.

Ψυχὴ δὲ θεοῦ κρατέοντος ἄημα· 394.
Ἔκτοθεν εἰσπίπτουσα θεοῦ πλάσει, εἶθον ὁ μίξας, 395.
Πῶς τὸ πρῶτον ἔπνευσε καὶ εἰκόνα μίξατο γαίῃ. 396.

Τὴν ψυχὴν ἔμπνειαν λέγει θεοῦ· τὸν γὰρ ἄνθρωπον ἀρχῆθεν ὁ θεὸς ἐκ γῆς λαβὼν καὶ χερσὶν ἁγράντοις διαπλάσας, ὕστερον ἐμφυσήσας πνοὴν αὐτῷ παρέχει ζωῆς· ὡς γενέσθαι ψυχὴν ζῶσαν, δι' ἧς ἔμψυχον καὶ τὸ σῶμα καὶ πρὸς τὰς κινήσεις ἐπιτήδειον.

Ὃν παῖς ἀθανάτοιο πατρὸς ἐστήσατ' ἄνωθεν, 412.
Ἐκγεγαὼς ἀδέτοιο καὶ ἄρθιτος, οὐ φθινύθοντος. 413.

Τῆς θείας γεννήσεως μέμνηται· τὸν γὰρ υἱὸν ὁ πατὴρ ἄνωθεν ἀχρόνως καὶ ἀϊδίως ἐγέννησεν, αὐτὸς μὲν ἄζυξ ὑπάρχων καὶ ἀσύνδετος ὁ πατὴρ, ἄζυγα δὲ παῖδα γεννήσας τὸν μονογενῆ λόγον αὐτοῦ.

Καὶ τοκετοὺς ἐκάθηρε νόμῳ. 416.

Τῷ Μωϋσῇ προστάσσων ὁ θεὸς καὶ νόμον διδοὺς, τοῖς υἱοῖς Ἰσραὴλ τοὺς τοκετοὺς ἐκάθηρεν, ὁρίσας προστεταγμένας ἡμέρας αἷς ἐχρῆν τὰς τικτούσας καθαίρεσθαι, καὶ θυσίας περὶ καθαρσίων καί τινας ἁγνισμοὺς καὶ παρατηρήσεις.

Καὶ νηὸν ἔτισε,
Σώμασιν ἁγνοτάτοισιν ἀμοιβαδίων ἱερήων. 417.

Τοὺς ἱερεῖς προστάσσει θεὸς μὴ πρότερον τῶν θυσιῶν ἅπτεσθαι καὶ τῶν ἁγίων ἐπιβαίνειν, εἰ μὴ τὸ σῶμα νάμασι ῥαντίζοιντο καθαροῖς, τάς τε στολὰς ἀμείψαιεν, καὶ τὰ ἱμάτια πλύνωσι, καὶ γυναικῶν ἀπόσχοιντο, καὶ τῆς ἄλλης σωματικωτέρας ῥίπτοιντο κηλίδος.

Μάρτυς Ἰωάννειο πατὴρ μέγας, οὔτι πάρειθε, 418.
Σπερμήνας φίλεν υἷα, τὸν ἔνδοθι δέξατο νηοῦ. 419.

Σκοπὸς τῷ διδασκάλῳ παραστῆσαι, μὴ χωρὶς ἁγνισμοῦ θεοπτίας δυνατὸν ἀξιωθῆναι· κεῖται πρὸ βραχέως.

422. Τοῦ δὲ νόμου τέλος, Χριστὸς μερόπεσσι κερασθείς,
423. Παρθενικῆς ἀπὸ γαστρός, ὅπως γάμος ἐς χθόνα νεύσῃ.

Παρθένος ἡ Μαρία θυγάτηρ Ἰωακεὶμ καὶ Ἄννης, ἀνδρῶν εὐλαβῶν τὰ πάντα καὶ λευϊτῶν τὸ ἄξίωμα· ταύτῃ σείρᾳ οὔσῃ τῇ Ἄννῃ καὶ πολλαῖς τὸν θεὸν ὑπὲρ γονῆς λιταῖς ἐξευμενιζομένῃ, Μαρία τίκτεται ἡ θεοτόκος· ἣ καὶ καθ' ὑπόσχεσιν τῶν γονέων τῷ θείῳ ναῷ δῶρον προσάγεται· ἀνδρυνθεῖσαν οὖν κατά τινα θειότερον κλῆρον Ἰωσὴφ δαυΐδης μνηστεύεται, ἣν πρὸ τοῦ συναφθῆναι κατὰ γαστρὸς ἔχουσαν, Ἰωσὴφ ἐξ αὐτοψίας εἰπὼν τὸ συμβάν, ἄλλως τε δὲ δίκαιος ὤν, οὔτε παραδειγματίσαι τὴν παρθένον, οὔτε κατέχειν ἠνέσχετο, πλὴν εἰ μὴ θεοπτίας ἠξιώθη, τὸν φόβον αὐτοῦ τὸν περὶ τὴν παρθένον καὶ τὰς ὑπονοίας ἀφαιρουμένης· καὶ γοῦν ἡ παρθένος ἐκ πνεύματος ἁγίου συνειληφυῖα· Γαβριὴλ γὰρ ὁ τοῦ θεοῦ ἄγγελος ἐπισὰς χαίρειν καὶ θαρρεῖν προσέταξεν, ἅτε τὸν βασιλέα τοῦ παντὸς ὡς παιδίον μέλλουσαν τίκτειν· ἀπιστούσῃ δὲ τῇ παρθένῳ καὶ τὸ μὴ χωρὶς ἀνδρὸς συναφείας τεκεῖν προβαλλομένῃ, παρθένον ἑαυτὴν καὶ τῆς ἀνδρῶν ὁμιλίας μακρὰν ἰσχυριζομένῃ, τὴν ἀμφίβολον ὑπόνοιαν ὁ Γαβριὴλ ὧδε λύει· πνεῦμα γὰρ ἅγιον ἐπελεύσεσθαι τῇ παρθένῳ, καὶ δύναμιν ἐπισκιάσειν ὑψίστου φησίν· ὁ μὲν οὖν οὕτως εἰπὼν ᾤχετο· τῇ δὲ τὸ λεχθὲν ἔργον ἦν· κατ' αὐτὰ γὰρ ἐκ πνεύματος ἁγίου συλλαβοῦσα, Χριστὸν ἀπεκύησε σωτῆρα θεὸν, παρθένος καὶ ὧδε μετὰ τόκον φυλαχθεῖσα.

430. Τίς δ' ἀγορῇσι γέγηθε, καὶ εἰδόμασι, καὶ τίς ἀγῶσιν
431. Οὓς μῦθοισιν ἔπηξαν ἐπ' ὠκυμόροισιν ἐφήβοις;

Ἀγῶσι χαίρεντα τὸν Ἡρακλέα φησὶν· οὕτω γὰρ δώδεκα διανῦσαι λέγεται ἄθλους πρώτιστον ἐν Νεμέᾳ τῇ χώρᾳ τὸν βριαρὸν ἀπέπνιξε λέοντα· δεύτερον, ἐν Λέρνῃ τὸν πολυκέφαλον ὤλεσεν ὕδραν· τρίτον, τὸν ἐρυμάνθιον κευτίσας ἔβρηξε κάπρον· τέταρτον, ἤγρευσε τὸν χρυσόκερων ἔλαφον· πέμπτον, τὰς συμφαλίδας ἐξεδίωξεν ὄρνιθας· ἕκτον, τὸν λαμπρὸν ζωστῆρα τῆς Ἀμαζονίδος ἐκόμισεν· ἕβδομον, Αὐγείου τὴν κόπρον ἐξήνυσεν ὑποστάς· ὄγδοον, ταῦρον ἐκ τῆς Κρήτης ἐξήγαγεν ὀλέθριον· ἔνατον, ἐκ Θράκης τὰς Διομήδους ἤλασεν ἵππους· δέκατον, ἐξ Ἐρευθείης * ἑκατὸν βόας ἤλασε τοῦ Γηρυόνου· ἑνδέκατον, ἐκ τοῦ ᾅδου τὸν Κέρβερον εἵλκυσε κύνα· δωδέκατον, εἰς Ἑλλάδα τὰ χρύσεα ἤνεγκε μῆλα· μύθους δὲ τὰς Ὁμήρου τερθρείας καλεῖ, μηδὲν ἐχούσας ἐσάξιον λόγου· οὗτος γὰρ τὸν τρωϊκὸν ἐστόρεσε πόλεμον, εἴ τις ποτὲ ἦν πόλεμος· πολλῶν ἐς ταυτὸν βασιλέων καὶ στρατοπέδων συνειλεγμένων πόρνης χάριν τινὸς τῆς Ἑλένης· ἀγῶνας τινὰς ἐφήβων καὶ θεῶν θηλάνδρων διηγεῖται, καί τινας πελοπίδας ἐκ Πέλοπος μεγαλαυχεῖ, καὶ κεκροπίδας ἀπό τινος Κέκροπος, αἰακίδας τε καὶ ἡρακλείδας ἐξ Αἰακοῦ καὶ Ἡρακλέους τὸ γένος καταγομένους, κοινῇ δὲ πάντων καὶ θεῶν καὶ ἡρώων τρώσεις καὶ πτώσεις, ἀνατροπάς τε καὶ παλιμβόλων ἀσάτας θεῶν· ἐφήβους δὲ ταχυθανάτους, τοὺς περὶ τὸν πριαμίδην Ἕκτορά τε καὶ τὸν Πάριδα καὶ Αἰνείαν, Ἄδραστον καὶ Σαρπηδόνα, καὶ τοὺς ἄλλους τῶν τρώων ἀριστῆας· ὁμοίως δὲ καὶ τοὺς ἐξ ἑλλήνων, Αἴαντε δύο τὸν τελαμώνιον, καὶ ὃν καλοῦσι λοκρὸν, καὶ τὸν τυδέα Διομήδην, Πάτροκλον τὸν Μενοιτίου, καὶ λαερτιάδην Ὀδυσσέα, καὶ πηλείδην αὐτὸν φησὶν Ἀχιλλέα, καὶ τοὺς τῶν Ἀτρέως παίδων ὑπασπιστὰς· οὓς ἑξῆς τῶν

* Ἐρυθείης.

λόγων προϊόντων, πλατυτέρου γέλωτος, οὐ γὰρ ἀξιώσομεν λόγου.

433. Τίς σοφίην κενεαυχέα ἧτ' ἐνὶ χερσὶν,
434. Ἧτ' ἐν ἀραχναίοισι λόγοισι καὶ πλέγμασι κεῖται
435. Αὐτοῦ τικτομένοισι, καὶ ἠέρι λυομένοισιν;

Τὴν ἑλλήνων σοφίαν τῇ ἀράχνῃ Γρηγόριος ἀπεικάζει· ματαίως δὲ ταύτην καυχωμένην φησὶ, μόνεις γὰρ ἀραχναίοις λόγοις καὶ πλέγμασι κεῖται, οὐδὲν δὲ ἀράχνης ἐστὶν ἀσθενέστερον· ἐπὶ δὲ τόπου τίκτεσθαι ταύτην φησὶ καὶ ἐν τῷ ἀέρι λύεσθαι· δεικνὺς τὸ κενὸν αὐτῆς καὶ ἀνωφελὲς, καὶ πάσης ἀλογιστίας ἀλογώτερον.

438. Ταῦτα μὲν οὕτι γάμοιο διδάγματα τῆς δ' Ἀδάμοιο
439. Τίσιες ἀρχαίης τυτθὸν μέρος εἶσιν ὑφέρπει·
440. Πτέρναν ἐμὴν δοκέων πικρὸς ὄφις *,
* κεῖται ἡ κατὰ τοῦ Ἀδάμ.
Ῥίζα Καΐν, Σοδόμων τε, καὶ οὓς ἐσκέδασ' ἐπὶ πύργῳ,
448. Χριστὸς ἀτασθαλέοντας, ὕβριν θ' ὧν ἔσβεσεν ὄμβρος.
449. Ῥίζα τῆς κακίας ὁ Καΐν· οὗτος δὲ πρῶτος ἐξ Ἀδὰμ τίκτεται· ἔχων δὲ ἀδελφὸν τὸν Ἄβελ καὶ αὐτὸν δεύτερον ἐξ Ἀδὰμ γεγεννημένον, βληθεὶς ὑπὸ δαίμονος φθόνῳ, τὸν ἴδιον ἀδελφὸν ἀναιρεῖ· αὐτὸς μὲν ὁ Καΐν γεωργικὸν ἐπανηρημένος βίον, τῆς ἥσπερ εἰργάζετο γῆς τὰ καλλιστεύοντα μετασχὼν, τῷ θεῷ προσάγει τὰ δεύτερα· τοῦ δὲ Ἄβελ καὶ αὐτοῦ ποιμενικὸν ἄγοντος βίον, τῶν ἀκροθινίων τά τε καλλιστεύοντα καὶ πίονα προσάγει τῷ θεῷ· τοῦ θεοῦ προσεσχηκότος τῇ τούτου θυσίᾳ, τὴν δὲ τοῦ Καΐν ὡς βδελυρὰν ἀπωσαμένου, λίαν τε λυπήσαντος αὐτὸν, ἐπὶ τούτων βασκανίᾳ βληθεὶς, ὡς ἐπ' ἄλλῳ τὸν Ἄβελ κατὰ τὸ πεδίον παραλαμβάνει· τὸν δὲ παρεπόμενον ἀκάκως, ἐπιτηρήσας λίθον κατὰ τῆς αὐτοῦ κεφαλῆς ἀγαγὼν ἀναιρεῖ· πρω-

τις οὗτος μιαιφόνος· διὸ καὶ βίζα τῆς κακίας ὠνόμασται· πυνθάνεσθαι δὲ περὶ Ἄβελ τὸν Θεὸν, λανθάνειν ἐπειρᾶτο· τῆς δὲ τ' ἀδελφοῦ μνήσας ὁ Θεὸς αἰμοχυσίας, ὡς πάσης ἰσχυρότερον φθέγγεται γλώσσης, στένειν καὶ τρέμειν ἐπὶ τῆς γῆς πάσαν αὐτῷ καταδικάζει τὴν βιοτὴν, μήτε δὲ τὸν εὑρίσκοντα ἀναιρεῖν αὐτὸν, ἡ γὰρ ἂν ἐκδικήσεις ἑπτὰ παραλύσει ἀπειλεῖται· οὕτω μὲν οὖν τὸν μιαιφόνον καταδικασθέντα, καὶ Θεοῦ πόρρω βεβληκότος, γενεαλογίας ἡ Θεόπνευστος γραφὴ ἀπηξίωσε· τοῦ δὲ Ἄβελ τοῦτον εἰκότος τρόπον ἀσπέρμου, τῆς τοῦ Σὴθ, τρίτος οὗτος δὲ παῖς ἐξ Ἀδὰμ, γενεαλογίας ἀπάρχεται· λόγος ἔχει δὲ τὸν Λάμεχ ἐκεῖνον, οὗ τῆς κατὰ τὸν Θεῖον Ἐνὼχ ἱστορίας ἐμνήσθημεν γεγονότες, τὸν Κάϊν ἀνελεῖν εὑρηκότα· διὸ καὶ ταῖς ἑαυτοῦ γυναιξὶν εἰπεῖν λέγεται ὡς ἀνεῖλεν ἄνδρα εἰς τραῦμα ἑαυτῷ, ὅτι φησὶν ἐκ Κάϊν ἐκδεδίκηται ἑπτάκις, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά· μὴ πιθανῶς ἔχειν δέ μοι δοκεῖ ταῦτα· καὶ γὰρ τῷ τὰς γυναῖκας ἀφελεῖν τοῦ Ἐνὼχ, κἀκεῖνον μετατεθῆναι τὸν Λάμεχ εἰς μετάμελον, εἰκὸς ταῦτα φάσκειν ἐληλυθότα, ἐπεὶ καὶ μετὰ φόνον καὶ δίκην ἅρπαξ ἦν καὶ μοιχὸς καὶ τῇ προθέσει φονεύς· τὸν δὲ τοῦ κατακλυσμοῦ λόγον καὶ τῶν σοδομιτῶν τῆς τε πυργοποιΐας, εὑρήσεις ἀνωτέρω.

Τίς Φαραὼ κακόμητιν. 451.

Φαραὼ βασιλεὺς ὑπάρχων Αἰγύπτου, τὸν Ἰσραὴλ πικρῶς καταδουλούμενος, ἔργοις σκληροῖς δαμάζων καὶ βίᾳ καταδυναστεύων, πρὸς τὰς ἀπειλὰς τοῦ Θεοῦ τὰς διὰ Μωϋσέως αὐτῷ πεμπομένας καταφρονητικῶς ἔχων, καὶ τῆς δουλείας τὸν Ἰσραὴλ ἀπολύσειν σκληρυνόμενος ὑπερηφάνῳ γνώμῃ, κατὰ τὴν ἐρυθρὰν παναστρατιᾷ γενόμενος θάλασσαν, τοῖς

ἰσραηλίταις τιμηθεῖσαν τὸν ἴσον ἐπιβὰς τρόπον, ὑποβρύχιος ἔλλυται, τοῦτο τέλος τῆς ἀνοίας ἄξιον κληρωσάμενος.

452. Ἀχαὰβ θράσος, ἀσσυρίων τὲ πικροτάτους βασιλῆας.

Οὗτος Ἀχαὰβ ὁ θρασύτατος, βασιλεὺς γέγονε παρανομώτατος Ἰσραήλ· ὃς τὸν Ἰσραὴλ ἀπὸ θεοῦ ἀποστήσας, τῷ Βάαλ λατρεύειν καὶ τοῖς ἄλσεσιν ἐκδιδάσκει, τάς τε χρυσᾶς ἐν Ἰεζραὲλ δαμάλεις προσκυνεῖν παρασκευάζει· τούτου σύμβιος ἡ πόρνη ἦν Ἰεζάβελ, ἥ τις τὸν δίκαιον κατελιθοβόλησε συκοφαντήσασα Ναβουθὰ, τούς τε προφήτας ἐξωλόθρευσεν ἀποκτείνασα κυρίου, καὶ τράπεζαν ἐσθίειν βασιλικὴν τοὺς τῆς αἰσχύνης παρεσκεύασε προφήτας· τούτων κατὰ τοὺς χρόνους Ἠλίας ὁ θεσβίτης ὑπῆρχεν, ὃς τὸν οὐρανὸν ἀποκλείσας, τὴν γῆν ἀνυδρεῖν χρόνοις τρισὶ καὶ μησὶν ἐξήρανεν ἓξ· προστάξαντος δὲ τοῦ θεοῦ ἐμφανισθῆναι τῷ Ἀχαὰβ, ὥστε γενέσθαι ὑετὸν ἐπὶ τῆς γῆς, ἐμφανισθέντα τὸν προφήτην Ἠλίαν, καὶ τῷ βασιλεῖ προστάξαντα τοὺς τῆς Βάαλ προφήτας εἰς τὸ Καρμήλιον ὄρος συναθροῖσαι, πεισθεὶς Ἀχαὰβ τοῦτο ποιεῖ· παντὸς δὲ τοῦ Ἰσραὴλ παραγενομένου, κατ' ὀφθαλμοὺς πάντων θυσίαν ἱερουργῆσαι τοῖς προφήταις προστάσσει τῆς αἰσχύνης, καὶ τὰ μὲν ξύλα στοιβάσαι, καὶ τὸν βοῦν κρεανομῆσαι, καὶ τοῖς ξύλοις ἐπιστοιβάσαντας, μὴ πῦρ ἐπιθεῖναι ἀλλὰ τὸν Βάαλ ἐπικαλέσασθαι, καὶ παρ' αὐτοῦ πῦρ αὐτομάτως ὑφαπτόμενον καὶ τὴν θυσίαν ὁλοκαυτοῦν ἐξαιτήσασθαι· τούτου δὲ γενομένου, καὶ τῶν τοῦ Βάαλ προφητῶν ἀπ' ἕωθεν ἕως δειλινοῦ τὸν Βάαλ ἐπιφωνουμένων, καὶ ὡς ἔθος αὐτοῖς τεμνομένων μαχαίραις καὶ σειρομάσταις, ἕως ἐκχύσεως αἵματος ἐπ' αὐτοὺς, φωνῆς δὲ μὴ οὔσης μὴ δ' ἀκροάσεως, τὸν προφήτην Ἠλίαν ἐκείνους μὲν μυκτηρίσαντα καὶ τῆς λύσ-

σις ἀποστήσαντα, θυσίαν ἐλεαρπώσεως τελέσαι λέγεται τοιῶδε· πρῶτα μὲν θυσιαστήριον οἰκοδομήσας ἐκ λίθων ἀπελεκήτων, καὶ τούτῳ θάλασσαν ὑποστυπώσας, καὶ ξύλα τῆς ἐλεαρπώσεως ἐπιστοιβάσας, ἐπιθεὶς δὲ καὶ τὰ κρέα, καὶ τὴν θάλασσαν ὕδατος πληρώσας, ἐπικαλεσάμενός τε τὸν θεὸν, οὐράνιον παρέστησε πῦρ, τὰ μὲν ξύλα κατεδόμενον καὶ τὰ κρέα, τὸν δὲ χοῦν ἐκλεῖξαν σὺν τῷ ὕδατι, καὶ τὸν Ἀχαὰβ σὺν παντὶ τῷ Ἰσραὴλ ἐκθειματῆσαν· ἔπειτα τοὺς τῆς αἰσχύνης, ἑκατὸν δὲ τὸν ἀριθμὸν καὶ πεντήκοντα οὗτοι, τράπεζαν ἑσθίοντες Ἰεζάβελ, συλλαβόμενος ἀναιρεῖ πάντας ἐπὶ τὸ αὐτὸ· καὶ τοῦ Ἀχαὰβ ἀποκλαιομένου, ἐξαποστέλλει τῇ γῇ τὸν ὄμβρον δι' εὐχῆς καὶ οὕτω παρασχόμενος· ταῦτα μὲν οὖν τῆς Ἰεζάβελ ἀκουσάσης, καὶ τὴν ἀπώλειαν τῶν Βααλείμ ἐγνωκυίας, ἀπειλαῖς τὸν προφήτην ἐκθειματούσης, τὸ Χωρὴβ ὑποδέχεται ὄρος, τεσσαράκοντα ἡμερῶν καὶ τεσσούτων νυκτῶν ἑδαιτρήσαντα βρώσεως ἄνευ καὶ πόσεως· αὐτοῦ δὲ γενόμενον, καὶ θεοπτίας τὸν Ἠλίαν ἠξιωμένον, πάλιν εἶχεν ἰσραηλίτις γῆ τὴν κακίαν ἀποτρέπουτα, τῆς εὐσεβείας δὲ πρεσεστηκότα. Ἀσσυρίων δὲ πικροτάτους λέγει βασιλεῖς, τοὺς κατὰ Σενναχηρεὶμ καὶ Ναβευχοδονόσορ, οἵ τινες τὸν Ἰσραὴλ ἀποικίσαντες καὶ Ἰούδαν, τὴν Ἱερουσαλὴμ καὶ πάσας τὰς πόλεις ἐνέπρησαν Ἰσραήλ.

Τίς δὲ δίκαιον 452.

Λῖμα πότῳ μάχλοις κινήμασι δόντα θυγατρός; 453.

Τὸν Ἡρῴδην ἐνταῦθα φησὶν, οὐ τὸν παιδοκτόνον ἀλλὰ τὸν Ἰωάννην ἀνελόντα· οὗτος γὰρ ὁ Ἡρῴδης τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ μοιχεύων, ἐλεγχθεὶς ὑπὸ τοῦ βαπτιστοῦ Ἰωάννου, συλλαβὼν εἶχεν αὐτὸν ἐν εἱρκτῇ· γενεσίων δὲ ἀγομένων τοῦ Ἡρῴδου, ἡ θυγάτηρ Ἡρωδιάδος ὠρχήσα-

το· τοῦ δὲ Ἡρώδου ἀρεσθέντος, καὶ συνθεμένου παρέξειν ὅπερ ἂν τὸ κόριον ἐξαιτήσαιτο, ταύτῃ προβιβασθείσῃ ὑπὸ τῆς μητρὸς, τὴν τοῦ πρόδρόμου κεφαλὴν αἰτῆσαι προστάσσει μέσον ἐνεχθεῖσαν ἐπὶ πίνακι παρασχεθῆναι· τῷ πότῳ δὲ μίξαι τὸ προφητικὸν αἷμα, φιλησονίας καὶ τῆς ἀνωτάτω παρανομίας ἐστὶ κατηγόρημα.

454. Οὗλιον Ἡρώδην παιδεκεντόνον, ἠδὲ φονῆας
455. Χριστοῦ παμβασιλῆος, ὅσοι τ' ἐγένεντο διῶκται,
456. Πρόσθεν καὶ μετέπειτα.

Ἐνταῦθα τὸν παιδεκτόνον Ἡρώδην φησὶν· οὗτος δὲ τῆς Ἰουδαίας παρανόμως βασιλεύσας, Χριστοῦ σαρκὶ τεχθέντος ἐν Βηθλεὲμ, καὶ μάγων ἐξ ἀνατολῶν ἀστέρος ποδηγίᾳ παραγεγονότων, τὸν τεχθέντα τε ἀναζητούντων βασιλέα, δέει τὸν Ἡρώδην συσχεθέντα, καὶ τοὺς ἰουδαίων ἱερεῖς πυνθανόμενον οἳ γεννᾶται Χριστὸς, ὅτι τε ἐν Βηθλεὲμ μεμαθηκότα, τοῖς μάγοις προστεταχότα τὸ παιδίον διερευνήσαντας ἐμφανίσαι· ὁ μὲν ἀστὴρ τοῖς νείλυσιν ὡς ἕδος τὴν ἐπὶ τὸ παιδίον ἡγεμονεύει τρίβον· τῶν δὲ γενομένων ἔνθα Χριστὸς, καὶ δώροις αὐτὸν ἀμειψαμένων, ὑπ' ἀγγέλου τε χρηματισθέντων μὴ πρὸς Ἡρώδην ἀνακάμψαι, δι' ἄλλης τε ἀναχωρησάντων ὁδοῦ, Ἡρώδης μεμηνὼς ἄτ' ἐμπαιχθεὶς, τοὺς ἐν Βηθλεὲμ ἀναιρεῖ παῖδας ἀπὸ διετοῦς καὶ κατωτέρω, καθ' ὃν παρὰ τῶν μάγων ἠκρίβωσε χρόνον· φονεῖς δὲ Χριστοῦ Ἄννας ἐστὶ καὶ Καϊάφας, Ἡρώδης τε καὶ Πιλάτος, καὶ τῶν παρανόμων ἰουδαίων ὁ δῆμος· οἱ δὲ μετέπειται διῶκται, τῶν ῥωμαίων εἰσὶν οἱ βασιλεῖς, οἵ τινες τοὺς ἀποστόλους καὶ μάρτυρας ἀνεῖλον· πρώτους δὲ τῶν ἑβραίων φησὶ βασιλεῖς παρανόμους, ὡς τῶν προφητῶν ἀναιρέτας.

457. Τὸν πύματον πρῶτον τε κακὸν Βελίαο βέρεθρον,

Δεινὸν Ἰουλιανὸν κράτος ψυχῶν ἑλκτῆρος, 458
Οὗ πρόσθεν πληγέντος ἐπὶ μέσον ἥρατο Χριστῷ. 459

Δεινὸν φησὶ τὸν Ἰουλιανὸν βάραθρον εἶναι τοῦ διαβόλου· οὗτος γὰρ χριστιανὸς ὢν καὶ πρὸς γένους Κωνσταντίνῳ τῷ πρώτῳ χριστιανῶν βασιλεῖ, φεῦ τῆς ἀθλιότητος, εἰς δεισιδαίμονα πλάνην ἀπάγεται, τῶν ἀθλίων εἰδώλων ἀθλιέστερος λάτρις καταστάς· οὗτος αὐτῷ Γρηγορίῳ τῷ Θεολόγῳ ἐν Ἀθήναις παιδευομένῳ συμπαρῆν, λόγων καὶ αὐτὸς μυηθησόμενος· ᾧ καὶ ὡς βασιλικῷ σεμνυνομένῳ γένει καὶ πρὸς λόγους ἐπιτηδείῳ, οἱ μὲν ἄλλοι πάντες προσέτρεχον ὁμήλικες, μόνος δὲ Γρηγόριος τῆς ἐκείνου συνδυάσεως ἀπεπήδα, προβλέπων αὐτοῦ τὸ τῆς ψυχῆς μιαρώτατον, καὶ προφανῶς αὐτοῦ τὸ βδελυρὸν προαγορεύων· οὗτος ὑπὸ μὲν Κωνσταντίνου τοῦ μεγάλου βασιλέως ὡς τυραννῆσαι βουληθεὶς ὑπερορίζεται, ἀλλὰ καὶ τῆς ἐκείνου τυγχάνει φιλανθρωπίας, ὡς εἴθε μὴ ἔτυχε· τῶν δὲ Κωνσταντίνου παίδων μετὰ Κωνσταντῖνον τοῦ βασιλικοῦ κράτους δεδραγμένων, εἷά τις κάκιστος θὴρ, τὴν μὲν πρόθεσιν ἔχων ποίμνιον διαρπάσαι, οὐ δυνάμενος δὲ τῇ τῶν ποιμένων ἐπαγρύπνῳ φυλακῇ, οἴκοι μένει, καιρὸν τῆς κακίας ἐπιτηρῶν, εἴργεται μὲν ὁ ἀτίθασσος ἐκεῖνος θὴρ, ἕως μεταστάντων τῶν Κωνσταντίνου παίδων, συνεργείᾳ τοῦ βακχεύοντος αὐτὸν ἀνδροφόνου δαίμονος τῶν βασιλικῶν ἀντελάβετο σκήπτρων· καὶ τὰ μὲν πρῶτα πειθοῖ τοὺς ὑπασπιστὰς ὑποκλέψας, εἰς τὴν ἰδίαν ὑπεσύρει δεισιδαίμονα πλάνην· ἔπειτα δὲ προφανῆ διωγμὸν τοῖς Χριστοῦ φίλοις κινήσας, πᾶσαν ὁ τὴν ψυχὴν ἀπωλωκὼς τὴν εἰκουμένην ἐσάλευσε· πλεῖστον δὲ τοῖς πιστοῖς ἐσιμαινόμενος, καὶ τὸν κατὰ Χριστοῦ πόλεμον ἐπαναδεδεγμένος, ταχέως ἀλλὰ καὶ κακῶς τοῦ

ζῆν ἀπαλλάττεται, πολλὰ μὲν εἰς Χριστὸν ἀσεβήσας· τῶν δὲ περσῶν ὡς τάχος ἀναρπασθεὶς, περσικὸν γὰρ πέλεμον συνάπτειν ἐπειγόμενος, κατὰ τοὺς τόπους ἐπελθών, αἰφνιδίως θεόπληκτος ὁ θεομάχος καθίσταται· μέχρις ἀναπνοῆς τῆς αὐτοῦ μυσαρωτάτης ψυχῆς, εἰς Χριστὸν βλασφημεῖν μὴ παυσάμενος· πολλὰς μὲν οὖν καὶ ἄλλων πολλῶν τὰς περὶ τούτου συγγραφὰς εὕροι τις ἂν ἐρευνώμενος, μάλιστα δὲ τοῦ πάντων σοφίᾳ καὶ λόγῳ πρεβεβλημένου, Γρηγορίου φημὶ τοῦ θεολόγου, τοῦ καὶ πλείστας τὸν θεομάχον ἐν ζῶσι καὶ μετὰ θάνατον βέλεσι κατατρώσαντος.

489. Πέτρης ἀῤῥαγέης γενέτης κλῃΐδα λαχόντος.

Πέτρος τῶν Χριστοῦ μαθητῶν ὁ κορυφαιότατός ἐστιν, ὃν ὁπότε ἐρομένῳ Χριστῷ τίνα φασὶν αὐτὸν εἶναι οἱ ἄνθρωποι, τῶν μὲν ἄλλων μαθητῶν ἕκαστος τὸ δοκοῦν ἀπεκρίνατο ὡς οἱ μὲν Ἠλίαν, ἄλλοι Μωσέα φασὶν ἢ Ἱερεμίαν, ἢ τινὰ τῶν προφητῶν· ἐρωτήσαντι δὲ κἀκείνους τίνα φασὶν αὐτὸν εἶναι, προπηδήσας ὁ θερμότατος ἀπεκρίνατο Πέτρος· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος· καὶ πρὸς αὐτὸν Ἰησοῦς, μακάριος εἶ Σίμων βὰρ Ἰωνᾶ· ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς· κἀγώ σοι λέγω φησὶ· σὺ εἶ Πέτρος καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς· καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσαι δεδεμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσαι λελυμένον ἐν τοῖς οὐρανοῖς· τούτου χάριν οὖν τὸν Πέτρον λαχεῖν τὴν κλεῖδα φησὶν ὁ θεῖος Γρηγόριος.

498. Ἔμπαλιν ἢ Παύλοιο μέγα σθένος ἀμφοτέρωθεν,

499. Ὃς Χριστὸν μὲν ἄτιζεν, ἔπειτα δὲ πᾶσιν ἔφηνεν,

Τρέψας εἰς ἀγαθὸν ζήλου πυρίσσαν ἰρμήν.

Τοῦ θείου Παύλου τῆς μεταβολῆς ἤδη προδιαγραφείσης, λείπεται τῆς προθέσεως ἀποδεῖξαι τὸ μέγεθος· οὐ γὰρ τὸ πιστεῦσαι Χριστῷ, πρὸς σωτηρίαν τῇ θεολήπτῳ Παύλου ἐπήρκει ψυχῇ, ἀλλὰ καὶ τὸ μεταπεῖσαι τοῦ ζήλου τὴν διάπυρον ὁρμὴν πρὸς Χριστοῦ λειτουργίαν· ἐντεῦθεν αὐτῷ τῆς εἰκουμένης πάσης ὁ δρόμος κύκλῳ ταῖς εὐαγγελικαῖς ἄρκυσι δεσμούμενος τῇ προθέσει βραχὺς ἐνομίζετο, εἰ μὴ καὶ πάσχων ὑπὲρ Χριστοῦ καὶ καθ' ἡμέραν ἀποθνήσκων, ἀκόρεστον εἶχε τὴν ἔφεσιν, προπηδῶν ἀεὶ τοῦ κηρύγματος καὶ τοῖς ὑπὲρ Χριστοῦ πάθεσιν ὡς ψυχρὸς στομούμενος σίδηρος· ἀλλ' ἐκείνου μὲν τὸ ἔργον, τὸ παγκόσμιον γίνεται κήρυγμα, ζήλου θερμότητι καὶ προθυμίᾳ, τῶν Χριστοῦ διωκτύων εἴσω βαλλόμενον· Γρηγόριος δὲ πυρίπνουν ὁρμὴν, τὸν ἐκείνου ζῆλον εἰκότως κατονομάζει μεταπεπτωκυῖαν ἐς τ' ἀγαθὸν· οὐ γὰρ διωγμὸν εἴποι τις ἂν τὸν Παύλου κατὰ Χριστοῦ πρότερον κεκινημένον, εὖ εἰδὼς διακρίνειν, ἀλλὰ ζήλου τινὸς ὁρμὴν θειοτέρου· τὸ γὰρ Μωσέα καὶ προφήτας καὶ νόμον ἀθρόον παυθήσεσθαι, παντὸς τῷ Παύλῳ θανάτου πικρότερον ἦν· ἀλλ' ὅσον εἰκὸς μεταπεπτωκέναι τὸν τοσούτῳ σκιᾶς ὑπεραγωνιζόμενον, αὐτὴν ἀριδήλως τὴν ἀλήθειαν ἐπεγνωκότα· τὸ γὰρ ἀντὶ τοῦ μετ' ἐξουσίας πράττειν, μᾶλλον πάσχειν, καὶ τοῦ κηρύγματος ὑπεραποθνήσκειν· ἀντὶ δὲ τοῦ τύπτειν τύπτεσθαι, καὶ ὅσα τοιαῦτα προθυμότατα φέρειν, τοῦ ζήλου παρίσησιν τὸ διάπυρον, καὶ τὸ τῆς ἄνωθεν ψυχικῆς εὐγενείας ἀδούλωτον· Παῦλον δὲ καὶ τὸν τούτου ζῆλον Γρηγόριος φυσιολογήσας, συντόμῳ φράσει παρέστησεν· οὐ γὰρ Γρηγόριον θέμις τὸν Παῦλον φυσιολογήσειν, ἐπεί πέρ τις ἄλλος Παῦλος μικροῦ καὶ Γρηγόριος,

492. Ἐκ δ' ἑνὸς ἀρχεγόνοιο Κάϊν καὶ Ἄβελ ὑπέσαν,
493. Ζηλήμων θυσίης τε θεοῦδέος ἐσθλὸς ἀρητήρ.

Κεῖται ἡ κατὰ τὸν Κάϊν καὶ Ἄβελ ἱστορία, ὡς ὁ μὲν Κάϊν ζηλότυπος ἦν καὶ φονεύς, ὁ δὲ Ἄβελ θεοσεβοῦς θυσίας ἀγαθὸς ἱερεύς.

494. Ἰσακίδαι δ' Ἡσαῦ τε κακὸς Ἰακὼβ τὲ φέριστος·
Καὶ πλέον, ἐκ γὰρ ἑνός, δίδυμος γόνος οὐδὲν ὅμοιος.

Ἰσαὰκ υἱὸς ὢν Ἀβραὰμ, ἔγημε Ῥεβέκκαν πρὸς γένους οὖσαν αὐτῷ, ἐξ ἧς διδύμους τίκτει τὸν Ἡσαῦ καὶ τὸν Ἰακώβ· ἀλλ' ἔτι τῶν ἐμβρύων ἐν τῇ μητρικῇ νηδύϊ τυγχανόντων, ἐρρέθη τῇ Ῥεβέκκᾳ ὡς δύο λαοὺς ἐν τῇ κοιλίᾳ φέρει, καὶ ὅτι τῷ ἐλάσσονι δουλεύσειεν ὁ πρῶτος· κατὰ καιρὸν δὲ ταύτης κυϊσκούσης, τῆς γαστρὸς ἐκπρούπτει πρότερος ὁ Ἡσαῦ, παραχρῆμα δὲ ὀλισθήσας ἔξεισιν Ἰακὼβ τῆς Ἡσαῦ πτέρνης ἐπειλημμένος· εἰς μέτρον δὲ ἡλικίας καταστάντων, ὡς μὲν ἄπλαστος Ἰακὼβ, παρῴκει θεῷ συζῶν καὶ εὐσεβείᾳ τρεφόμενος, Ἡσαῦ δὲ πονηρότατος ἅτε καὶ ἐντρεχὴς, ἔχων φυσικὴν ἀκμαιότητα, θηρευτὴς τὲ ἦν καὶ τοξότης καὶ τὰ πάντα φιλοπόλεμος· γεγηρακότος δὲ τοῦ πατρὸς αὐτῶν Ἰσαὰκ καὶ βαρυωπούντος καὶ πρὸς τὸ βιωτικὸν τέλος ἀποβλέποντος, καθ' ἑαυτὸν διανοουμένου προφάσει τὸν πρεσβύτερον εὐλογῆσαι παῖδα, κεκληκότος δὲ καὶ θηρεῦσαι θήραν αὐτῷ προστεταχότος, ἧς γευσάμενος εὐλογήσειν προεθυμεῖτο τὸν ἐπὶ τὴν θήραν ἠσειγμένον τὸν Ἡσαῦ, τοῦτον ἡ μήτηρ πτερνίζει τὸν τρόπον· τῷ νεωτέρῳ γὰρ παιδὶ φιλικῶς πῶς διακειμένη, τῆς πείμνης θᾶττον ἐρίφους ἀγαγεῖν ἐπιτάσσει λίαν ὅτι καλοὺς δύο καὶ ἁπαλοὺς, τὴν εὐλογίαν αὐτῷ πανούργως ἐμπορευομένη· τὸν δὲ νέον, καὶ γὰρ εὐλαβὴς, τὸν πρεσβύτην ἀπατήσειν εὐλαβηθέντα,

μήπως ἀντ' εὐλογίας κατάραν ἐπισπάσαιτο, λέγας πολλᾶς ὅμως ὀφέ ποτε τὸν προσφιλῆ παῖδα τὸ καλῶς αὐτῇ παραστὰν διαπράξασθαι πείθει· καὶ δὴ τῶν ἐρίφων ἀχθέντων, ταχέως ἡ Ῥεβέκκα τὰ κρέα δίσιφθα τῷ παιδὶ προσκεμίσειν ἐπὶ κανοῦ τῷ πατρὶ διατάσσεται· ἀλλ' ἔτι τὸν Ἰακὼβ τοῖς λογισμοῖς ἀγωνιῶντα, καὶ τῶν κατὰ φύσιν αὐτοῖς τὰς αἰτίας προβαλλόμενον, ὡς αὐτὸς μὲν λεῖος ἐστὶν, Ἡσαῦ δὲ δασὺς, καὶ μήποτε τὸν πατέρα ψηλαφήσαντα καὶ τὸ δράμα μεμαθηκότα, κατάραν ὡς πατρὸς καταφρονήσαντα ἐπαγάγῃ δεδοικότα, τῶν ἐρίφων ἡ μήτηρ τὰς δορὰς ἀμφιθεμένη τῶν βραχιόνων τοῖς γυμνοῖς τοῦ παιδὸς καὶ τοῦ τραχήλου, τήν τε σελὴν Ἡσαῦ τὴν καλὴν ἐνδύσασα, τῷ πατρὶ παρίστησι τῆς αὐτοῦ θήρας μετασχόμενον· ἐκπλαγέντα δὲ καὶ τὸ τάχος ἀγάμενον τὸν ὠρεσβύτην, ἡδέως τὲ τῆς βρώσεως ὅμως ἐμφορηθέντα, προσαγαγεῖν αὐτῷ τὸν παῖδα φήσαντα, καὶ φιλήσαντα καὶ τῆς τῶν ἱματίων ὀσμῆς ἀντιλαβόμενον, τίς τε εἴη πυνθανόμενον, καὶ ὅτι Ἡσαῦ ὁ παρεστὼς ἐστὶν ἀπατώμενον, ἔτι τὲ θαυμάζοντα καὶ τοὺς βραχίονας διερευνώμενον, ἐκπλήξεως γέμοντα τὸν πρεσβύτην ἀναβοῆσαι λέγεται, ὡς ἡ μὲν φωνὴ Ἰακὼβ, αἱ δὲ χεῖρες, χεῖρες εἶεν Ἡσαῦ· πολλαῖς τοίνυν τὸν Ἰακὼβ πατρικαῖς εὐλογίαις στηρισθέντα, τῆς τοῦ πρεσβύτου παραστάσεως τάχος ἐκβάλλει Ῥεβέκκα· τῆς δὲ θήρας αὐτίκα τὸν Ἡσαῦ παρόντα καὶ τῷ πατρὶ προσελθόντα, μεμαθηκότα δὲ πρὸς τοῦ πατρὸς ὡς πανοῦργος ἐλθὼν τὰς εὐλογίας ἀφείλατο Ἰακὼβ, στένοντα βαρὺ μετὰ φωνῆς τὸν Ἡσαῦ ὀδυρόμενον κατοικτείρας Ἰσαὰκ, τὰς μὲν εὐλογίας ἐπαύξει τῷ νεωτέρῳ Ἰακὼβ, τῷ δὲ Ἡσαῦ ζήσειν ἐν τόξῳ φησὶν αὐτοῦ καὶ μαχαίρᾳ, ὑπὸ δὲ τῷ ἀδελφῷ αὐτοῦ τελεῖν καὶ δου-

λεύειν αὐτῷ προαγορεύει· ταύτη τοι τὸν Ἡσαῦ πεπονημένον, καὶ τῷ Ἰακὼβ ἀντικοτοῦντα, καὶ καιρὸν ἐπιτηροῦντα τοῦ ἀνελεῖν αὐτὸν, εἰς Μεσοποταμίαν τὸν νεώτερον ἡ Ῥεβέκκα πέμπει παῖδα τοῖς συγγενέσιν αὐτῆς μιχθησόμενον, καὶ τῶν θυγατέρων αὐτῶν εἰς γάμον ληψόμενον.

496. Καὶ Σολομῶν τὰ πρῶτα σοφὸς, μετέπειτα κάκιστος,

497. Ἡνίκα θηλυτέρῃσιν ἐφωμάρτησεν ἀλιτραῖς.

Εἴρηται ἡμῖν περὶ τοῦ Σολομῶντος ἤδη, καὶ τῆς θεόθεν αὐτῷ παρασχεθείσης σοφίας τὸ αἴτιον· ἀλλ' ὅπως σοφώτατος ὢν ἐξεπάτηται, χρεὼν εἰπεῖν, ταύτης ἐπιμνησθέντος τῆς ἱστορίας τοῦ Θεηγόρου· Σολομῶν τοίνυν ὁ σοφώτατος τῆς Δαβὶδ τοῦ πατρὸς αὐτοῦ βασιλείας ἐπειλημμένος, σοφῶς τὲ διεξάγων τὰ κατὰ τὸν Ἰσραὴλ, καὶ τῶν προβεβασιλευκότων σοφίᾳ πλούτῳ καὶ δόξῃ πρεκεκριμένος, γυναικίαις αἰστρηλατούμενος ἡδοναῖς, τοῦ ὄντως λήθην λαμβάνει θεοῦ· τὸ μὲν γὰρ πονηρὸν γενέσθαι τοῦτον, τῇ θεοπνεύστῳ γραφῇ σεσημείωται αἰνιγματωδῶς, πλέον δὲ καὶ τὸ μὴ τοῖς εὐσεβέσι συναριθμεῖσθαι, τοῦθ' ὑποφαίνει· τινὸς χάριν δὲ εἶμαι τοὺς θεσκινήτους οἰκονομίας μὴ τηλαυγῶς ἐκείνου κατηγορεῖν τῷ πρὸς τοὺς σοφοὺς φίλτρῳ φυσικῇ ὑπηγμένων τῶν ἀνθρώπων· οὐ γὰρ μόνον φιλοῦσι τοὺς σοφοὺς ἄνθρωποι κατορθοῦντας, ἀλλ' ἔστιν ὅτε συμπάσχουσι καὶ προσπταίουσι· τοῦτον λόγος ἔχει τὸν Σολομῶντα πολλὰς γήμαντα γυναῖκας καὶ τὴν Φαραὼ θυγατέρα πασῶν ὑπομάζιον ἐνηγκαλισμένον τῶν ἄλλων αὐτῷ προκεκριμένην, ὑπ' αὐτῆς τῷ πρὸς αὐτὴν ἀπατηθῆναι φίλτρῳ, καὶ τοῖς ἐκείνοις θεοῖς ἱερὰ τελέσαι, προφανῶς τὲ τοῖς ἄλσεσι θυμιᾷν καὶ τοῖς ὑψηλοῖς· τούτου Σολομῶντος παροιμιῶν πλήρεις εἰσὶν ἔνθεοι βίβλοι, δι' ὧν συμβουλεύει γυναικῶν πολυτρό-

κως ἀπέχεσθαι προφανότατα κράζων, οἶνος καὶ γυναῖκες ἀπώλεσαν σοφούς· ὃς τοιαῦτα φθεγγόμενος, τρυφῇ καὶ γυναιξὶν ἀθλίως ἁλοὺς, λήθην φεῦ λαμβάνει τοῦ σοφοδότου θεοῦ.

Ἄγγελος ἦν τὸ πάροιθεν ἑωσφόρος, ἀλλὰ πεσόντος
Οὐρανίοις παρέμιμνεν ἑὸν * κλέος.

* cod. νεόν.

Ἑωσφόρος ὁ σατανὰς λέγεται· οὕτω γὰρ φησὶ τὸ πνεῦμα τὸ ἅγιον διὰ Ἡσαΐου τοῦ προφήτου· πῶς ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος ὁ πρωὶ ἀνατέλλων; αὐτὸς δὲ καὶ τὴν αἰτίαν ὁ προφήτης τῆς πτώσεως ἐπάγει· σὺ δὲ, εἶπας τῷ πεσόντι, λέγων ἐν τῇ καρδίᾳ σου· ἀναβήσομαι εἰς τὸν οὐρανὸν, ἐπάνω τῶν νεφελῶν θήσω τὸν θρόνον μου, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ· σὺ δὲ ῥιφήσῃ εἰς ᾅδου· ταύτης δὲ δι' ἐπῶν καὶ Γρηγόριος παρακατιὼν αὐτολεξὶ τῆς προφητείας μνήμην ποιεῖται, τὴν αἰτίαν τῆς τοῦ διαβόλου πτώσεως ἐξηγούμενος, ὅτι φῶς ἔχων καὶ δόξαν μεγάλην· τὴν βασιλικὴν τοῦ θεοῦ δόξαν ἀφελέσθαι σκεψάμενος, ἄτιμος πέπτωκεν ὅλος σκότος γενόμενος ἀντὶ φωτός.

Ὡς δὲ μαθηταῖς 680.
Οὐδὲν Ἰούδας ὄνειδος ἐπεὶ πέσεν. 681.

Οὗτος Ἰούδας τῶν δώδεκα Χριστοῦ μαθητῶν εἷς ὑπάρχων, καὶ τῶν ἄλλων κατ' ἰσότητα τῶν θείων ἀπολαύων χαρισμάτων, φιλάργυρος ὢν καὶ ζηλότυπος, ἀργυρίων ἕνεκα καὶ κέρδους οἰκτροῦ, φεῦ τῆς αἰωνίου διήμαρτε ζωῆς, τὸν εὐεργέτην Χριστὸν καὶ διδάσκαλον προδοὺς τοῖς παρανόμοις ἰουδαίοις εἰς θάνατον.

ΛΟΓΟΣ Γ.

ΥΠΟΘΗΚΑΙ ΠΑΡΘΕΝΟΙΣ.

51. Μὴ δὲ σύ γ' ἐκ Σοδόμων προφυγὼν καὶ τέφραν ἀλύξας
52. Τοῦδε βίου, θείου τε πυρὸς στονόεσσαν ἀπειλὴν,
53. Εἰς Σόδομα βλέψειας, ἐπεὶ λίθος αἶψα παγήσῃ,
54. Στήλη καὶ κακίης καὶ ἀργαλέου θανάτοιο·
55. Μὴ δ' ἐκ μὲν Σοδόμων κλέψῃς πόδας, ἐν πεδίοις δὲ
56. Γείτοσι δηθύνειν ἄσσον πυρὸς, ἀλλὰ τάχιστα
57. Σώζεσθαι πρὸς ὄρος, μή σε πυρὸς ὄμβρος ἐπιστῇ.

Πᾶσα μὲν ἡ παροῦσα ἱστορία κεῖται ἐν τῷ πρώτῳ λόγῳ, καὶ κατὰ τὸν τῆς ἀναγωγῆς λόγον ἐξεσμένη· ἤ τις κατὰ τοὺς πονηροὺς σοδομίτας, καὶ τὸν Λὼτ, καὶ τοὺς ἀγγέλους, καὶ τὴν παγεῖσαν εἰς στήλην γυναῖκα τοῦ Λὼτ, καὶ τὴν ἐν πεδίοις Σηγὼρ πόλιν, καὶ τὴν ἐπὶ τὸ ὄρος ἀνάβασιν ἔπειτα σημαίνει· ἀλλ' ἐνταῦθα τῇ παρθένῳ ψυχῇ διαλεγόμενος ὁ Θεολόγος ὑποθήκας παρέχει, τοῦτ' ἔστι συμβουλίαν· ὑποθήκη γάρ ἐστι τὸ παρακατατιθέμενον· ὅτως μὴ φησὶν οὖν τῇ ψυχῇ βλέψῃς εἰς Σόδομα τοῦτ' ἔστιν εἰς τὸν βίον, στήλη γὰρ ἂν κακίας γενήσῃ κατήγορον ἔχουσα ἐκτύπωσιν· μὴ δὲ τὸν βίον ἀποφυγοῦσα πλησίον ἵστασο τῶν βιωτικῶν, ὡς ἂν μὴ συμπαραληφθείης· τὸ γὰρ πλησιαίτερον, εὐχείρωτόν πως τῷ πυρὶ, ἀλλὰ πρὸς τὸ ὄρος σώζου φησὶ, καὶ μήκοθεν ἱδρυμένη καὶ τοῦ πυρὸς ἀνωτέρα· χθαμαλωτέραν γὰρ καὶ γειτνιῶσαν, σύνυλον καταναλώσει ῥᾳδίως· πόρρω δὲ καὶ τῆς ὕλης ἀνωτέραν, ἀμήχανον προσπελάσαι.

98. Μερρὰς πικρὸν ὕδωρ.

Μερρὰ τόπος ἐστὶν ἐν Ἐλείμ ἔνθα τὴν θάλασσαν τὴν

ἐρυθρὰν οἱ ἰσραηλῖται περάσαντες, τῆς αἰγυπτίων κακώσεως ἀφέντες κατέπαυσαν· ἐνταῦθα δώδεκα πηγαὶ ὑδάτων καὶ φοινίκων ἑβδομηκονταδύο ὑπῆρχον σκιάχη, ἔνθα δὴ τὸν λαὸν καταπαύσαντα καὶ δίψει ἐκλυόμενον, πικρὸν γὰρ τὸ παρακείμενον ὕδωρ, ξύλον τί τῷ Μωϋσῇ δείκνυσιν ὁ θεός, οὗ ὁ λαβὼν καὶ προσρίψας τοῖς ὕδασιν, εἰς γλυκύτητα μεταπαίσας τὴν ἔμφυτον αὐτοῖς πικρίαν, ἡδὺ καὶ μάλα καλὸν τῷ διψῶντι παρέχει λαῷ· τούτου χάριν πικρίαν τὸν τόπον ὠνόμασεν ἐκεῖνον· τὸ γὰρ Μερρὰ τῇ ἑβραΐδι διαλέκτῳ πικρία προαγορεύεται.

Χρύσεα χαλκείων διαμείβεαι εἰ γανόωντος 127.
Ἀντὶ βίου μικρὴν καὶ ἀεικέα τέρψιν ἐδέξω. 128.

Ταύτην ὁ θεολόγος τὴν ἱστορίαν τῆς Ὁμήρου συγγραφῆς οὖσαν, μεταφορικῶς παρεισάγει τῇ ψυχῇ διαλεγόμενος· Γλαῦκος γὰρ ὁ Ἱππολόχου, καὶ Διομήδης ὁ τοῦ Τυδέως, κατὰ τὸν τρωϊκὸν πόλεμον εἰς μέσον παρῆλθον ἀμφότεροι διαγωνισύμενοι· ὡς δὲ ἦσαν ἐγγὺς ἀλλήλοις ἐπιόντες, τὸν Διομήδην προφωνῆσαι λέγεται τῷ Γλαύκῳ, τίς ἂν εἴη πυθόμενον τοσοῦτον αὐτὸν τῇ τόλμῃ τῶν ἄλλων προπεπηδηκότα· οὐ γάρ πω φησὶν ἀνὰ τὴν δοξοποιὸν μάχην πρό γε τούτου ἀνδριζόμενον ἑωράκει· Γλαύκου βελλεροφόντειον τὸ γένος καὶ θειότερον ἢ κατ' ἄνθρωπον εὐχομένου, Διομήδης ἐπιγνοὺς, προγονικὸν ἅτε κατασπάζεται φίλον· ἄμφω δὲ ἁρμάτων ἀποιχηθέντες, ἀλλήλοις τὰ τεύχη παραχωρήσαντες τὴν πρὸς ἀλλήλους ὧδε διέλυσαν μάχην· ἀλλ' ὁ μὲν ἥρως τὸν Γλαῦκον τεύχεσι χαλκείοις φιλοτιμησάμενος, χρυσείοις ἀντεφιλοτιμήθη· οἷς ἐνδεδῦσθαι τοῦτον συνέβη. Ταύτην ὡς ἔφαμεν μεταφορικῶς τὴν ἱστορίαν τῇ ψυχῇ Γρηγόριος ὑποτίθεται· τὸ γὰρ λαμπρυνομένου τοῦ ἀντιπάλου κἂν μικρὰν

τινα γοῦν παραδέξασθαι τέρψιν, καὶ τὸν τόνον παραχαλάσαι, χαλκεῖα χρυσίων ἐστὶν ἀντιδέχεσθαι, τουτέστι τῶν εὐτελῶν τὰ πολλῶν ἀντιπρίεσθαι τιμιώτερα.

131. Καὶ δόμον αἰγλήεντα, καὶ Ἀλκινόοιο τράπεζαν.

Ἀλκίνοος τοῦ φαιάκων ἔθνους βασιλεὺς ὑπάρχων, φιλότιμός τε ἦν τὰ πάντα καὶ φιλόξενος· οὗτος πλουσίαις ἀμειβόμενος τοὺς παρατυγχάνοντας δωρεαῖς, οἴκους τε λαμπροὺς κεκτημένος, καὶ τράπεζαν τῶν πώποτε βασιλέων δαψιλεστέραν, Ὀδυσσέα πλάνῃ φερόμενον ναυηγὸν καὶ οἰκτρὸν ἀλήτην, κατὰ τὴν αὐτοῦ γενόμενον πόλιν, φιλοφρόνως ἐτίμησεν· ὅπως δὲ καὶ τοῦτο συμβέβηκε, τῶν λόγων προϊόντων λελέξεται· τούτων γὰρ ἐν πλάτει παρακατιὼν ὁ θεολόγος μνημονεύει.

135. Φύλλα συκῆς μ' ὡς πρόσθεν Ἀδὰμ Εὔαν τε καλύπτει,
Κεῖται ἡ παροῦσα ἱστορία ἐν τῷ β' λόγῳ.

138. Ἤ τινὰ πὰρ πυλεῶνα βεβλημένος ἄχθος ἀρούρης
Ἀνδρὸς ὑπερφιάλοιο, πένης καὶ Λάζαρος ἄλλος.
Κεῖται ἐν τῷ πρώτῳ λόγῳ.

152. Καὶ σὺ φίλοις τεκέεσσιν Ἰωναθὰβ ἔξοχε μῆτιν.

Ἑβραῖος ἦν τὸ γένος καὶ θεοσεβὴς ὁ Ἰωναδάβ· οὗτος δὲ τοῖς τέκνοις ἐνετείλατο μὴ γῆν ἀρόσαι, μὴ δὲ φυτεῦσαι ἄμπελον, οἴνου δὲ καὶ τῶν πρὸς τὸ ἀβροδίαιτον ἀπέχεσθαι πάντων· ἐν σκηναῖς δὲ κατοικεῖν, καὶ θεῷ ζῆν καὶ τούτῳ μόνῳ προσανέχειν· Ἐσσαίους δὲ τούτους ἡ γραφὴ κατωνόμασεν.

164. Οἶδα δ' ἐγὼ καὶ λαὸν ὑποσχεσίης ἐπὶ γαῖαν
165. Ἰέμενον τοῦ πρόσθε στύλος πυρὸς ἡγεμόνευε,
166. Καὶ νεφέλης ἕλκοντος ἀσημάντου δι' ἐρήμης.

Λαὸς προθυμούμενος ἐπὶ τὴν τῆς ἐπαγγελίας γῆν ὁ

ἰσραηλίτης ἐστὶν, ὃν ἐξ Αἰγύπτου ἐξαγαγὼν ὁ Θεὸς, ἐν στύλῳ πυρὸς ὡδήγησε καὶ νεφέλης ἐπὶ χρόνων τεσσαράκοντα ἔτη· γῆ δὲ τῆς ὑποσχέσεως ἐστὶν ἡ Χαναναία· ταύτην γὰρ εἰς κατάσχεσιν τῷ Ἀβραὰμ δεδόναι καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτὸν, εἶπεν ὁ Θεὸς· ταύτην ὤκουν τὴν γῆν ἔθνη ἑπτὰ, ἀμορραῖοι, χαναναῖοι, χετταῖοι, φερεζαῖοι, γεργεσαῖοι, εὐαῖοι, ἰεβουσαῖοι· τούτους πάντας ἐξελῶν ὁ Θεὸς ἀπὸ προσώπου Ἰσραὴλ, τὴν γῆν αὐτῶν τῷ τοῦ Ἀβραὰμ κατεκληροδότησε σπέρματι, ὡς ὑπέσχετο καὶ κατένευσεν.

Ὃ πόντος ὑπόειξε καὶ οὐρανὸς εἶδαρ ἔδωκεν. 167.

Τὴν ἐρυθρὰν Ἰσραὴλ διατμηθεῖσαν διελθὼν θάλασσαν, κατὰ τὴν ἔρημον γεγονὼς, οὐρανόθεν τροφὴν ὑποδέχεται· ἡ δὲ ἦν ὡς ἐγκρὶς μέλιτος, μάννα δὲ ταύτην ὁ Ἰσραὴλ κέκληκε· γογγύσαντι δὲ τῷ λαῷ καὶ κρεῶν ἐφιεμένῳ, ὀρτυγομήτραν εἰς πλῆθος ὁ Θεὸς ἐξαποστέλλει· ὄρνεον δὲ τοῦτο πτερωτὸν, ἥ τις πεσοῦσα πολλὴ κόρον αὐτοῖς τῆς ἐπιθυμίας παρέσχε τοσοῦτον, ὡς εἰς χολέραν μετατραπῆναι· οἷον γάρ ἐστι πάσχειν τοὺς κοιλίας ὑποφόρους, ἁπλήστως τῆς ὀρτυγομήτρας ἐμφορηθέντες, νόσῳ περιελθόντες κακῶς τοῦ ζῆν οἱ πλείους ἀπηλλάγησαν· ὡς θανάτου τὸν λαὸν κατανεμηθέντος, ἐπιθυμίας μνήματα τὸν τόπον κατονομασθῆναι.

Καὶ πέτρη βλάστησεν ὕδωρ. 167.

Τοῖς ἰσραηλίταις κατὰ τὴν ἔρημον οὖσιν, ἀνυδρίᾳ ξηραινομένοις, ἐκ πέτρας ὕδωρ ἔβλυσεν ὁ Θεὸς· ἐπισάντι γὰρ Μωϋσῇ τῷ λαῷ, καὶ τοῦτον μέλλοντι καταλεῦσαι, προσέταξεν ὁ Θεὸς τῇ ῥάβδῳ κροτῆσαι τὴν πέτραν· οὗ γενομένου ζῶν ὕδωρ ἀνεδόθη, καὶ διψῶντα κορέννυσι τὸν λαόν· τοῦτο τῆς ἀντιλογίας ἐκλήθη τὸ ὕδωρ, ἐκεῖσε γὰρ ὁ λαὸς ἀν-

τεῖπε Μωϋσῇ, Μωϋσῆς δὲ τῇ ῥάβδῳ τὴν πέτραν κροτήσας, μὴ φησὶ τοῖς υἱοῖς Ἰσραὴλ ἐν ταύτης ὑμῖν ἐξάξω τῆς πέτρας ὦ ἀπειθεῖς; ὅτου χάριν τῆς ποθουμένης καὶ αὐτὸς εἴργεται γῆς· γενόμενος γὰρ κατὰ τὴν μωαβιτῶν χῶραν, ἄνεισιν ἐπ' ὄρους ὑψηλοτάτου, καὶ πᾶσαν τὴν ἀγαθὴν γῆν κατοπτεύει, ἣν τῷ Ἀβραὰμ εἰς κατάσχεσιν παρασχεῖν ὑπέσχετο ὁ Θεὸς· πλεῖσα δὲ λιταζόμενον τὸν Μωσέα ταύτης ἀξιωθῆναι, οὐ κατένευσεν ὁ Θεὸς, ἀλλ' ἅμα τοῦτον τῶν σαρκὸς ἀπολυθῆναι δεσμῶν διετάξατο, τοῖς μὲν ὀφθαλμοῖς ἑώρακας, εἰσὼν, ἐπ' αὐτὴν δὲ οὐκ ἐσιβήσῃ, ὅτι φησὶν οὐχ' ἡγίακάς με ἐνώπιον τῶν υἱῶν Ἰσραὴλ, ἐπὶ τοῦ ὕδατος τῆς ἀντιλογίας.

168. Ὁ δ' ἐχάσσατ' ὀπίσω – εὐρὺ ῥέων ποταμός.

Τὸν Ἰορδάνην φησὶ· μετὰ γὰρ τὴν Μωσέως τελευτὴν, Ἰησοῦ τοῦ Ναυῆ καθηγουμένου τοῦ Ἰσραὴλ, μέλλουσι τὸν Ἰορδάνην διαβαίνειν, προσέταξεν ὁ Θεὸς τῷ Ἰησοῦ τὴν κιβωτὸν τῆς διαθήκης κυρίου τοὺς ἱερεῖς λαβόντας, μέσον σῆναι τοῦ Ἰορδάνου· τούτου δὲ γενομένου, τὸ μὲν ἐς πρηνὲς φερόμενον ὕδωρ· ἐπὶ τὴν τῶν ἁλῶν ὥρμησε θάλασσαν, τὸ δὲ ῥέον ἄνωθεν ἔσχε πῆγμα, καθ' ὅλης τῆς κρηπίδος πληρούμενον· ξηρανθέντος δὲ τοῦ Ἰορδάνου, διῆλθεν ὁ λαὸς ἀβρόχοις ποσὶν, ἑκάστῳ δὲ τῶν φυλάρχων ἀνελέσθαι λίθον προσέταξεν ὁ Θεὸς καὶ τοῖς ἐπιγεννησομένοις μνημόσυνον ἀποθέσθαι, ἀλλὰ καὶ δώδεκα ἀντ' αὐτῶν ἐν αὐτῷ τῷ τόπῳ θεῖναι τῆς διαβάσεως, τοὺς καὶ μέχρι νῦν ἱδρυμένους αὐτόσε.

169. Καὶ ἥλιος ἔσχεθε δίφρον,

Κεῖται ἡ ἱστορία ἐν τῷ β' λόγῳ.

170 Καὶ παλάμῃσι τρόπαιον ἀνὴρ ἔστησε ταθείσαις

Σταυρὸν ὑποσκιάων. 171

Κεῖται ἡ ἱστορία ἐν τῷ α' λόγῳ.

Πίστις δ' ἐπέθησεν ἀκωκάς. 172

Κεῖται ἐμείως ἐν τῷ α' λόγῳ. 173.

Ἠλίας δὲ κόραξι τράφη καὶ γραῖαν ἔθρεψεν
Σιδονίην τυτθῇσιν ἐνὶ ψεκάδεσσι βίοιο.

Ὅτε τὸν οὐρανὸν Ἠλίας ἀπέκλεισε, προσέταξεν αὐτῷ ὁ Θεὸς εἰς χειμάῤῥουν πορευθῆναι Χοῤῥὰθ, κἀκεῖθεν πιεῖν ὕδωρ· ἐνετείλατο δὲ τοῖς κόραξιν ὁ Θεὸς κομίζειν αὐτῷ τὴν τροφήν· ἔφερον μὲν οὖν αὐτῷ πρωὶ μὲν ἄρτον, τὸ δειλινὸν δὲ κρέας· ξηρανθέντος δὲ τοῦ χειμάῤῥου, πάλιν εἰς Σάρεφθα τῆς Σιδονίας πρός τινα χήραν αὐτὸν ὁ Θεὸς ἀποστέλλει· αὐτὴ δὲ τὸν μὲν βίον πάντων ὑπῆρχε μετριωτέρα, φιλόξενος δὲ καὶ τὴν πρόθεσιν μάλα πλουσίαν κεκτημένη· ταύτην ἐλθὼν ὁ Ἠλίας ξυλευομένην εὑρὼν, καὶ προσφωνήσας ἄρτον αὐτῷ ποιῆσαι προστάσσει ἐγκρυφίας, τῇδε γὰρ ὕδωρ αὐτῷ κομίσαι προσέταξε πρότερον, ἀφ' οὗ πεπωκὼς, ἄρτον αὐτῷ φησὶ λήψεσθαι· τῆς δὲ μὴ πλέον δρακὸς ἀλεύρου κεκτῆσθαι φησάσης ἐν τῇ ὑδρίᾳ, καὶ μικροῦ ἐλαίου ἐν τῷ καμψάκῃ, τούτου χάριν τὲ συλλέγειν τὰ ξυλάρια, καὶ τὸν ἄλευρον πέψασαν, ἅμα τῷ παιδὶ μονογενεῖ αὐτῇ ὄντι μεθέξειν καὶ παραχρῆμα τεθνήξεσθαι, ὁ προφήτης πορεύου φησὶν ὅτι τάδε λέγει κύριος· ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐκλείψει, καὶ ὁ καμψάκης τοῦ ἐλαίου οὐκ ἐλαττονήσει, ἕως τοῦ δοῦναι κύριον τὸν ὑετὸν ἐπὶ τὴν γῆν· ἅμα εἶπε, καὶ τῷ λόγῳ τὸ ἔργον ἐπηκολούθει· παρ' αὐτῇ γοῦν ξενισθεὶς διεκαρτέρει· τὸν δὲ παῖδα τῆς γυναικὸς νοσηλευθέντα, πολλαῖς εἰκὸς ταῖς ὑπὸ τῆς γραὸς λοιδορίαις βαλλόμενος, ὡς ἐλθὼν καὶ τὰς αὐτῆς ἀναμνήσας ἁμαρτίας τὸν υἱὸν ἐθα-

νάτωσε, κατοικτίζεται ὀρυπτόμενος ἐκείνης πλέον· εἶμι λέγων κύριε ὁ μάρτυς τῆς χήρας μεθ' ἧς ἐγὼ κατοικῶ, σὺ ἐθανάτωσας τὸν υἱὸν αὐτῆς· ἐν τοσούτῳ δὲ τὸν θεὸν δυσωπήσας, ἐμφυσήσας τὲ τῷ παιδαρίῳ, ζῶντα παραχρῆμα δίδωσι τῇ μητρὶ· τοῦτον δέ τινες φασὶν εἶναι τὸν Ἰωνᾶν· καὶ πιθανός γε ὁ λόγος, ἐπεὶ καὶ τύπος τῆς Χριστοῦ ὁ Ἰωνᾶς γέγονεν ἀναστάσεως.

177. Ἑβραῖσι δέ τε παῖδες ἐὴν ποθέοντες ἐδωδὴν,
178. Ὤφρακε μὴ βασιλῆος ἐνὶ χρανθῶσι τραπέζῃ.

Παῖδες οὗτοι Ἀνανίας Ἀζαρίας Μισαὴλ καὶ Δανιὴλ, ὧν ἀνωτέρω μεμνήμεθα· τούτους ὁ βασιλεὺς Ναβουχοδονόσορ τῆς αἰχμαλωσίας τῶν ἑβραίων ἐπιλεξάμενος μετὰ καὶ ἄλλων ὡραίους, ἅτε καὶ τὸ γένος βασιλικοὺς, τῷ τῆς τραπέζης αὐτοὺς παραδίδωσιν ἄρχοντι, ἐντειλάμενος αὐτοὺς ἀπὸ τῆς βασιλικῆς διατρέφεσθαι τραπέζης, ἀφ' ὧν αὐτὸς ἤσθιεν ὁ βασιλεύς· τῶν δὲ παίδων εὐλαβείᾳ συζώντων, καὶ τῆς βασιλικῆς τραπέζης τοῖς παντοδαποῖς ἐδέσμασι μὴ χρανθῆναι βουλομένων, τὸν ταῦτα προσεταγμένον δι' ἀξιώσεως τούτων μὲν αὐτοῖς παραχωρῆσαι, τῶν ἐκ γῆς δὲ φυομένων ἐπιτρέψαι μετασχεῖν δυσωποῦσι, δεδοικότα δὲ μὴ σκυθρωποὺς αὐτοὺς ἰδὼν ὁ βασιλεὺς τοῦτον ἀπάξοι, μὴ φροντίζειν περὶ τούτου πείσαντες, τῶν ἄρτων μὲν οὐκ ἐχράνθησαν, τῶν δὲ προσφυῶν ἐν ἀπολαύσει γεγόνασι τροφῶν· μάλιστα δὲ τῶν ἐκ βασιλικῆς τρεφομένων διαίτης ὡραῖοι τὲ ἦσαν καὶ μᾶλλον χαρίεις, ὡς καὶ τὸν βασιλέα τῆς ὥρας αὐτοὺς καὶ τῆς συνέσεως καταπλήττεσθαι, τοῦ πατρῴου θεοῦ χάριν αὐτοῖς παρεσχηκότος.

181. Καὶ Δανιὴλ λείουσι ῥιφεὶς βορὰ μαινομένοισιν
182. Θρέψεν οὔ τι λέοντας ἐπεὶ χεῖρας ἐξεπέτασσεν

Ἠερίην δ' ἐνὶ χερσὶν ἐδέξατο δαῖτα προφήτου. 187.

Δανιὴλ λέουσι βορὰ ῥιφεὶς ὑπὸ Βαλτάσαρ τοῦ βασιλέως ἀσσυρίων, τοὺς μὲν λέοντας οὐκ ἔδρεψεν, αὐτὸς δὲ τροφὴν θεόπεμπτον ὑπεδέξατο· τὸν γὰρ προφήτην Ἀμβακοὺμ ἐν τῇ Ἰουδαίᾳ ὄντα, καὶ τοῖς ἰδίοις ἀμηταῖς τροφὴν κομίζοντα, φακοῦ δὲ ἦν ἔψημα, ἄγγελος τῆς κόμης ἀφήρπασεν, ἐν ῥιπῇ τε ἀπαγαγὼν εἰς Βαβυλῶνα, κατήγαγεν ἐν τῷ λάκκῳ· μεταλαβὼν οὖν τροφῆς ὁ Δανιὴλ, αὖθις ἀνάγει τὸν Ἀμβακοὺμ, τὰς βασιλικὰς ἀμφὶ τὸν λάκκον τυγχανούσας σφραγίδας σώας φυλάξας· ἀναγαγὼν τε πρὸς τὰ οἰκεῖα, πάλιν εἰς τὴν Ἰουδαίαν ἀποκαθίστησι γῆν.

Σπλάγχνων δ' ἐκ μεσάτων ἀπερεύξατο θεῖον Ἰωνᾶν 184.

Θὴρ ἁλὸς εἶσεν ἔδεκτο τριήμερον. 185.

Κεῖται ἡ κατὰ τὸν Ἰωνᾶν ἐξήγησις ἐν τῷ α΄ λόγῳ.

Ἀχρὶς Ἰωάννου δὲ τροφὴ καὶ κηρίον ἦεν 187.

Ἄγριον, ὑψηλόφων δὲ τρίχες ἔσθημα καμήλων. 188.

Τοῦ βαπτιστοῦ Ἰωάννου, ἀκρίδες ἦν ἡ τροφὴ καὶ μέλι ἄγριον (1)· τὸ δὲ ἔνδυμα εἶχεν ἀπὸ τριχῶν καμήλου, καὶ ζώνη δερματίνη περὶ τὴν ὀσφὺν αὐτοῦ· κεῖται δὲ ἐν τῷ β΄ λόγῳ ἡ ἐξήγησις.

Τίς Θέκλαν ἐσάωσεν ὑπ' ἐκ πυρὸς; ἢ τίς ἔθησε 190.

Θηρῶν ὠμοβόρων κρατερὸν μένος; 191.

Θέκλα κόρη παρθένος ὑπῆρχε τῶν ἐνδόξων πόλεως οὖσα Ἰκονίου· ταύτης μήτηρ Θεοκλεία τοὔνομα, καὶ Θάμυρις τῶν ἐν τέλει ἐπιχωρίων μνήσωρ καθειστήκει· Παύλου τοίνυν τοῦ ἀποστόλου κατὰ τὴν ἰκονιαίων εἰς εἶκον Ὀνησιφόρου γενομέ-

(1) Congruit haec explicatio cum latina vulgata; discrepat autem ab illa paginae 33, quae ad sophronianam in anacreont. V. accedit.

νευ, καὶ τὸν τῆς εὐσεβείας λόγον τοῖς προσιοῦσι καταγγέλλοντος, περί τε ἁγνείας διαλεγομένου, καὶ τῆς ἀποκειμένης τοῖς παρθενεύουσι μακαριότητος, ἡσθεῖσα ἡ παρθένος, τῷ γὰρ οἴκῳ τοῦ Ὀνησιφόρου συνομοροῦσαν εἶχε τὴν οἰκίαν, ἐπί τινος ἐπεπάγη θυρίδος· οἰομένη δὲ παραπλήξια τὴν παρθένον ἡ μήτηρ ἐαλωκέναι, τόν τε Θάμυριν μεταπεμψαμένη καὶ πολλαῖς πιθανότησι Θέκλαν ἐπιστρέφειν ἀμιλλωμένη καὶ μηδὲν ὠφελοῦσα, τῷ τῆς πόλεως ἡγεμόνι καυθησομένην ὡς ἄνυμφον παραδίδωσι παρθένον· πολλῆς τῷ Παύλῳ τούτου χάριν ζάσεως γενομένης, πυρὰς δὲ ὑπαναφθείσης, καὶ μέσον τῆς Θέκλας βληθείσης, νεφέλη τις δροσώδης ἐπισκιάσασα, τὸ μὲν πῦρ ἔπαυσε, τὴν παρθένον δὲ διεφύλαξε σῶαν· ταύτης δὲ τοῦ πυρὸς ἐκφυγούσης καὶ Παῦλον ἀναζητούσης, σὺν αὐτῷ τε κατὰ τὴν Ἀντιόχειαν γενομένης, τῶν ἐν ἀξιώμασιν ἄλλος, Ἀλέξανδρος τὴν προσηγορίαν, τῇ τῆς Θέκλης ἐπιμανεὶς ὥρᾳ, ταύτην βιαίως ἕλκειν ἐπειρᾶτο· καὶ τούτου δὲ πρὸς αὐτῆς ἀτίμως ἀποπεμφθέντος, στάσιν τε κατ' αὐτῆς διεγείραντος, θηρίοις βορὰ μέσον σταδίου τὴν παρθένον καταδικασθεῖσαν, εἶχον μὲν οὐχ' ἁλωτὸν οἱ θῆρες, αἰδέσιμον δὲ, οὐ γὰρ σπαρακτικῶς τοῦ σώματος τῆς παρθένου, θωπευτικῶς δὲ μᾶλλον προσήγγιζον.

194. Οὐδέ μεν οὐδ' ἁγνῆς ἐπιλήσομαι, οὐ γὰρ ἔοικε,
195. Σουσάννης εἰ καί μιν ὑπὸ ζυγὸν ἤγαγεν ἀνὴρ,
196. Σωφροσύνης ἣ τόσσον ἔσχε πόθον, ὥσε φυγοῦσαν
197. Χείρας ἀθεσμοτάτας, ψήφοις δ' ἀδίκοισι δικαζῶν,
198. Ἐς μόρον ἑλκομένας, ποθ' ὑπ' ἐκ θανάτοιο σάωσεν
199. Πνεῦμα νέου, πολιοῖο φρένας, καὶ μήδεα πυκνά
200. Ὀρθοδίκου θήσαντος ὑπὸ σφετέροισι λόγοισι
201. Πρεσβυτέρους Βαβυλῶνος ἀλιτροτάτους ἀθεμίστους.

Σουσάννα θυγάτηρ ἦν Ἰωακεὶμ τοῦ Χελκίου· αὕτη σώφρων ὑπάρχουσα καί γε ὡραία, τῷ μὲν Θεῷ τὴν συνείδησιν, τὴν σωφροσύνην δὲ τῷ ἀνδρὶ διὰ σπουδῆς εἶχε φυλάττειν· ταύτην ἐν παραδείσῳ τῷ οἴκῳ αὐτῆς συνεχῶς εἰσιοῦσαν δύο τινὲς τῶν πρεσβυτέρων Ἰσραὴλ θεασάμενοι, τῇ ὥρᾳ ἐπιμανέντες αὐτῆς ἐνήδρευον· συνεχέστερον δ' ὑπαναχωροῦντες καὶ πάλιν γενόμενοι ἐπὶ τὸ αὐτὸ, τὸν εἰς τὴν Σουσάνναν ἀλλήλοις ὑποφαίνουσι δύστροπον οἶστρον· τότε δὴ κοινῇ τῆς βουλῆς ἔχονται τοῦ ταύτην εὐκαίρως κατασχεῖν, καὶ τὸ σπουδαζόμενον ἐπ' αὐτῇ πληρῶσαι μῦσος· ἐπιλαβόμενοι δὲ ταύτης ἐν ἡμέρᾳ λουσμένης ὅτε μὴ παρῆσαν τῶν νεανίδων αὐτῆς σὺν αὐτῇ, πρὸς αἰσχρὰν μίξιν συνελθεῖν αὐτῆς ἐβιάζοντο· ἢ καταμαρτυρήσειν ἔλεγον αὐτῆς, ὡς μετὰ νεανίσκου ταύτην κατέλαβον· ἀλλ' ὅτε μὴ δὲ οὕτως πείθειν εἶχον αὐτὴν, αὐτῆς μὲν βοώσης, τῶν δὲ ἀντεπιβοωμένων, τοῖς συγγενέσι παροῦσι καὶ τοῖς περὶ αὐτὴν, ψευδῆ τῆς Σουσάννης κατεμαρτύρουν· αἰδεσθέντων δὲ τῶν περὶ αὐτὴν καὶ ὑποχωρησάντων, τῇ ἑξῆς οἱ πρεσβύτεροι τὸν λαὸν ἐκκλησιάσαντες, τοιαῦτα τῆς Σουσάννης κατεμαρτύρουν· οἱ δὲ ταύτην ὡς μοιχαλίδα καταλευσθῆναι κρίναντες ἀπήγαγον· μέλλουσι δὲ πρὸς τοῦτο χωρεῖν, Δανιὴλ παιδάριον ἔτι τῶν ἀπαγόντων ὡς ἀκρίτων κατεπιβοώμενος, εἰς τὸ κριτήριον ἐξ ὑποσροφῆς συγκαλεῖται· τοὺς δὲ πρεσβυτέρους ὑπὸ τοῖς ἰδίοις δήσας λόγοις, ψευδεῖς τὲ κατὰ πάντα τοῖς πᾶσιν ἀποδείξας, τὴν μὲν Σουσάνναν τῆς παρανόμου κρίσεως σώσας, καὶ θανάτου λυτρωσάμενος, τοῖς οἰκείοις ἀποδίδωσι σῶαν, ἐκείνους δὲ τῷ ἴσῳ τοαραδοὺς θανάτῳ, τοαραδειγματίσας ἀπώλεσε· πρεσβυτέρους δὲ Βαβυλῶνος φησὶν, ἐπείπερ ἐν Βαβυλῶνι γέγονε ταῦτα, τῆς αἰχμαλωσίας Ἰσραὴλ αὐτόσε δια-

τριβούσης· ἀλλὰ γὰρ καὶ κατὰ τὸν τῆς ἀναγωγῆς λόγον, Βαβυλὼν ἐστὶν ἡ ἁμαρτία· τῆς τοίνυν ἁμαρτίας ἀλλ' οὐχὶ τοῦ Ἰσραὴλ πρεσβυτέρους ἐκείνους εἰκότως ἐκάλεσε τοὺς παρανόμους.

202. Παύλου δ' αὐτὸς ἄκουσας ὅσης κακότητος ἄεθλον
203. Ὀσσατίων μόχθων τὲ καὶ ἀργαλέων μελεδώνων.

Ὁσάκις ἐὰν Παύλου Γρηγόριος ἐπιμνησθῇ, τῆς ἐκείνου μέρος ἀρετῆς ἐξηγεῖται· καὶ γὰρ πρὶν ἀλλαχοῦ περὶ Παύλου διαλεχθεὶς, αὖθις παρεισάγει· φησὶν οὖν ὅτι πολλοὺς ὑπὲρ Χριστοῦ πόνους ὁ Παῦλος ἀνέτλη· καὶ γὰρ οὕτως ἔχει, τῆς τε συγγραφῆς τοῦ Λευκᾶ καὶ τῶν αὐτοῦ Παύλου ἐπιστελῶν ἐν πείρᾳ τίς καταςὰς, πᾶσαν αὐτοῦ τὴν ζωὴν ἐπίμοχθον τοῖς ὑπὲρ Χριστοῦ πάθεσιν εὕρει· διὸ καὶ γράφοντος ἐστὶν αὐτοῦ Παύλου Κορινθίοις ἀκοῦσαι, ὡς ἐν κόποις καὶ φυλακαῖς καὶ κινδύνοις τὸν βίον διήνυσεν· ὑπὸ γὰρ Ἰουδαίων, φησὶ, πεντάκις τεσσαράκοντα παρὰ μίαν τετύφθαι, τρεῖς ναυαγῆσαι, ἅπαξ λιθασθῆναι, νυχθήμερον ἐν τῷ βυθῷ πεποιηκέναι, ὁδοιπορίαις εἶτα πολλάκις ἐμιλῆσαι, κινδύνοις ποταμῶν, κινδύνοις λῃςῶν, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐκ γένους, κινδύνοις ἐν ψευδαδέλφοις, κόπῳ καὶ μόχθῳ, ψύχει καὶ γυμνότητι, λιμῷ καὶ δίψει, θανάτοις πολυτρόποις καὶ δεσμοῖς, διωγμοῖς τὲ καὶ μάστιξι, καὶ τέλος τῷ δι' αἵματος μαρτυρίῳ.

205. Καὶ τριτάτοιο πόλου πρὸς χῶρον ἱκέσθαι
206. Καὶ θεῖναι γλυκερῇσιν ἐν ἄρκυσι κόσμον ἅπαντα.

Κεῖται ἐν τῷ β' λόγῳ.

213. Τύνεκα καὶ δολόμητις ἐπὶ Χριστοῦ βασιλῆος
214. Ἐς πεῖραν καθέηκε, θεὸν βροτὸν ἄμμιγα λεύσων

Πεινάοντ', ἐκέλευσε λίθους εἰς εἶδαρ ἀμεῖψαι. 215.

Μετὰ τὸ βαπτισθῆναι Χριστὸν, νηστεύσαντα τεσσαράκοντα ἡμερῶν κατὰ τὴν ἔρημον, πειράζει προσελθὼν ὁ σατανᾶς· πεινάσαντι γὰρ φησὶ τῷ Ἰησοῦ, εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται· Χριστὸς δὲ ὡς οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος εἰρηκὼς, ἄτιμον τὸν πειραστὴν ἀποπέμπεται· δεύτερον δὲ καὶ τρίτον πειράσας ὁ δαίμων διά τε δόξης ὡς αὐτῷ πάσας προσκυνήσαντι τὰς βασιλείας παρέξει τῆς γῆς, τότε τρίτον ὡς βαλεῖν ἑαυτὸν ἀπὸ τοῦ ὕψους κάτω τῆς θεότητος ἐπιδεικτιῶντα ἀπωσθεὶς, ἕως καιροῦ ἀνεχώρησε· καιρὸν δὲ φησιν ὧδε πάντως τὸν καιρὸν κατὰ τὸ πάθος, ὅτε σφοδρὸν ἐπιθέμενος, τὸ μετ' ἦχου ὑπέμεινε πτῶμα, πάσης ἐλαθεὶς τῆς οἰκουμένης, καὶ πᾶσιν ὁ ἀλιτήριος δαίμων γέλως καταστάς.

Δείδω μὴ βιότοιο θεμείλιον ἐν ψαμάθοισι, 371.

Βαλλόμενος ὄμβρῳ ποταμοῖς ἀνέμοις τὲ σκεδασθῶ. 372.

Περὶ τῆς ἐπὶ πέτρᾳ παγείσης αἰκίας καὶ ἐπὶ ψάμμου, τοῦ τε πεσόντος εἰς τὴν γῆν σπόρου, καὶ τῶν ζιζανίων, περί τε τῶν παρθένων, τοῦ τε γάμου τοῦ ἑτοιμασθέντος, καὶ τῶν κεκλημένων καὶ παραιτησαμένων, τοῦ τε ὑπαρὰν ἔχοντος στολὴν, τοῦ τε γρηγορήσαντος δούλου καὶ τῶν τα-λάντων· ταῦτα μὲν ἅπαντα προβλήματα τῶν τοῦ σωτῆρος εἰσὶ παραβολικῶς λόγων, ἅ τινα καθ' ἓν ἑρμηνευόμενα, τηλαυγῶς λελέξεται.

Μὴ δ' ὡς Ἠλεῖδαι πατρὸς ἀτίσητε ἐφετμήν. 406.

Κεῖται περὶ τοῦ Ἠλεὶ καὶ τῶν υἱῶν αὐτοῦ, ἐν τῷ α λόγῳ.

Καὶ Σολύμαις Σαμάρειαν ἀλιτροτάτην ἱεροῖσιν. 419.

Σολομῶντος τεθνηκότος, διάδοχος τῆς αὐτοῦ βασιλείας Ῥοβοὰμ ὁ υἱὸς αὐτοῦ γίνεται· οὗτος συναθροισθέντα πρὸς

αὐτὸν τὸν λαὸν Ἰσραὴλ, καὶ τοὺς φόρους αὐτῶν αἰτούμενον ἐπικουφίσαι, τοῖς πρεσβυτέροις παῖς τοῦ πατρὸς συμβουλευσάμενος τίνα λόγον αὐτοῖς ἀποκρίναιτο, κἀκείνων ἀπαλῶς αὐτοῖς ἀποκριθῆναι συμβουλευσάντων, γνώμην καὶ τῶν νεωτέρων εἰληφὼς αὐτοῦ παίδων, τοῖς μὲν νεωτέροις σκληρῶς ἀποκριθῆναι τῷ λαῷ τῆς γῆς συμβουλεύσασι πεισθείς, ὃ τότε διαπραξάμενος, καὶ τῶν πρεσβυτέρων ἀπειθήσας τῇ συμβουλίᾳ, εἰς τοὐναντίον τὸν λαὸν περιτρέπει, καὶ δέκα φυλῶν ἀπεχωρίσθη μέρος, εἰπόντος τοῦ λαοῦ, οὐκ ἔχει μερὶς ἡμῖν ἐν Ἰούδᾳ· ἀνὴρ Ἰσραὴλ εἰς τὰ σκηνώματά σου· τότε δὴ τῶν Σολομῶντος παίδων Ἱεροβοὰμ, υἱὸν Ναβὰτ αἱ δέκα φυλαὶ χρίουσιν ἐφ' ἑαυτὰς εἰς βασιλέα· μηχανᾶται οὖν οὗτος, ὥστε προφάσει τοῦ ναοῦ τὸν λαὸν ἐξ Ἱερουσαλὴμ ἀπάγεσθαι, δαμάλεις χρυσᾶς καὶ τοῦ Βάαλ εἴδωλον, καὶ πολλὰ ἕτερα ἐν Ἰεζραὲλ τῇ πρὸς τὴν Σαμάρειαν ἐνιδρύσαι, ὅπου καὶ θυσιαστήρια τοῖς Βααλεὶμ πηξάμενος, θύειν τὸν λαὸν Ἰσραὴλ παρεσκεύαζε· διὸ τὴν Σαμάρειαν ἀντὶ τῆς Ἱερουσαλὴμ τῷ Ἰσραὴλ ἐνιδρύσας ὁ τοῦ Ναβὰτ Ἱεροβοὰμ, τῆς θείας λατρείας καὶ τοῦ πατρῴου νόμου ἀπέστησε· τούτου πολλαχοῦ τῆς γραφῆς κατηγορούσης ὡς πρῶτος ἐξήμαρτε τὸν Ἰσραὴλ, εὕροι τίς ἂν· ἀλλὰ καὶ τὸ σολομώντειον ὧδε καλῶς ἐκλιπέσθαι, τὸ τρίτον σαλεύεσθαι τὴν γῆν· τὸ δὲ τέταρτον οὐχ' ὑπομένειν, βασιλεύοντος δούλου· τοῦ γὰρ Σολομῶντος δοῦλος ἦν εἰκογενὴς Ἱεροβοὰμ· ἀναγωγικῶς οὖν ὁ θεῖος Γρηγόριος ταῦτα φησὶν· οὐ γὰρ τῇ Ἱερουσαλὴμ τὴν Σαμάρειαν οἷόν τε ἐξισοῦσθαι.

432. Τίς δ' ἀΐων Σάπφειραν ἀτάσθαλον Ἀνανίαν τε
433. Κέρδεος οἱ σφετέρειο κακὸν μόρον ἠλλάξαντο;

Ἀνανίας ἦν τῶν πεπιστευκότων ἐπὶ τῶν ἀποστόλων ἐν

Ἱερουσαλὴμ, Σάπφειρα δὲ τούτῳ γυνὴ· τοῖς δὲ πιστεύουσι τότε πάντα κοινὰ, τὰ γὰρ κτήματα καὶ τὰς ὑπάρξεις πιπράσκοντες, ἔφερον καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων, ἑκάστῳ δὲ διεδίδοτο καθότι ἄν τις χρείαν εἶχεν· ὑπάρχοντος δὲ τῷ Ἀνανίᾳ χωρίου, πιπράσας, τὸ μὲν ἤγαγε, τὸ δὲ νοσφισάμενος κατέσχεν· ἐρωτηθεὶς δὲ ὑπὸ τοῦ Πέτρου, καὶ ψευσάμενος, λαβὼν ἀπόφασιν ἐξέψυξεν, εἰπέντος τοῦ Πέτρου· διὰ τί τὸ πνεῦμα τὸ ἅγιον ἐψεύσω πειράσας; κρισθέντος οὖν Ἀνανίου πρὸς τῶν νεκροτάφων καὶ ἀποτεθέντος, οὐκ εἰδυῖα τὸ γεγονὸς ἡ Σάπφειρα παραγενομένη ὑπὸ τοῦ Πέτρου ἐρωτηθεῖσα καὶ ψευσαμένη, καὶ αὐτὴ δεξαμένη τὴν ἀπόφασιν, παραχρῆμα ἐξέψυξε· καὶ ταύτης μετ' ἀνδρὸς συναποτεθείσης, φόβος ἐπέπεσεν ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα.

Καὶ γλῶσσαν χρυσέην τίς ἐπεὶ νοσφίσατο λάθρη 435.
Ἀνδράσιν ἐν προτέροισι, παρέκνεον ἡγεμονῆος, 436.
Εἶμα τὲ χρῆμα τὲ βαιὸν, ὅλεν θηλήσατο λαόν. 437.

Ἄχαρ ὁ τοῦ Χαρμὶ· οὗτος δὲ τὸ γένος ἦν ἰσραηλίτης, τοῦ ἀναθέματος ἀφελόμενος, ὅλῳ βλάβην ἐποίησε τῷ λαῷ· διαβεβηκότος γὰρ τοῦ λαοῦ τὸν Ἰορδάνην καὶ τὴν Ἱεριχὼ πολιορκοῦντος, Ἰησοῦς ὁ τοῦ Ναυῆ τῷ λαῷ παντὶ διετάξατο, πάντα τῷ θεῷ ἀναθέσθαι καὶ μηδὲν τῶν ὑποπιπτομένων λαφυραγωγῆσαι· γενόμενοι δὲ τῆς πόλεως ἔσω, τῶν τειχέων αὐτομάτως πεπτωκότων, τὸν μὲν ἐν αὐτῇ λαὸν ἀνήρουν· οὐ μὴν τῶν σκύλων ωρσέψαυον δέ· χρυσίον τέννυν θεασάμενος ὁ Ἄχαρ, γλῶσσαν τὲ χρυσῆν καὶ ψιλὴν ἀφείλατο καταφρονήσας· τῶν δὲ λοιπῶν ἐμπρησθέντων λαφύρων, ταῦτα ἦν παρὰ τῷ Ἄχαρ· ἐν τοσούτῳ τοῖς ἀπὸ τῆς Γάης, πόλις δὲ τῆς ὀρεινῆς αὕτη, ὁ λαὸς παρετάξατο καὶ ἐτρά-

πη· Ἰησοῦς οὖν πεσὼν ἐπὶ πρόσωπον ἀπωδύρετο λιττόμενος τὸν Θεὸν ἀποκαλύψαι τὸ αἴτιον· χρηματισθεὶς δὲ περὶ τοῦ ἀναθέματος, ἔδωκε κλήρους κατὰ φυλήν· ἐπὶ δὲ τὴν φυλὴν Ζαρὲ ἔπεσεν ὁ κλῆρος, αὐτῇ κατὰ δήμους δίδωσι κλῆρον, κληροῦνται δὲ δῆμος οὗτος κατὰ πατριάς, πίπτει δὲ· οὕτω μὲν οὖν φωραθεὶς Ἄχαρ ὁ κλέπτης σὺν παντὶ κατελιθοβολήθη τῷ οἴκῳ αὐτοῦ· καὶ πάντα δὲ τὰ προσόντα αὐτῷ ἐνεπυρήσθη, καὶ πάσαν τὴν ὑπόςασιν αὐτοῦ κατανάλωσε πῦρ.

485. Ὡς δὲ δίκη τὸ πάρειθε βοὸς κταμένου ἀροτῆρος
486. Δείδια μὴ κοτέσσι θεὸς ψήφοις ἀνίσοισι.

Βουθοίνας ὁ Ἡρακλῆς λέγεται, ταύτης χάριν τῆς αἰτίας· ὁ Ἡρακλῆς τὴν δρυοπίδα γῆν παρήει, βαςάζων καὶ τὸν υἱὸν αὐτοῦ Ὕλλον· εἶτα τοῦ Ὕλλου πεπεινακότος, καὶ αἰτοῦντος τροφὴν, ἀροτριῶντα τινὰ Θεισδάμαντα οὕτω καλούμενον θεασάμενος, ᾔτησεν ὁ Ἡρακλῆς ἄρτον· ὃς δὲ οὐκ ἔδωκεν, ἀλλὰ καὶ ὕβρισεν· ὁ δὲ Ἡρακλῆς ἕνα τῶν ἀροτριώντων βοῶν λαβὼν, ἔσφαξε, καὶ ἐβοινήθη αὐτός τε καὶ ὁ υἱὸς αὐτοῦ, καὶ ἐκλήθη διὰ ταύτην τὴν αἰτίαν βουθοίνας, ἐπειδὴ τὸν βοῦν ὅλον ἐβοινήθη· ἔνθεν αὐτῷ τῷ Ἡρακλεῖ γέγονεν ὁ πρὸς τοὺς Δρύοπας πόλεμος· τοῦ γὰρ Θεισδάμαντος ἀνελθόντος ἐν τῇ πόλει καὶ εἰπόντος ὡς πολέμιος ἐλήλυθεν ἐν τῇ χώρᾳ, ἐξῆλθεν κατ' αὐτοῦ καὶ νενίκηκε πάντας ὁ Ἡρακλῆς· ὁ τοίνυν θεῖος Γρηγόριος πρὸς τοὺς κωλύοντας παρθενεύειν τοὺς ἑαυτῶν παῖδας, ταύτην φησὶ τὴν ἱστορίαν· ὥστερ γὰρ αἰτήσαντος ἄρτον τοῦ Ἡρακλέους ὁ Θεισδάμας μὴ δοὺς, τὸν ἀροτῆρα βοῦν καὶ τὴν ἰδίαν πόλιν ὀργισθέντος τοῦ Ἡρακλέους ἀπώλεσεν, οὕτω φόβος ἐςὶ μὴ καὶ αὐτοῖς, φησὶ, τοῖς γονεῦσιν ἀντικοτήσοι θεὸς ταύτης ἕνεκεν καὶ ἀπόλωνται τῆς προθέσεως.

Ἤλιτε δ' ὅστις ἔμιξε φύσιν σάρκεσσιν ἄσαρκον, 491.
Ἀγγελικῶν τε πόθων καρτεροὺς ἀνέηκε γίγαντας. 492.

Τοὺς ἀπογόνους τοῦ Κάϊν τῇ μὲν θείᾳ γραφῇ μὴ γενεαλογουμένους, ὅμως δὲ πονηροὺς ὄντας καὶ πολλαῖς πεφυρμένους ἁμαρτίαις, ἀνθρώποις ἀπεικαζομένους· τοὺς δὲ ἐκ τοῦ Σὴθ' ἀναφυέντας δικαίους, ἅτε καὶ θεῷ ἀνακειμένους, ἀγγέλους φησὶν ἡ γραφὴ· τούτους ἐπ' ὀρέων ἰδιοτροποῦντας γυναικεῖος ὑπέσυρεν οἶστρος τῶν θυγατέρων τῶν ἀνθρώπων, καταβάντες δὲ συγγίνονται ταύταις, συμφυρέντες τῇ ἁμαρτίᾳ· ὠργίσθη τοίνυν ὁ θεὸς, τοὺς ἀγγέλους ἰδὼν ταῖς γυναιξὶ συνερχομένους· ἐντεῦθεν σημεῖον αὐτοῖς τῆς εἰς τοῦθ' ἁμαρτίας οἱ γίγαντες ἐτίκτοντο· γίγαντες δὲ εἰσὶν οἱ ἀπ' αἰῶνος ὀνομαστοὶ ἄνδρες, ὑπερμεγέθεις τῇ τε ἕξει καὶ τῇ θέσει, καὶ ὅτι μάλιστα λίαν ἰσχυροὶ· τὸ δὲ τινὰ τίκτεσθαι τοιοῦτον, σημεῖον ἦν τῆς τῶν ἀγγέλων πρὸς τὰς γυναῖκας συναφείας· ἀσάρκους δὲ φησὶν ὁ θεολόγος τῷ γράμματι παρεπόμενος· αὐτός τε ἐπὶ τὸ ἀναγωγικώτερον ἄγει· καὶ γὰρ, φησὶν, ἥμαρτεν ὅς τις τὴν ἄσαρκον φύσιν συνέμιξε τῇ σαρκὶ, τοὐτέστι τὴν ἀπάθειαν τῇ ἁμαρτίᾳ, καὶ τῷ γάμῳ τὴν παρθενίαν.

Καὶ γαῖαν ἐκάθηρεν ἁμαρτάσιν οὐρανιώνων. 493.

Κατηγορεῖ τῆς ἑλλήνων ἀφροσύνης· ἐκεῖνοι γὰρ τοῖς ὑπ' αὐτῶν προσκυνουμένοις θεοῖς τὰ μυσαρὰ προσνέμουσι πάθη, καὶ αὐτοῖς δὲ χάριν τοῖς πάθεσι φέρουσι.

Ἑλλήνων τάδε παισὶν, ἐπεὶ πάθεεσσιν ἐκεῖνοι 494.
Ἄλκαρ ἑοῖς μήσαντο θεοὺς στήσασθαι ἀλιτροὺς, 495.
Κλέπτας ἀνδρογύνους μοιχοὺς ἀλιτήμονας ἄνδρας, 496.
Ἀνδροφόνους τεκέων δηλήμονας ἠδὲ τοκήων. 497.

Κλέπτης ὁ Ἑρμῆς· κερδῶον γὰρ θεὸν αὐτὸν καλοῦσιν,

ὡς Ἀριστοφάνης ὁ κωμικὸς, ἐμπόλεσεν αὐτὸν φησὶν ἱδρυσόμεθα, τοῦτ' ἔστι κέρδους ἕφορον· οὗτος δὲ καὶ κνίσαις ἥδεσθαι κωμῳδεῖται· λέγεται δὲ καὶ θηλακρίων, ὡς ἐπιδεικνυμένῳ αὐτῷ κρεαδίῳ κατέρχεσθαι ἐπὶ τὰ κρέα· καὶ μαρσίππιον αὐτὸν ποιοῦσι βαστάζοντα, ὡς τῆς κλοπῆς ἔφορον ὄντα· διὸ καλεῖται κερδῶος, κνῖσος, θηλακρίων, καὶ κλώψ, καὶ λόγιος· αὐτὸν δὲ φασὶν Ἕλληνες καὶ πομπὸν, τοῦτ' ἔστιν ἄγγελον.

Ἀνδρόγυνος ὁ Διόνυσος· τοῦτον γὰρ φασὶ καὶ τὰ ἀνδρῶν ποιεῖν, καὶ τὰ γυναικῶν πάσχειν, καὶ τὰς βάκχας περὶ αὐτὸν καὶ μαινάδας γινομένας ἐκβακχύειν, καὶ τοὺς σατύρους καὶ τοὺς σειληνοὺς ἐξορχουμένους περὶ αὐτόν· μυθεύονται δὲ τοῦτον ἔφορον εἶναι τοῦ οἴνου, καὶ ὅτι δέδωκε καὶ ταῖς γυναιξὶ καὶ τοῖς ἀνδράσι, καὶ ἔπιον καὶ ἐμεθύσθησαν, καὶ μεθύσαντες μετὰ τῶν γυναικῶν χορεύουσι περὶ αὐτόν· σατύρους δὲ λέγουσιν εἶναι ποιμένας· οἱ δὲ φασὶ τινὰς περὶ τὸν Διόνυσον δαίμονας.

Μαιχὸς ὁ Ἄρης ἐστὶν· οὗτος δὲ τὴν Ἀφροδίτην ἐμοίχευεν· Ἀφροδίτη δὲ γυνὴ ἦν Ἡφαίστου τοῦ καὶ Ἀμφιγύου· Ἥφαιστος οὖν χωλὸς θεὸς λέγεται καὶ χαλκεὺς· γνοὺς δὲ μοιχευομένην τὴν Ἀφροδίτην ὑπὸ τοῦ Ἄρεως, ἔστησε τῷ Ἄρει παγίδας, ἐν αἷς ἐμπαγεὶς ὁ Ἄρης ἐκρατήθη· Ἥφαιστος οὖν συγκαλεσάμενος πάντας τοὺς θεοὺς, μέγαν αὐτοῦ κατέχεε γέλωτα· λέγουσι δὲ τὸν Ἥφαιστον Θερσίτην ἐλύμπιον· ἦν γάρ τις Θερσίτης, ὃς τῷ τῶν ἑλλήνων στρατοπέδῳ παρείπετο, οὐ πολέμου χάριν, τοῦ δὲ γελᾶσθαι· οὗτος δὲ χωλός τε ἦν, καὶ σραβὸς, κυρτὸς, μαδαρὸς, ἀλλὰ καὶ προσωπὸς, ὥς φησιν Ὅμηρος· Θερσίτ ἀκριτόμυθε λιγύς περ ἐὼν ἀγορητής.

Θερσίτην τεύνων ἐλύμηνεν, τοῦτ' ἔστιν εὐράνιον, τὸν Πρίαστον Ἕλληνες καλοῦσιν· οὗτος γὰρ χωλός ἐστι καὶ αἰθαλώδης ὡς ἐκ τῆς ἀνθρακιᾶς, χαλκεὺς γάρ· καὶ προπετὴς καὶ γελωτοποιὸς, ὡς γὰρ ταῖς πάγαις τὸν Ἄρεα τῆς μοιχείας ἔβριψε, συγκαλέσας ἐπ' αὐτὸν τοὺς θεοὺς, γέλωτα μέγαν ἐποίησε, μὴ φοβηθεὶς τὸν κυδοιμὸν καὶ τὸν δῆμον καὶ τὸν φόβον, οἵ τινες εἰσὶν υἱοὶ τοῦ Ἄρεως· Ἄρης γὰρ ὁ πόλεμος λέγεται· ὁ αὐτὸς δὲ Ἄρης λέγεται καὶ ἀνδροφόνος, ὡς Ὅμηρος, Ἄρες Ἄρες βροτολοιγέ.

Βλαπτικὸς τῶν γονέων ὁ Ζεὺς ἐστὶν· οὗτος γὰρ τὸν ἴδιον ἔβριψε πατέρα τὸν Κρόνον, διὸ καὶ τυραννοκτόνος καλεῖται· Κρόνος γὰρ μισότεκνος ὤν, ἐκ τῆς Ῥέας τοὺς τικτομένους αὐτῷ κατέπινεν· ἡ Ῥέα τεκοῦσα τὸν Δία, λίθον ἱματίῳ περιελίξασα, τῷ Κρόνῳ καταπιεῖν ἐπιδίδωσιν· ὁ δὲ καταπιὼν τὸν λίθον, ἐξήμεσεν ἅπαντας σὺν αὐτῷ τοὺς προκαταποθέντας, ὥστε πικρὸν λίθον λέγεται καταπιεῖν· ὁ οὖν Ζεὺς γνοὺς τοιοῦτον εἶναι τὸν ἴδιον πατέρα Κρόνον, ἐπανέστη αὐτῷ, καὶ ἐξέτεμεν αὐτοῦ τὰ αἰδοῖα, καὶ τὴν βασιλείαν ἀφείλατο.

Κεῖται περὶ τῆς καταπόσεως ἀλλαχοῦ.

Ὁμοίως ὁ Κρόνος, ὃν τινα καλοῦσιν Οὐρανίδην, βλαπτικός ἐστι τῶν τέκνων· ὡς ἔφημεν γὰρ ὅτι τοὺς ἐκ τῆς Ῥέας αὐτῷ τικτομένους κατέπινε· καὶ τὸν Δία πανούργως ἔσωσεν ἡ Ῥέα εἰς Κρήτην φυγαδεύσασα, καὶ περὶ αὐτὴν αὐλοὺς τάξασα καὶ κορύβαντας, ἵνα κλαίοντος Διὸς ἦχον ποιῶσι τινὰ καὶ σκέπωσι τὸν κλαυθμυρισμόν· ταύτην δὲ πυρρίκην ὄρχησιν φασί τινες· ἄλλοι ἐνοπλιτικήν, ἐπειδὴ ταῖς ἀσπίσιν ἀλλήλων ἔτυπτον οἱ κορύβαντες· δαίμονες δὲ οὗτοι.

Ἄθρει δὲ πρώτιστον ὃς ἔπλετο μαργοσύνῃσι, 490.

500. Ταῦρος, κύκνος, χρυσὸς, ὄφις, πόσις, ὄρνις, ἅπαντα
501. Ὅσσά μιν ὠκὺς ἄνωξεν ἔρως κοῦρός τ' ἀλαπαδνός.
502. Ταῦρος ὁ Ζεὺς γίνεται διὰ τὴν Εὐρώπην· ἐρασθεὶς γὰρ αὐτῆς, εἰς ταῦρον μεταβληθεὶς αὐτῇ συνεπλανᾶτο.

Κύκνος γέγονε διὰ τὴν Λήδαν· πεθήσας γὰρ αὐτὴν καὶ τὴν Νέμεσιν, κύκνος γενόμενος αὐταῖς συνεγένετο.

Χρυσὸς γέγονε διὰ τὴν Δανάην· λέγεται γὰρ χρυσὸς γενέσθαι, καὶ ῥυῆναι, καὶ οὕτως αὐτῇ συγγενέσθαι.

Ὄφις γέγονε διὰ τὴν Ὀλυμπιάδα τὴν Ἀλεξάνδρου μητέρα· λέγεται γὰρ μεταμορφωθῆναι εἰς δράκοντα καὶ οὕτως αὐτῇ συγγενέσθαι, διὸ καὶ δρακοντιάδης λέγεται ὁ Ἀλέξανδρος· ἄλλοι δέ φασι τὴν Ὀλυμπιάδα μοιχεύσαντα Νεκτεναβὼ τὸν βαβυλώνιον· ὅμως Φιλίππου λέγεται παῖς.

Ἀνὴρ γέγονεν ὁ Ζεὺς, διὰ τὴν Σεμέλην τὴν Διονύσου μητέρα· ταύτῃ γὰρ ὡς ἄνθρωπος συνεγένετο· ἡ δὲ Ἥρα μαθοῦσα καὶ ζηλοτυπήσασα, εἰς λόγους δῆθεν ἔρχεται μετὰ Σεμέλης ὡς ἀπατωμένης καὶ μὴ ἐρωμένης ὑπὸ Διός· διὸ ταύτῃ συμβουλεύει τῷ Διὶ παραγενομένῳ πρὸς αὐτὴν, αἰτῆσαι μετὰ κεραυνῶν καὶ βροντῶν συγγενέσθαι αὐτῇ, ὥσπερ οὖν καὶ τῇ Ἥρᾳ· τούτου δὲ γενομένου, μὴ ἐνέγκασα ἡ Σεμέλη ἐκεραυνώθη· Ζεὺς δὲ λαβὼν τὸ ἐν αὐτῇ ἔμβρυον, σχίσας τὸν μηρὸν ἔβαλεν αὐτό· πληρωθέντων δὲ τῶν ἐννέα μηνῶν ἐξήγαγεν αὐτό· διὰ τοῦτο καὶ μηρὸς ὠδίνων λέγεται, καὶ ἀτελὲς κύημα ὁ Διόνυσος· τινὲς δὲ ταύτῃ καὶ ἀνδρόγυνον φασὶν, ὡς ἐν κοιλίᾳ Σεμέλης καὶ ἐν τῷ μηρῷ τραφέντα τοῦ Διός· ἔχει δὲ οὐχ' οὕτως, ἀλλ' ὡς ἔφαμεν φθάσαντες, ὅτι καὶ τὰ ἀνδρῶν ἐποίει, καὶ τὰ γυναικῶν ἔπασχεν.

Ὄρνις πάλιν ὁ Ζεὺς γίνεται· ἐρασθεὶς γὰρ τοῦ Γανυμήδους, γενόμενος ἀετὸς ἥρπασε τοῦτον· φρὺξ δὲ ὁ Γανυ-

μήδης· ὁ δὲ μῦθος ἔχει, ὅτι ὁ Ζεὺς αὐτὸν ἥρπασε τὸν Γανυμήδην, ἵνα αὐτὸν οἰνοχόον παίσῃ ἰνίκα τοῖς θεοῖς ἀριστοποιεῖ· οὐχ οὕτως δὲ, ἀλλ' ἐρασθεὶς αὐτοῦ, πρὸς παιδεραστίαν ἥρπασεν αὐτὸν ὁ Ζεὺς· ὡσαύτως δὲ καὶ Ἡρακλῆς ἐν μιᾷ νυκτὶ ταῖς πεντήκοντα Θεστίου θυγατράσι συγγινόμενος, καὶ ταύτας πάσας ἐγγαστρώσας, ὁμοῦ θεὸς ἀνηγορεύθη· τοῦτον δὲ λέγουσι καὶ τριέσπερον, ὡς εἶα διὰ τριῶν γεννηθέντα νυκτῶν.

Ταῦτα, φησὶν ὁ θεῖος Γρηγόριος, σέβοντες, ἀτιμάζουσι τὴν παρθενίαν.

Ὡς πάρος αἱματόεντα ῥόον σχέθεν αἱμορρούσης 510.
Ἁψαμένης, κλέφθη γὰρ ἑκὼν θεὸς, ἡ δὲ ῥεέθρων, 511.
Λύσλεη πηγὴ τῆμος θάλεν, εὖ τ' ἐμαράνθη. 512.

Κεῖται ἡ παροῦσα ἱστορία ἐν τῷ α λόγῳ.

ΛΟΓΟΣ Δ. ΛΟΓΟΣ Ε. (1)

ΕΙΣ ΕΜΑΥΤΟΝ. Carm. I

Οὔτε μόρον παίδων τίς ἑῶν ἐκλαύσατο τόσσον 3.
Ἢ κεδνῶν τοκέων, ἠὲ φίλης ἀλόχου. 4.

Μέμνηται τῆς μὲν φυσικῆς πρότερον διαθέσεως· θάνατον δὲ λέγει παίδων καὶ κλαυθμὸν, ὃν Ἰακὼβ ἐκλαύσατο τὸν υἱὸν αὐτοῦ· τοῦτον γὰρ κάλλιστον ὄντα, καὶ τῷ πατρὶ προσφιλέστατον, ὡραῖον τὲ τῇ ὄψει, ζηλώσαντες οἱ ἀδελφοὶ, πρῶτα μὲν ἀποκτεῖναι βουλεύονται· ὅμως εἰς αὐτὸν φιλανθρωπότερον διατεθέντες, ἰσμαηλίταις ἀπέδοντο κατάγου-

(1) Deinceps diversum ab editionibus ordinem carminum sequitur Cosmas. Heic quidem in editionibus nihil est praeter quartum carmen.

σιν εἰς τὴν Αἴγυπτον, οἳ καὶ αὐτοὶ τῶν αἰγυπτίων ἀπέδοντο τινὶ σπάδοντι Πεντεφρῇ καλουμένῳ· ὅπου δὴ καὶ σωφροσύνης ἀντιποιούμενος κατ' οἰκονομίαν τοῦ κρείττονος, τῆς αἰγυπτίων κατεκράτησε γῆς, ἀλλαχοῦ δηλωθήσεται· ὅμως τὸν χιτῶνα λαβόντες οἱ ἀδελφοὶ ὃν ἐνεδέδυτο Ἰωσὴφ, οὗτος δὲ ποικίλος ἦν, αἱμάξαντες προσφέρουσι τῷ πατρί· ὁ δὲ τοῦτον ἐπιγνοὺς, ὑπολαβών τε τὸν υἱὸν θηριάλωτον γεγονέναι, πένθος εἶχεν ἀπαρηγόρητον ἐπ' αὐτῷ· τιμίων δὲ γενέων φησὶν ὢν Ἰωσὴφ, ἐπένθησεν ἐπὶ τῷ ἰδίῳ πατρί· τοῦ γὰρ Ἰακὼβ πανοικίᾳ κατελθόντος εἰς Αἴγυπτον μετὰ τὸ τὸν Ἰωσὴφ βασιλεῦσαι, περὶ τὰ τέλη τῆς ζωῆς, μὴ ταφῆναι κατ' Αἴγυπτον Ἰακὼβ ἐνετείλατο· τελευτήσαντα δὲ πρὸς τὴν Χαναναίαν ὁ Ἰωσὴφ ἀποκομίζει, θάψας πρὸς τοῖς πατράσιν ἐν τῷ σπηλαίῳ τῷ διπλῷ ὃ ἐκτήσατο τιμῆς ἀργυρίου παρὰ τῶν υἱῶν Ἐμμὼρ Ἀβραὰμ ἐν Συχέμ, ἔνθα πρώτη τέθαπται Σάρρα· συνανέβη δὲ τῷ Ἰωσὴφ πλῆθος ἱκανὸν ἐξ Αἰγύπτου· ἐκεῖσε δὲ Ἰωσὴφ ἐπένθησε τὸν πατέρα ἐν τῇ ἄλῳ, καὶ ἐκόψαντο οἱ υἱοὶ Ἰσραὴλ καὶ οἱ αἰγύπτιοι κοπετῷ μεγάλῳ· καὶ ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, πένθος Αἰγύπτου· γυναικὸς δὲ φησὶ προσφιλοῦς περὶ τῆς Σάρρας· καὶ γὰρ φησὶν ἡ γραφὴ, ὅτι ἐπένθησεν Ἀβραὰμ τὴν γυναῖκα αὐτοῦ πένθος μέγα, καὶ οἱ συχεμῖται δὲ σὺν αὐτῷ καὶ οἱ χεβρωνῖται.

5. Οὐ πάτρην γλυκερὴν μαλερῷ πυρὶ τεφρωθεῖσαν.

Μέμνηται τῶν Ἱερεμίου θρήνων· οὗτος γὰρ ἐμπρησθείσης τῆς Ἱερουσαλὴμ ὑπὸ τῶν ἀσσυρίων, τοῦ λαοῦ ἀπαχθέντος, ἐθρήνησε σφόδρα, καθήμενος ἀπέναντι τῆς Ἱερουσαλὴμ, αὐτὴ δὲ ἐμπεπύριστο.

6. Οὔτε νέσῳ στυγερῇ ἄψεα τειρόμενα.

Τῆς Ἰὼβ μέμνηται συμφορᾶς· οὗτος γὰρ δίκαιος ὢν ὑπὸ τοῦ διαβόλου εἰς πειρασμὸν ἐξετάσθη, καὶ πάντα μὲν αὐτοῦ τὰ ὑπάρχοντα διακενῆς ὁ διάβολος ἀπώλεσας, θανατώσας δὲ τούτου καὶ τοὺς παῖδας ἐν μιᾷ καιροῦ ῥοπῇ, τιτῦτον χαλεπωτάτῃ νόσῳ περιβάλλει· ὁ δὲ τὸν ἰχῶρα ξύων τοῦ σώματος ὀστράκῳ, καὶ ἐπὶ τῆς κοπρίας ἐν τοῖς προπυλαίοις καθήμενος, ἔστενεν ὀδυρόμενος· ὅμως εὐχαρίστως φέρων, περισσῶς ἐστεφανώθη.

Πατρός τ' ἀρχεγόνοιο πλάνην καὶ μητρὸς ἀλιτρὴν 99.
Πάρφασιν ἠμετέρης μητέρα μαργοσύνης· 100.
Καὶ σκολιοῖο δράκοντος ἀτάσθαλον αἱμοβόροιο. 101.

Κεῖται ἡ κατὰ τὸν Ἀδὰμ ἱστορία ἐν τῷ δευτέρῳ λόγῳ.

Καὶ κρημνοὺς ὡς λεγεῶν ποθέει. 168.

Κεῖται ἐν τῷ α' λόγῳ.

Οὔτε λόγον τίοντες ὃν ἔνδοθι γινομένοισι, 175.
Θῆκε θεός. 176.

Κεῖται περὶ τοῦ ἐμφυσήματος ἐν τῷ β' λόγῳ.

Οὔτε νόμον τρομέοντες ὃν ἔν ποτε λαΐνοισι, 177.
Γράμματι ἀτρεκίην Χριστὸς ὑποσκιάων 178.
Πλαξὶν ἄναξ ἐχάραξε, καὶ ὕστατον ἐν κραδίῃσι. 179.

Κεῖται ἐν τῷ β' λόγῳ ἐν τῇ κατὰ τὸν Μωσέα διηγήσει.

ΛΟΓΟΣ ς.

ΕΙΣ ΕΜΑΥΤΟΝ ΜΕΤΑ ΤΗΝ ΕΠΑΝΟΔΟΝ. Ed. c V.

Ἄλλος Ἰὼβ νέος εἰμὶ, τὸ δ' αἴτιον οὐκ ἔθ' ὅμοιον. 31.

Ἤδη μὲν περὶ τοῦ μεγάλου βραχέως Ἰὼβ εἴρηται, ἀλλὰ καὶ νῦν εἰπεῖν οὐκ ὀκνητέον· Ἰὼβ ἀνὴρ γέγονε δίκαιος, τὴν

Λυσίτιδα γῆν κατοικῶν, γένος μὲν ἄραψ τῶν Ἡσαῦ υἱῶν υἱός· τούτῳ ὁ Θεὸς ἐμαρτύρησεν εἰπών, ἔτι οὐκ ἔστι κατ' αὐτὸν τῶν ἐπὶ τῆς γῆς ἄνθρωπος, ἄκακος, ἀληθινός, ἄμεμπτος, δίκαιος, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος· τοῦτον εἰς πειρασμὸν ὁ διάβολος παρὰ Θεοῦ ἐξητήσατο· καὶ πρῶτα μὲν ἀπώλεσεν αὐτοῦ τὰ ὑπάρχοντα, πρόβατα δὲ ἦν αὐτῷ ἑπτακισχίλια, κάμηλοι τρισχίλιαι, ζεύγη βοῶν πεντακόσια, ὄνοι θήλειαι νεμάδες πεντακόσιαι, καὶ ὑπηρεσία πολλὴ σφόδρα, καὶ ἔργα μεγάλα ἦν αὐτῷ ἐπὶ τῆς γῆς· καὶ αὐτὸς εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν· καὶ παῖδες αὐτῷ ὑπῆρχον ἑπτὰ καὶ θυγατέρες τρεῖς· οὓς ἅπαντας ἄρδην ὁ μισόκαλος ἐξηφάνισε μετὰ τῶν ὑπαρχόντων αὐτοῦ, κινῆσαι βουλόμενος αὐτὸν εἰς βλασφημίαν· ὡς δὲ καρτερῶς ἔφερεν εὐχαριστήσας, οὐχ' ἱκανὰ τὰ ὑπάρχοντα πρὸς τὸν πειρασμὸν ὁ διάβολος ὑπολαβών, αὐτὸν ἐξητήσατο· λαβὼν δὲ τὴν κατ' αὐτοῦ σωματικὴν ἐξουσίαν, νόσῳ τοῦτον περιβάλλει δεινοτάτῃ· τὸ δὲ πάθος ἀπὸ ποδῶν αὐτῷ μέχρι κεφαλῆς ὑπῆρχε πονηρόν· ἔξω μὲν οὖν τῆς πόλεως ἐπὶ κοπρίας καθεζόμενον, καὶ τὸν ἰχῶρα τοῦ σώματος ἀποξεόμενον ὀστράκῳ, τὴν μὲν ἰδίαν γυναῖκα τῆς εἰς Θεὸν βλασφημίας σύμβουλον αὐτῷ πρότερον διεγείρει, τῶν μὲν οἰκτρῶν εἰς μνήμην ἄγουσαν χρηστῶν, τῶν δὲ ἐν χερσὶ πονηρῶν λυπηρῶς ὑποτιθεμένην τὰς συμφοράς· ὡς δὲ τοῦ χρόνου τὸ μῆκος, καὶ τῆς ἀπροσδοκήτου σωτηρίας τὴν ἀπόγνωσιν, φίλων τε καὶ πρὸς γένους καὶ τῶν οἰκείων τὴν ἀλλοτρίωσιν, ὀνείδη καὶ γέλωτα καὶ μυκτηρισμὸν, καὶ ἅπαξ εἰπεῖν τὴν πᾶσαν ἐπ' αὐτῷ τῶν πειρασμῶν ἀπεκένωσε βελοθήκην· ὡς δὲ τὸν ἀθλητὴν οἱ πλείονες εὐδοκιμώτερον κατέστησαν πειρασμοὶ, τῶν μὲν ἀγώνων αὐτὸς τὸ ἔπαθλον περι-

φανέστερον πρὸς τοῦ τῶν ἄλλων ἀρίστου διανομέως ὑποδέχεται, διπλοῖς τιμηθεὶς τοῖς ἀντιδώροις· καὶ γὰρ αὐτῷ διπλᾶ πάντα παρέσχεν ὁ Θεὸς· τῆς ἥττης δὲ χαλεπὸν καὶ γέλωτος ἄξιον τὸ πτῶμα μετ' ἦχου ὁ πειραστὴς ἀπενεγκάμενος, εἴχεται κατησχυμμένος.

Τρεῖς βίβλεισι τεῦξι μεγακλεὲς εἰσὶ τελῶναι, 91.
Ματθαῖος τε μέγας, νηῷ τ' ἐνὶ δάκρυα λείψας, 92.
Ζακχαῖος τ'. 93.

Ματθαῖος τελώνης γέγονε· τοῦτον ἰδὼν Ἰησοῦς καθεζόμενον ἐπὶ τὸ τελώνιον, εἶπεν αὐτῷ, ἀκολούθει μοι· ὁ δὲ ἀναστὰς καὶ πάντα καταλιπὼν, ἠκολούθησεν αὐτῷ καὶ γέγονεν αὐτοῦ μαθητὴς· οὗτος δὲ καὶ τὸ εὐαγγέλιον συνεγράψατο· τελώνης δὲ ἐστὶν ὁ τέλη τινὰ κομιζόμενος παρὰ τὸ εἰκὸς· ὅλον δὲ τὸ πρᾶγμα πλεονεκτικόν ἐστι καὶ ἐφάμαρτον· ἄλλος ἐστὶ τελώνης ὁ δακρύσας ἐν τῷ ναῷ, ὅς τις παρὰ τὸν μεγάλαυχον φαρισαῖον κατῆλθε δεδικαιωμένος.

Κεῖται δ' ἡ κατ' αὐτὸν ἱστορία ἐν τῷ α' λόγῳ.

Ζακχαῖος δὲ καὶ αὐτὸς τελώνης ὑπάρχων, Ἰησοῦν ἰδεῖν ἐσπεθύμησε· καὶ τοῦτον παριόντα θεάσασθαι μὴ δυνάμενος, διά τε τὸν παρεπόμενον ὄχλον καὶ τὸ βραχὺ τῆς ἡλικίας, μικροψυὴς γὰρ τὴν ἡλικίαν ὁ μεγαλόψυχος Ζακχαῖος, ἐπὶ συκομοραίας ἀνῆλθε θεάσασθαι τὸν ποθούμενον· ὃν Ἰησοῦς καλέσας, παρ' αὐτῷ τὲ ξενισθεὶς μαθητεύει· καὶ πάντα τὰ ὑπάρχοντα τοῖς ἐνδέεσι καὶ πλεονεκτηθεῖσι τετραπλῶς ἀποδοὺς ὁ Ζακχαῖος, Χριστοῦ μαθητὴς ἐχρημάτισεν.

Τρεῖς δ' ἄρα λυσιμελεῖς, ὅ τε λέκτριος ὅς τ' ἐπὶ πηγῇ, 94.
Ἦν τε πνεῦμα πέδησεν. 95.

Πρῶτος ἐστὶ παράλυτος ὁ ἐν Καπερναοὺμ θεραπευθεὶς· ἐκεῖσε γὰρ διὰ τὸν ὄχλον μὴ δυνάμενοι αὐτὸν προσαγαγεῖν

τῷ Ἰησοῦ, τὴν σέγην ἀνακαλύψαντες τοῦ οἴκου, καθῆκαν αὐτὸν ἐωὶ κλίνης· Χριστὸς δὲ τὴν πίστιν αὐτῶν θεασάμενος, ἄμφω τῆς τε νόσου καὶ τῶν ἁμαρτιῶν τὸν κάμνοντα λύσιν εὑράμενον, τῷ λόγῳ τοῦ στόματος ἀπέλυσεν ὑγιῆ· ὁ δὲ ἐπὶ τῇ πηγῇ παράλυτος, ἐστὶν ὁ τριάκοντα καὶ ὀκτὼ χρόνοις τῇ τῆς προβατικῆς ἐγκαρτερῶν κολυμβήθρᾳ· ταύτης γὰρ ἄγγελος κατιὼν καὶ σαλεύων τὸ ὕδωρ, τῷ πρώτως κατιόντι τῆς ἰάσεῶν κατεῖχετο νόσου τὴν λύσιν παρείχετο· δι' ἣν αἰτίαν πολλῶν διαφόροις καμνόντων πάθεσι παρόντων, ὁ παραλελυμένος οὗτος ἅτε πτωχὸς καὶ μηδένα τὸν βάλλοντα κεκτημένος ἐν τῷ ὕδατι, πρὸς τῇ νόσῳ καὶ τῷ χρόνῳ τρυχόμενος, τῆς ἀτυχίας διεκαρτέρει μάλα νεανικῶς· τοῦτον ἰδὼν Ἰησοῦς ὁ φιλάνθρωπος, ᾠκτειρε σπλαχνισθεὶς ἐπ' αὐτῷ, καὶ πυθόμενος εἰ θέλει γενέσθαι ὑγιὴς, ὅτι ναὶ ἀκούσας, ὀκτὼ καὶ τριάκοντα χρόνους τούτου χάριν προσκαρτερεῖ τῇ κολυμβήθρᾳ, σύντομον τὴν ὑγείαν αὐτῷ τῷ λόγῳ τοῦ στόματος χαρισάμενος, τὴν ἰδίαν ἄραντα κλίνην τῶν αὐτόθι βαδίζειν παραχρῆμα προσέταξεν. Ἣν τινα δὲ ἔθησεν ὁ σατανᾶς, ἐκείνη ἐστὶν ἣν ἐν τῇ συναγωγῇ ἔλυσεν ἐν σαββάτῳ, δι' ἣν καὶ λοιδορούμενος πρὸς τοὺς Ἰουδαίους φησὶν ὁ Ἰησοῦς, τίς ἐξ ὑμῶν ἔχει πρόβατον ἢ κτῆνος καὶ οὐκ ἀφίσιν αὐτὸ πιεῖν ὕδωρ ἐν σαββάτῳ; ταύτην δὲ χρόνοις ιη' θυγατέρα οὖσαν Ἰσραὴλ ἣν ἔδησεν ὁ σατανᾶς, οὐκ ἔδει λυθῆναι; καὶ ταῦτα λέγοντος αὐτοῦ, ἐφιμώθησαν.

96. Τρεῖς δέ σε ἐκ νεκύων φάος ἑδρακεν· ὡς γὰρ ἄνωγας
97. Ἄρχοντος θυγάτηρ χήρης πάϊς, ἐκ δὲ τάφοιο
98. Λάζαρος ἡμιθάϊκτος.

Θυγάτηρ ἐστὶ τοῦ ἑκατοντάρχου ἣν ἀνέσησεν ὁ Ἰησοῦς· οὗτος γὰρ βασιλικὸς ὢν ἀνὴρ εὐλαβὴς, ἠρώτα τὸν Ἰησοῦν

περὶ τῆς θυγατρὸς αὐτοῦ· καταβὰς δὲ Χριστὸς ἐν οἰκίᾳ, καὶ τὴν παῖδα τεθνηκυῖαν εὑρὼν, καὶ κατατὸν ἐπ' αὐτῇ καταστείλας ἅπαντα, αὐτὸς λαβόμενος τῆς παιδὸς, ἀνέζησε καὶ τοῖς γονεῦσι ζῶσαν παρέζησε. Παῖς δὲ τῆς χήρας ἐστὶν, ὁ ἐν τῇ πόλει Ναὶν· τοῦτον γὰρ προκομιζόμενον, καὶ τὴν μητέρα κατολοφυρομένην ἐπ' αὐτῷ συναντήσας Ἰησοῦς, ἁψάμενος αὐτοῦ τῆς κλίνης, ἤγειρε καὶ τῇ μητρὶ παρέδωκεν ἐκ νεκρῶν ζῶντα. Λάζαρος δέ ἐστιν ὁ ἐν Βηθανίᾳ νεκρὸς τετραήμερος, ὃν Ἰησοῦς ἀνέστησε, φωνήσας ἐκ τοῦ μνήματος, οὗ καὶ μνήμην ἐν τῷ πρώτῳ πεποιήμεθα λόγῳ.

ΛΟΓΟΣ Ζ.

ΕΙΣ ΕΠΙΣΚΟΠΟΥΣ.

Ed. carm. X.

Καὶ θηρὸς ζοφεροῖσιν ἐνὶ σπλάγχνοισιν ἐερχθεὶς 53.
Κήτεος εἰναλίου ὥς ποτ' Ἰωνᾶς ἔδυ. 54.

Κεῖται ἐν τῷ α' λόγῳ.

Οὐδὲ χεῖρας φονίους προσπτύξομαι, οὐδὲ γενείου, 65.
Δράξομαι, ὥστ' ὀλίγης ἀντιτυχεῖν χάριτος. 66.

Μέμνηται τῆς κατὰ τὸν Πρίαμον συμφορᾶς· οὗτος γὰρ τῆς Τρωάδος ὢν βασιλεὺς, τίκτει παῖδας πεντήκοντα, ἐν οἷς Ἕκτορα καὶ Ἀλέξανδρον Πάριδα· Ἀλέξανδρος δὲ ταχείας ναῦς κατασκευάσας, ᾤχετο κατὰ τὴν Ἑλλάδα, καὶ ξενισθεὶς παρὰ Μενελάῳ τῷ Ἀτρέως παιδὶ, βασιλεὺς δὲ τῆς Ἑλλάδος οὗτος καὶ Ἀγαμέμνων ὁ ἀδελφὸς, τὴν τούτου γυναῖκα Ἑλένην ἁρπάσας, εἰς Ἴλιον τὴν ἰδίαν ἀπάγει πόλιν, τῆς Τρωάδος προκαθεζομένην· Μενέλαος δὲ καὶ ὁ τούτου ἀδελφὸς Ἀγαμέμνων, τούτου χάριν καταστρατοπεδεύσαντες

τῆς Τρωάδος, σὺν δυνάμει παρῆσαν πολλῇ· παρῆν δὲ σὺν αὐτοῖς καὶ Ἀχιλλεὺς ὁ τοῦ Πηλέως, Αἴας Τελαμώνιος, αἰακίδαι λεγόμενοι, καὶ τῶν παρ' Ἕλλησι θαυμαζομένων ἡρώων οἱ πρόκριτοι· Πριάμου δὲ καὶ αὐτοῦ τοῖς Ἕλλησιν ἀντιπαρατεταγμένου καὶ τῶν αὐτοῦ παίδων μάλιστα Ἕκτορος κατὰ τὴν μάχην ἀριστευόντων, πολλοὶ μὲν τῶν Ἑλλήνων ὑπὸ ταῖς χερσὶν ἀνῃρέθησαν Ἕκτορος, αὐτὸς δὲ ταῖς Ἀχιλλέως χερσὶ διεφώνησεν· ἀμφοτέρων γὰρ ἀγωνισαμένων, πεσὼν Ἕκτωρ εἵλκετο ὑπ' Ἀχιλλέως· Πρίαμος οὖν πρὸς αὐτὸν ἀφικόμενος, ἠτήσατο τιμήσας χρήμασι τὸν Ἀχιλλέα, τὸν τεθνηκότα λαβεῖν καὶ ταφῆς ἀξιῶσαι· τοῦ δὲ βαρέως φέροντος καὶ ἀπαναινομένου, Πρίαμος τῶν αὐτοῦ προκυλινδούμενος ποδῶν δακρυχέων, τὰς μὲν φονίους χεῖρας ἀσπαζόμενος, καὶ τῆς γενειάδος θραττόμενος, ἐλίσσετο τῆς ἀξιώσεως ἐπινεῦσαι τὸν Ἀχιλλέα· καὶ τῷ μὲν Πριάμῳ χάρις ἦν μεγάλη τὸν υἱὸν καί τοι νεκρὸν ἀπολήψεσθαι, Ἀχιλλεῖ δὲ τῷ ἀνδροφόνῳ τοῦτο κατανεῦσαι· φονίους δὲ χεῖρας φησὶν, ἐπείπερ αὗται τὸν ἐκείνου διώλεσαν παῖδα, ἃς ἠναγκάζετο Πρίαμος ὡς χρηστοδότους προσπτύσσεσθαι· μικρὰν τοίνυν χάριν Γρηγόριος φησὶν, ἕνεκεν δόξης ἀνθρωπίνης κολακεύειν, καὶ σχηματίζεσθαι πρὸς τὸ ταύτης ἐπιτυχεῖν· διὸ καὶ ἀλλαχοῦ φησὶν· οὐ γὰρ ἐμῆς ἐστι πολιᾶς παίζειν, καὶ λάτρην εἶναι ἀπρεπῶς ἀντιθρόνων· λέγεται δὲ καὶ ἡ Θέτις κατ' ὄλυμπον γενομένου τοῦ Διὸς τῶν γονάτων καὶ τῆς γενειάδος ὀράξασθαι λιταζομένη περὶ Ἀχιλλέως.

67. Οὐδ' ἱερὴν ἐπὶ δαῖτα γενέθλιον ἦὲ θανόντος
68. Ἦ τινὰ νυμφαδίην σὺν πλείνεσσι θεάων.

Δοκεῖ μοι τῶν παρ' Ἕλλησι τιμωμένων γενεθλίων μεμνῆσθαι· καὶ γὰρ Ἡρώδην ἄγειν γενέσια λέγεται· καὶ θα-

νέντες ὡς ἐπὶ Πατρόκλου θρηνεῦσι, καὶ νυμφικὴν δεῖτα μάλιστα πᾶσι περισπούδαστον· ἐν τούτοις γὰρ πᾶσιν ἄτοπα γεγένηνται πλεῖστα· εἰ δέ τις ταῦτα καὶ παρὰ τῇ θείᾳ γραφῇ ἐπιτηρήσει, μᾶλλον εὑρήσει πίνδας καλούμενα καὶ οὐκ εὐωχίαν.

Οὐδέ τί που συνόδεισιν ὁμόθρονος ἔσσεται ἔγγε 91.
Χηνῶν ἠὲ γεράνων ἄκριτα μαρναμένων. 92.

Τὰ τῶν γεράνων καὶ χηνῶν συνέδρια ἀκριτόφωνά τε ὄντα καὶ μάτην μαινόμενα, τοῖς κατ' ἐκεῖνο καιροῦ προεδρεύουσιν ἀπεικάζει Γρηγόριος· διὸ καὶ τῆς τούτων ἀποπηδήσας ἀλογιστίας, τὸ μετ' ἐκείνων συνεδριάζειν, ἴσον ὑπονοεῖ τῆς μετὰ χηνῶν καὶ γεράνων συνδυάσεως· τοῦτο δὲ τῶν ἑαυτοῦ καὶ Ὅμηρος μνημονεύσας ἐπῶν παρεισάγει παράδειγμα.

Ταῦτα μέν, οἷσι φίλον, καὶ κερκώπων κράτος εἶη. 101.

Ταύτην εἴτε μεταφορικῶς οὖσαν τὴν ἱστορίαν εἴτε φυσικῶς παρενηνεγμένην, ἀκριβῶς οὐκ ἴσμεν· πλὴν σχόλιόν τι παρ' αὐτῷ κείμενον τῷ Θεολόγῳ ἀνέγνωμεν οὕτω περιέχον· οἱ γὰρ κερκώπων παῖδες δόλιοι, καὶ αὐτὸ δὲ τὸ ζῷον, ἀλώπηξ δὲ, ὡς ἀπὸ τῆς κέρκου, μεγάλην γὰρ ταύτην ἔχον, κέρκωψ καλεῖται· φύσει δὲ δόλιον ἐστὶ καὶ παροῦργον· διὸ καὶ πολλοῖς τοῖς μυθεύμασι γελωτοποιοῖς θρυλλοῦσι τοῦτο πολλά· καὶ γὰρ λέοντα τὸν βασιλικώτατον ἀπατήσειν καὶ πετεινὰ καὶ κτήνη καὶ θῆρας φασὶ· καὶ ὅτι φυσικὸν ἔχει τὸ πανοῦργον, λέγουσι σχηματίζεσθαι θάνατον, καὶ ἐξογκοῦσθαι πρὸς ἀπάτην τῶν πετεινῶν, ἡνίκα δὲ καθήκονται ὡς ἐπὶ πτώματι, διασπᾶν αὐτὰ καὶ κατεσθίειν· ἀλλὰ καὶ τοὺς κύνας πρὸς μῖξιν ἀπατᾷν ἡνίκα ταχυδρόμοις ἅλμασιν αὐτοῦ κατατύχοιεν· τοὺς δολίους οὖν καὶ ἀπατεῶνας ἔχει τὸ κράτος κατὰ τῶν εὐλαβῶν, φησὶν ὁ θεῖος Γρηγόριος· ἔστι

δὲ καί τις ἑτέρα διήγησις περὶ Πασσάλου καὶ Ἀκλήμονος τῶν κεκρόπων καὶ οὗτοι γὰρ δόλιοι καὶ λίαν ἀδικότατοι.

Κεῖται δὲ ἡ κατ' αὐτοὺς ἱστορία ἐν τῷ ριδ' λόγῳ περὶ Μελαμπύγου.

ΛΟΓΟΣ Η.

Ed. carm. VI.

ΠΕΡΙ ΕΥΤΕΛΕΙΑΣ ΤΟΥ ΕΚΤΟΣ ΑΝΘΡΩΠΟΥ.

17. Οὗτος ἔην θαλερός τε καὶ ἄλκιμος εὖχος ἑταίρων
18. Ὑψιβιβὰς, μελέεσσιν ἐριζώοισι πεπηγώς·
19. Οὗτος κάλλιμος ἦεν ἐωσφόρος, ὄμματα πάντων
20. Ἕλκων, εἴαρος ἄνθος ἐν ἀνδράσιν, οὗτος ἀγῶσιν
21. Κύδιμος, ἔντεσιν οὗτος ἀρήϊος, οὗτος ἄριστον
22. Θηροφόνων σταδίοισι καὶ οὔρεσι κάρτος ἐγείρων.

Πολλαῖς ἐπῶν χιλιάσιν Ὅμηρος καὶ τῶν ἑλλήνων οἱ ποιηταὶ τὰς βίβλους τοιούτοις ἐμέλαινεν ἐγκωμίοις, ἄρτι μὲν Ἀχιλλέα χολούμενον παρεισάγοντες, καὶ τῆς ἐκείνου μήνιδος παραίτιον, τὰς τῶν ἐφήβων ἀωρίας καὶ πτώσεις πιστούμενοι· πολλοῖς τε λόγων κύκλοις, τῶν ἑταίρων αὐτὸν εἶναι καύχημα καὶ τῆς πατρίδος ὑπέρμαχον παριςῶντες· ἄρτι δὲ μέλεσι πεπηγότα μεγάλων ζώων τὸν Τελαμῶνος Αἴαντα καὶ τεῖχος τοῖς προσφιλέσι καθεσηκότα θαυμάζοντες· ὡσαύτως ἐν τοῖς ἀγῶσιν ἔνδοξον τὸν Τυδέως Διομήδην· ἀρήϊον Ἕκτορα φασὶ τὸν πριαμίδην, τοῦτον γὰρ κατὰ τὴν μάχην σὺν τῷ Ἄρεϊ δεδοξασμένον τοῖς τεύχεσι λέγουσιν ὡς Ὅμηρος, ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ πότνι' Ἐνυώ· καὶ αὖθις, τῷ δ' αἰεὶ πάρα εἷς γε θεῶν ὃς λοιγὸν ἀμύνει, καὶ νῦν οἱ παρὰ κείνοις, Ἄρης βροτῷ ἀνδρὶ ἐοικώς· πλείστοις δὲ τὸν Ἀμφιτρυῶνος Ἡρακλέα τιμῶσιν Ἕλληνες ἄθλοις, πολὺν ἀγῶ-

νια περὶ τὰ τοιαῦτα τιθέμενοι καὶ σπουδήν· διὸ τὴν τῶν ἀνθρώπων εὐτέλειαν ὁ θεῖος Γρηγόριος ἀποδύσασθαι βουλόμενος, ἐκ τῶν κατὰ τὸν βίον λαμπρῶν τὸν λόγον πιστοποιεῖται· καὶ γὰρ καὶ εἴ τινες φησὶ πατὴρ τοιοῦτοι γεγόνασι κατὰ τὸν βίον, ἀλλὰ γοῦν ἐπαύθησαν καὶ τοῖς ἀνθίτοις παρισώθησαν κτήνεσιν, ἐκριμήθησαν γὰρ καὶ οὐκ ἀναστήσονται· ὥστε τὴν ἀρετὴν ἀοίδιμον κλέος κτῆμα διαιωνίζον, εἴ τις ἥρατο τῶν ἐκ γῆς διαπλασθέντων, ἐπίδοξος καὶ ζηλωτὸς τοῖς εὐρανίοις· εἰ δέ τις καὶ παρὰ τῇ θείᾳ γραφῇ τοιαῦτα λέγει γεγράφθαι, σκοπείτω ὅτι εἰς δόξαν θεοῦ ταῦτα γεγράφασιν οἱ ἅγιοι· ἢ γὰρ ναζωραίους εὑρήσει τοὺς τοιούτους κεκλημένους ὡς τὸν ἀριστέα Σαμψών, ἢ θεόθεν κινουμένους ὡς Δαβὶδ γυμναῖς ταῖς χερσὶ συμπλεκόμενος ὑπὲρ τοῦ εἰς θεὸν ὀνειδισμοῦ· καὶ ὅσα τοιαῦτα πρὸς δόξαν εὖρας τοῦ θεοῦ γεγραμμένα.

ΛΟΓΟΣ Θ.

ΕΙΣ ΕΜΑΥΤΟΝ ΚΑΙ ΤΑΣ ΚΑΚΟΠΑΘΕΙΑΣ.

Ed. carm. VII.

Ἦ ῥα μ' ὁ λυσσώδης καὶ βάσκανος εἰά τιν' Ἰὼβ, 14.
Ἐς δῆριν καλέει, σὺ δ' ἀλείφατι σόν με παλαιστὴν 15.
Τρίψας εὖ τε πάριθεν μέγαν γυμνοῖς πρὸς ἀγῶνα. 16.
Ὥς κεν ἀεθλεύσαντι γέρας καὶ κῦδος ὀπάσσῃς 17.

Τῆς κατὰ τὸν Ἰὼβ πολλαχοῦ μεμνήμεθα ἱστορίας, ὅτι τοῦτον ἐξαιτήσας εἰς πειρασμὸν ὁ διάβολος, προσβαλὼν αὐτῷ πολυτρόπως, αὐτὸν μὲν οὐ κατήγαγεν, ἑαυτὸν δὲ μετ' ἦχου ἔπτωσε καὶ τῆς νίκης ἐκείνῳ περιφανέστερον γέγονε τὸ ἀγώνισμα· διπλοῦς αὐτὸν τοῦ θεοῦ τιμήσαντος, τοῖς εἷς περ αὐτὸν καταγωνίσασθαι προσεδόκησεν ὁ ἀντίπαλος.

ΛΟΓΟΣ Ι.

Ed. carm. VIII.

ΕΙΣ ΕΜΑΥΤΟΝ.

28. Ἐν δὲ τόδ' αἰάζω καὶ δείδια βῆμα Θεοῖο,

29. Καὶ ποταμοὺς πυρόεντας ἀφεγγέα τ' αἰνὰ βέρεθρα.

Πάντων ἀνάστασιν ἔσεσθαι δικαίων τε καὶ ἀδίκων, καὶ τῶν ἐνθάδε βεβιωμένων ἀνταπόδοσιν, ἡ Θεόπνευστος πιστεῦται γραφή· ποταμοὺς δὲ πυρὸς ἕλκειν λέγεται κατὰ πρόσωπον τοῦ Θεοῦ ὥς φησι Δανιὴλ, καὶ ποταμὸς πυρὸς εἵλκεν ἔμπροσθεν αὐτοῦ· ἀφεγγῆ δὲ φησὶ τὰ τοῦ ᾅδου κατώτατα· ᾅδης δὲ λέγεται τόπος ἀειθὴς κατ' ἐπωνυμίαν κεκλημένος, ὃν καὶ Θεὸν ἕλληνες ὑπετόπασαν· Ὅμηρος γὰρ τοῖς ἕλλησι κατὰ τὸ Ἴλιον μαχομένοις, Ποσειδῶνα μυθεύεται διαλεγόμενον παρεισάγων, καὶ βαρέως φέρειν τῆς ὑπὲρ τῶν τρώων τοῦ Διὸς εὐεργεσίας ἕνεκα· λέγοντα τύραννον εἶναι τὸν Δία, ἔτι κατασχεῖν θαλάσσης καὶ τῶν καταχθονίων ἀμιλλώμενον· ὅτι Κρόνος φησὶ Διΐ καὶ Ποσειδῶνι καὶ Ἅδῃ τοῖς τρισὶν υἱοῖς τῆς ὑπ' οὐρανὸν βασιλεύειν προσέταξε· τὸ μὲν Διΐ γῆς καὶ τῶν ἐν αὐτῇ βασιλεύειν καὶ ἀέρος τὸ κράτος ἀπένειμεν, ἐμοὶ τε λέγων τῶν ἐν ὕδασι πάντων, Ἅδῃ δὲ τῶν ὑπὸ χθόνα καὶ νεκρῶν ἐμβασιλεύειν· ἀλλ' ἐκεῖνοι μὲν ταῦτα ληρεῖτωσαν· Γρηγόριος δὲ ὁ Θεῖος ἀφεγγῆ βάραθρα φησὶ, τὸ σκότος τὸ ἐξώτερον, ὃ τοῖς ἀπίστοις σὺν τῷ διαβόλῳ κατὰ τὴν Θείαν ἀπόφασιν ἑξητοίμασται.

ΛΟΓΟΣ ΙΑ.

ΕΙΣ ΤΗΝ ΕΚΚΛΗΣΙΑΝ ΑΝΑΣΤΑΣΙΑΝ. Ed. carm. IX.

Ἀλλ' οὐ τόσσος ἐμεῖ γε πάλος καὶ ἄλγος ἐκείνων 61.

Ὅσσος Ἀναστασίης Βηθλεὲμ ὑστατίης. 62.

Χριστοφόρος ἡ Βηθλεὲμ· ἐν ταύτῃ γὰρ ὁ σωτὴρ ἐτέχθη· πόλις δὲ ἡ Βηθλεὲμ τοῦ Δαβίδ· Δαβὶδ δὲ Χριστοῦ πατὴρ λέγεται κατὰ σάρκα· Βηθλεὲμ δὲ νέαν, τὴν Ἀναστασίαν Γρηγόριος καλεῖ, ἐν ταύτῃ γὰρ τὸν λόγον ταῖς τεθνηκυίαις ἐγέννησε ψυχαῖς· ταύτην μικρὰν οὖσαν τὴν ἐκκλησίαν, ἐν ᾗ βραχεῖς συναθροιζομένους καὶ λίαν σπανίους τῶν ὀρθοδόξων εὑρηκὼς, ἦν γὰρ ἡ τῶν ἀρειανῶν δυσσεβὴς τὸ τηνικαῦτα πάντων αἵρεσις κατακρατοῦσα, διδάξας ηὔξησε, καὶ πάντα τὰ πλήθη τὰ τὴν βασιλίδα οἰκοῦντα πόλιν . . . .

Desideratur in codice folium unum, id est paginae duae.

ΛΟΓΟΣ ΙΒ.

. . [νε]φέλης χωρῆσαι προσέταξε καὶ φωνῆς ἀκοῦσαι θεοῦ, καὶ ὡς ἀνθρώπῳ θεάσασθαι δυνατὸν ἦν· τοὺς δὲ λοιποὺς ἅπαντας ὑπὸ τὸ ὄρος προσμένειν, ἁγνοὺς μὲν ἀπὸ κοίτης γυναικῶν, ἐν ἱματίοις καθαροῖς, ἐῤῥαντισμένους τὸ σῶμα ὕδατι καθαρῷ, καὶ τῆς θείας φωνῆς μόνον ἀκούειν· κἂν θηρίον δὲ θίγῃ τοῦ ὄρους καταλιθοβοληθήσεται· ταύτην δὲ Γρηγόριος τὴν ἱστορίαν παρεισάγει, τὴν τινῶν ἀποτρέπων αὐθάδειαν ὡς ἀναξίως τοῖς ἱεροῖς προσέρχονται, οὐδὲν τῶν ἱερωσύνης ἐπιτηδείων κεκτημένοι, μόνης δὲ χάριν καταλαζονευόμενοι κενοδοξίας. Ed. carm. XI.

124. Δείδια δ' αὖ παίδων Ἀαρὼν μόρον εἴ ῥα Θυηλὰς
125. Θέντες ἐπὶ ξείνοιο πυρὸς, ξείνως καὶ ἕλοντο.

Τὴν σκηνὴν τοῦ μαρτυρίου προστάξας ὁ Θεὸς Μωσεῖ κατασκευάσαι, καὶ τὸν Ἀαρὼν ἱερατεύειν αὐτῷ ἐκλεξάμενος, ὅπως χρὴ θύειν προσετάξε· τῶν δὲ θυσιῶν τελεσιουργουμένων, ἦν ὅτε πῦρ ἐξήρχετο καὶ ταύτας αὐτομάτως κατήσθιε· ποτὲ γοῦν πυρὸς ἀναδοθέντος ἐκ τοῦ θυσιαστηρίου, λαβόντες Ναδὰβ καὶ Ἀβιοὺδ οἱ τοῦ Ἀαρὼν παῖδες καὶ ἱερεῖς τὰ πυρεῖα, προσήγαγον πῦρ ἀλλότριον ἐνώπιον κυρίου· ὠργίσθη δὲ κύριος τοῖς παιδαρίοις ὅτι πῦρ ἀλλότριον προσεκόμισαν, καὶ ἐπαφῆκεν αὐτοῖς ἐν τῇ σκηνῇ πῦρ παρὰ κυρίου καὶ ἀνήλωσεν αὐτοὺς παραχρῆμα· τῷ δὲ Ἀαρὼν ἐν τῷ τῆς ἀρχιερωσύνης ἔτι χρίσματι ὄντι, μὴ πενθῆσαι τὸν ἐμπυρισμὸν τῶν υἱῶν αὐτοῦ προσέταξεν ὁ Θεὸς, μήτε τῆς σκηνῆς ἐξιέναι, μήτε μὴν τὴν κεφαλὴν ἀποκιδαρῶσαι.

128. Ὡς δὲ καὶ Ἠλείδῃσιν ἐπέχραε λυγρὸς ὄλεθρος,
129. Ἠλείδαις ὅτι μάργον ἔχον νόον· ἦ γὰρ ἔβαλλον
130. Οὐχ' ἱερὰς παλάμας ἱερῶν καθύπερθε λεβήτων.

Τῶν υἱῶν Ἠλεὶ καὶ ἀλλαχοῦ μεμνήμεθα ἐν τῷ α΄ λόγῳ· Ὀφνεὶ δὲ καὶ Φινεὲς ὄνομα τούτοις· οὗτοι δὲ λαίμαργοι ὄντες, τὴν θυσίαν ἐνύβριζον τοῦ θεοῦ, τὴν ἀπαρχὴν ἁρπάζοντες· διὸ καὶ χαλεπῆς τελευτῆς ἔτυχον· οὐχ' ὁσίας γὰρ ἔβαλλον χεῖρας ὑπεράνω τῶν ἱερῶν λεβήτων.

131. Οὐδὲ μὲν οὐδὲ Ἠλεὶ χόλον ἔκφυγεν, ἀλλὰ καὶ αὐτὸν
132. Οὐχ' ὁσίη γαστὴρ παίδων ἐχάλεψε δίκαιον,
133. Καί περ ἀεὶ βρίσαντα ὀνειδείοις ἐπέεσσιν.

Πολλάκις τοὺς υἱοὺς ὠνείδιζεν ὁ Ἠλεὶ, ἁμαρτάνειν εἰς Θεὸν παραινῶν αὐτοῖς· ἀλλ' ὅτι τὸν ζῆλον οὐ πρεπόντως διεξήγαγεν, οὐ φείσεται γάρ φησι ὁ Θεὸς ὁ ὀφθαλμός σου

ἐπὶ τῷ υἱῷ σου τῷ ἀποστατοῦντι Θεοῦ, τούτου χάριν καὶ αὐτὸς ἱερεύς τε ὢν καὶ ταῖς ἄλλαις διαπρέπων ἀρεταῖς, ὅμως τὴν ὀργὴν οὐκ ἐξέφυγεν, ἀλλ' οἰκτρὸν ἔλαχε τέλος, τῆς ἁμαρτίας αὐτὸν τῶν παιδαρίων ἐπικαταλαβούσης· ὅτι, φησὶν αὐτῷ ὁ Θεὸς, τοὺς υἱούς σου ἐδόξασας ὑπὲρ ἐμὲ, ἀπαρχὴν Ἰσραὴλ καὶ θυσίαν ἁγιάζεσθαι ἀναιδεῖ ὀφθαλμῷ.

Καὶ σὲ κιβωτὸν ἄνασσαν ὃς ἥδρασε χειρὶ βεβήλῳ 136.
Κλινομένην, θάνεν αἶψα. 137.

Δαβὶδ ὁ βασιλεὺς τὴν κιβωτὸν διαθήκης κυρίου ἀναγαγὼν ἐξ οἴκου Ἀβεδδαρᾶ ἐξ ἀγροῦ εἰς πόλιν Δαβὶδ Σιὼν λεγομένην, θυσίας καὶ χαρμοσύνην ἐπιτελῶν, ὠρχεῖτο κατὰ πρόσωπον τῆς κιβωτοῦ διαθήκης κυρίου καὶ ἔπαιζε· τότε δὴ συστραφεῖσαν ἐπὶ τὴν ἅμαξαν τὴν κιβωτὸν καὶ κεκλιμένην, Ὀζᾶς ὁ τοῦ Ἀμιναδὰβ ἐπελάβετο τοῦ ἀνορθῶσαι· ὠργίσθη δὲ κύριος καὶ ἔπαισεν αὐτὸν ἐκεῖ καὶ ἀπέθανεν ἐνώπιον τῆς κιβωτοῦ παραχρῆμα· οὐ γὰρ ἤρεσε τῷ Θεῷ τὴν κιβωτὸν διαθήκης κυρίου ὑπὸ Ὀζᾶ ἀνορθωθῆναι, ἐπεὶ μήτε ἱερεὺς ἦν μήτε λευίτης, οἷς μόνοις τοῦτο ποιεῖν καὶ λειτουργεῖν κατὰ πρόσωπον τῆς κιβωτοῦ διαθήκης Θεοῦ Ἰσραήλ.

Θεοῦ δέ τε νηὸν ἔθηκεν, 137.
Ἄψυχον παλάμῃσιν, ἐρείσματα τάκτόθι τοίχων. 138.

Ἐπειδὴ πρώτη σκηνὴ καὶ δευτέρα ἦν, ἡ μὲν βατὴ πᾶσιν, ἡ δὲ μόνῳ τῷ ἀρχιερεῖ καὶ ἅπαξ κατ' ἐνιαυτὸν, ἥ τις ἅγια ἁγίων ἐλέγετο, χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ· ἐν ᾗ σάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης· ὡσαύτως ὁ τοῦ Σολομῶντος ναὸς, ἄψυχος ἦν τοῖς πολλοῖς τὰ

ἐντὸς, ὅπου ἦν ἡ κιβωτὸς καὶ τὸ θυσιαστήριον καὶ δύο χερουβὶμ ἐκ χρυσίου.

150. Ὡς ὄφελον γεθθαίαν ἀναπλήσαιεν ἀνίην,
151. Ἔνδικον ἐδρήεσσαν ἐφ' ἕδρῃ τίσιν ἔχοντες.

Ὅτε τοῖς ἀλλοφύλοις ἁλοὺς ἡ κιβωτὸς γέγονε διαθήκης κυρίου, ὡς ἐν τῷ πρώτῳ λόγῳ παρεθέμεθα τῆς κατὰ τοὺς παῖδας Ἠλεὶ τοῦ ἱερέως ἱστορίας μεμνημένοι, τότε δὴ πρὸς τοῖς σφῶν εἰδώλοις καταφρονητικῶς ἔχοντες, παραρρίπτουσι· Δαγὼν δὲ τῷ θεῷ αὐτῶν ὄνομα· ἔωθεν οὖν ἀναστάντες οἱ ἀλλόφυλοι, τὸν θεὸν αὐτῶν Δαγὼν ἐπὶ πρόσωπον εὗρον πεπτωκότα ἐνώπιον τῆς κιβωτοῦ, καὶ τὴν τούτου κεφαλὴν ἀφῃρημένην, τά τε ἴχνη τῶν χειρῶν καὶ τῶν ποδῶν διῃρημένα· ἀνορθώσαντες δὲ αὐτὸν, καὶ αὖθις ἀτίμως εὑρόντες πεπτωκότα, τὴν κιβωτὸν ἀπάγουσιν εἰς Γὲθ· τῶν σατραπιῶν δὲ αὐτῶν ἐξαιρέτως ἡ Γὲθ· γενομένης ἐκεῖσε δὲ τῆς κιβωτοῦ, θάνατος κατενέμετο αὐτούς· ὡσαύτως ἐν διαφόροις διακριζομένη τόποις, τοὺς ἀλλοφύλους ἐβασάνιζε· φλυκτίδες οὖν ἐν ταῖς ἕδραις αὐτῶν ἀνέβαινον καὶ ἐλύπευν αὐτοὺς ἱκανῶς· τότε δὴ μὴ φέροντες τῆς κιβωτοῦ τὰς βασάνους, βουλεύονται τῆς γῆς αὐτῶν ταύτην ἐξαποστεῖλαι πρὸς γῆν Ἰσραὴλ· ὡς ἂν δὲ γνεῖεν εἰ δι' αὐτὴν αὐτοῖς ἡ βάσανος γέγονε καὶ ὁ λοιμὸς, μυίας χρυσοῦς καὶ ἕδρας κατὰ τῆς σατραπίας αὐτῶν ποιήσαντες, τῇ κιβωτῷ προσφέρουσιν εἰς τιμὴν τῆς βασάνου· δύο δὲ νομάδας πρωτοτοκούσας βόας ἕλκειν τὴν ἅμαξαν τῆς κιβωτοῦ ζεύξαντες, εἰ μὴ ἐπιστρέφοιντο πρὸς τὰ οἰκεῖα τέκνα ἀλλ' ἐξ εὐθείας τὴν ἐπὶ τὴν ἰσραηλίτιδα γῆν βαδίζοιεν τρίβον, αὐτῆς χάριν ἔσεσθαι τὴν ἐπὶ ταῖς ἕδραις αὐτῶν τιμωρίαν ἐτεκμήραντο· τούτου δὲ γενομένου, εἵλκον ἐξ εὐθείας τὴν ἅμαξαν,

μὴ ἐπιστρεφόμενοι πρὸς τὰ τίνα, ἀλλ' ὡς ἄγοντος ἀγόμενοι προθυμότατα· οὕτω τὴν κιβωτὸν τῆς ἰδίας ἀπικαστήσαντες τέφρας, μετὰ καὶ τῆς βασάνου ἀβλαβεῖς τὸ λειπὸν διέμενον καὶ ἀτιμώρητοι· φησὶν οὖν ὁ θεῖος Γρηγόριος ὅτι τῆς καταφρονηταῖς τῶν θείων, καὶ ἀναξίως ἱερωμένοις, αἴθε βάσανος γεθναία ὑπήρχθη, καὶ τίσις ἐμπικὴ ἐγ' ἕδρας ἐτιμωρήσατο.

Πέτρῳ δ' ἴσα φέροιτο θεσπέσιος ἰσκαριώτης, 177.
Καὶ Σελύμοις ἱεροῖσιν ἀλιτροτάτη Σαμάρεια. 178.

Ταῦτα πρὸς σύγκρισιν ὁ θεῖος Γρηγόριος παρεισάγει, διὰ τοὺς αὐτομελοῦντας τοῖς ἱεροῖς ἀξιώμασιν· ἀεὶ γὰρ τῶν θεοειδεστέρων εὐλαβουμένων, οἱ μᾶλλον κακοηθέστεροι τῶν ἱερῶν κατερχοῦνται· κατὰ γοῦν τὴν παρ' ἐκείνοις κρατήσασαν ἄνοιαν, ἴσως γένοιτ' ἂν ὅστις ὡς Ἰούδας κακότροπος τῷ κατὰ Πέτρον θεοειδεῖ τὴν ἀρετὴν, ὡσαύτως τῇ φιλοθέῳ ψυχῇ καὶ τῇ Ἱερουσαλὴμ ἀπεικαζομένη ἡ βέβηλος καὶ τῇ πόρνῃ Σαμαρείᾳ ἐξομοιουμένη· Σαμάρειαν γὰρ ἀντὶ τῆς Ἱερουσαλὴμ λατρεύεσθαι Ἱεροβοὰμ ὁ τοῦ Ναβὰτ παρεσκεύασε, πρῶτος αὐτὸς ἐξαμαρτῶν τὸν Ἰσραήλ.

Κεῖται ἐν τῷ γ' λόγῳ.

Ἦν δ' ὅτε μωαβίταις ναὸς μέγας οὐ βατὸς ἦεν, 184.
Οὐδὲ μὲν Ἀμμανίτῃσιν ἐπὶ στρατὸν ἤκαχον ἠΰν. 185.

Τοῦ Ἰσραὴλ τὴν μωαβίτιδα γῆν ἐξ Αἰγύπτου παριόντος, Βαλὰκ ὁ τοῦ Βεὼρ βασιλεὺς ὑπάρχων Μωὰβ, τὸν Βαλαὰμ μεταπέμπεται, νεκρομάντης δὲ οὗτος, εἰς τὸ καταράσασθαι τὸν Ἰσραὴλ παρὰ τὴν μωαβίτιν παρεμβεβληκότα· τοῦ δὲ παραιτησαμένου, ὁ Βαλαὰκ καὶ αὖθις δώρεις αὐτὸν τιμήσειν ἐπαγγειλάμενος, ἔπεισε πορευθῆναι· κατὰ δὲ τὴν ὁδὸν ἄγγελος θεοῦ ἐπισὰς μετὰ ῥομφαίας, ἀνε-

λεῖν αὐτὸν ἐπειρᾶτο· τὸ μὲν οὖν ὑποζύγιον ἐξέκλινε τῆς ὁδοῦ, καὶ γὰρ ἔβλεπεν, αὐτὸς δὲ οὐχ ἑώρα· τυπτήσας οὖν τὴν ὄνον εἵλκεν ἐπ' εὐθείας· ὡς δὲ μικρὸν προήει, πάλιν ἐξέκλινε τῆς ὁδοῦ, καὶ Βαλαὰμ ἔπαισεν αὐτὴν τὸ δεύτερον· ἐλθοῦσι δὲ κατά τινα τόπον ἔνθα οὐκ ἦν ἐκκλίναι, πάλιν τὸν ἄγγελον ἡ ὄνος θεασαμένη, καὶ μὴ ἔχουσα πῆ ἐκκλίνει, κατὰ τῶν τοίχων ἀπέκνισε τοῦ Βαλαὰμ τὰς κνήμας· ὁ δὲ ὀργισθεὶς, ἔπαισεν αὐτὴν τῇ μάστιγι μετὰ θυμοῦ· ἡ δὲ ὄνος ἀνοίξασα τὸ στόμα αὐτῆς ἀνθρωπίνῃ φωνῇ πρὸς αὐτὸν, τί φησιν ἔπαισάς με τοῦτο τρίτον; ὅτι τῆς ὁδοῦ ἐξέκλινας, ὁ Βαλαὰμ ἀπεκρίνατο, καὶ εἰ μάχαιρα ἦν μοι, τάχα ἂν ἐξεκέντησά σε· καὶ ἡ ὄνος φησὶν· οὐχὶ ἐκ νεότητός σου ὑποζύγιον εἰμί σου καὶ ἐπ' ἐμὲ ἐπιβέβηκας, μὴ ποτὲ σοὶ τοῦτο πεποίηκα; καὶ νῦν ἰδοὺ ἄγγελος κυρίου κατὰ τὴν ὁδὸν ἕσπασται ῥομφαίαν ἀνελεῖν σε τοῦτο τρίτον, εἰ μὴ ἐξέκλινα τῆς ὁδοῦ· καὶ διανοιχθέντων αὐτοῦ τῶν ὀφθαλθαλμῶν, εἶδε τὸν ἄγγελον, καὶ σπεύσας προσεκύνησε· καὶ ὁ ἄγγελος, εἰ μὴ φησὶν ἐξέκλινεν ἡ ὄνος, ἄρα ἂν ἀπέκτανκά σε· καὶ νῦν πορεύου καὶ μὴ καταράσῃ τὸν Ἰσραὴλ, ὅτι εὐλογημένος ἐστὶ· πορευθεὶς δὲ πρὸς Βαλὰκ καὶ μᾶλλον εὐλογήσας ἢ καταρασάμενος τὸν Ἰσραὴλ, θυμωθέντα τὸν Βαλὰκ ἐπ' αὐτῷ καὶ συμβουλεῦσαι κατὰ τοῦ λαοῦ τί προτρεπόμενον, ὁ Βαλαὰμ φησὶ, ὅτι ἔστιν ὁ θεὸς αὐτῶν δίκαιος μισῶν ἀνομίαν· ὑμεῖς οὖν τὰς θυγατέρας ὑμῶν καλλωπίσαντες, ἀπολύσατε τῷ λαῷ· εἰ δὲ ἐκπορνεύσουσιν αὐτὰς καὶ ἐκκλίνουσι τοῦ θεοῦ αὐτῶν, αὐτὸς δὲ θανατώσει αὐτοὺς, ὅτι ἔθνος οὐκ ἰσχύει πρὸς αὐτοὺς ἐπὶ τῆς γῆς· ὁ μὲν οὖν ταῦτα εἶπε· Βαλαὰκ δὲ ταῦτα πεποίηκεν· ὁ δὲ λαὸς ἐξεχύθη πρὸς τὰς θυγατέρας Μωὰβ καὶ ἐξεπόρνευον εἰς αὐ-

τὰς, καὶ ἐτελέσθησαν τῷ Βεελφεγώρ· ἀνήρθη οὖν ἡ ὀργὴ, καὶ ἦν θάνατος ἐπὶ τὸν λαόν· ἕως Φινιὲς ὁ τοῦ Ἀαρὼν ἱερεὺς ἔστη, καὶ ἐξιλάσατο διελὼν τὸν ἰσραηλίτην καὶ τὴν μαδιανίτιν ἐν τῷ σειρομάζῃ, καὶ ἐκόπασεν ἡ θραῦσις· Μωϋσῆς οὖν φησὶν ἐχθρανεῖτε τοῖς μωαβίταις· καὶ τῷ Μωϋσῇ φησὶν, ὁ θεὸς ἐκδίκησον τὴν ἐκδίκησίν μου ἀπὸ Μαδιὰμ καὶ Βαλαὰμ, καὶ τότε προστεθήσῃ πρὸς τοὺς πατέρας σου· οἱ δὲ Ἀμμανῖται τοῦ λαοῦ Ἰσραὴλ ἐκ Βαβυλῶνος μετὰ τὴν αἰχμαλωσίαν ἐπανελθόντος καὶ τὸν ναὸν οἰκοδομοῦντος, ἐν Ἱερουσαλὴμ ἐπέβαινον καὶ διήρπαζον αὐτοὺς καὶ ἀνήρουν σόματι ξίφους καὶ διεκώλυον τῆς ἐργασίας αὐτοὺς ἀνακόπτοντες, ἕως ξιφήρεις καὶ αὐτοὶ εἱστήκεισαν ἐργαζόμενοι· ἡνίκα δὲ παρεγένοντο πολεμεῖν, τὴν μὲν οἰκοδομὴν κατελίμπανον, ἀντιπαρετάττοντο δὲ τοῖς Ἀμμανίταις εἰς πόλεμον· Μωαβῖται φησὶν οὖν ἡ γραφὴ καὶ Ἀμμανῖται, οὐκ εἰσελεύσονται εἰς ἐκκλησίαν θεοῦ· ἔστι δὲ καὶ ἡ γέννησις αὐτῶν ἀθέμιτος· αἱ γὰρ θυγατέρες Λὼτ οἴνῳ τὸν πατέρα μεθύσασαι, εἰσῆλθον πρὸς αὐτὸν καὶ συνέλαβον ἐξ αὐτοῦ· καὶ ἡ μὲν πρεσβυτέρα ἔτεκε τὸν Μωὰβ, οὗτος ἐστὶ πατὴρ Μωαβιτῶν· ἡ δὲ νεωτέρα τὸν Ἀμμᾶν ἔτεκεν, οὗτος ἐστὶ πατὴρ Ἀμμανιτῶν· φησὶν οὖν ὁ θεῖος Γρηγόριος, ὅτι Μωαβίταις καὶ Ἀμμανίταις τὸ θεῖον ἄβατον ἐστὶ θυσιαστήριον, τοῦτ' ἔστι τοῖς βεβήλοις καὶ ἀθεμίτοις.

Ἄλλους δ' ὑδροφόρεσιν ἐνηρίθμησεν Ἰησοῦς, 186.
Καὶ ξυλοφορτήγεσιν, ἐπεί ῥά μιν ἔξοχα * φῆσαν. 187.

* ita cod.

Πόλις ἐστὶ Γαβαὼν, τῆς Ἱερουσαλὴμ ὡσεὶ δέκα σημείων διεστηκυῖα, ἣν τινα κατῴκει τὸ ἔθνος τῶν Χαναναίων· οἱ οὖν Γαβαωνῖται ὡς ἔγνωσαν τοὺς υἱοὺς Ἰσραὴλ τῆς Ἰεριχῶ καὶ τῶν σύνεγγυς πόλεων κεκρατηκότας, ἦλ-

ὃν πρὸς Ἰησοῦν τὸν τοῦ Ναυῆ περιεσχισμένους ἐνδεδυμένοι χιτῶνας, καὶ παλαιὰ περιβόλαια καὶ διερρωγότας ἀσκοὺς ἐπιφερόμενοι, καὶ ἄρτους εὐρωτιῶντας, καὶ σανδάλια πεπαλαιωμένα ἐνδεδυμένοι, ὡς ἀπὸ γῆς μακρόθεν ἐληλυθότες, καὶ προσελάλουν τὰ εἰς εἰρήνην· ἀπατήσαντες δὲ τὸν Ἰησοῦν τῆς τε φαινομένοις καὶ τῆς λεγομένοις ὑπὲρ ἑαυτῶν καὶ τῆς ἰδίας πατρίδος, διαθέσθαι αὐτοὺς παρεσκεύασαν· γνοὺς δὲ Ἰησοῦς μετὰ ταῦτα, καὶ τὸν ὅρκον μὴ δυνάμενος ἀθετῆσαι, ξυλοφόρους καὶ ὑδροφόρους τοῦ λαοῦ τοὺς Γαβαωνίτας ἔταξε, καὶ ἐβούλευεν ἐν τούτοις τῷ Ἰσραὴλ πάσας τὰς ἡμέρας Ἰησοῦ.

188. Λύει δὲ γόνον μεγάλοιο γερῆραν,
189. Σκηνῆς γάρ μιν ἔθηκεν ἐπουρανίης θεράποντα·
190. Κἀνθάδ' ὄρει θυέων τε καὶ εὐδέος ἠδὲ πόνοιο·
191. Ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ χέρας εἶχεν ἐπ' ἔργοις,
192. Ὅσσα γε ἦν νηοῖο, καὶ ἔκτοθεν ἐγκονέοντες.

Τὴν Λευὶ φυλὴν ὁ θεὸς εἰς λειτουργίαν ἑαυτῷ ἐξελέξατο· καὶ πᾶσαν μὲν αὐτοῖς τῶν θυσιῶν καὶ τῆς σκηνῆς τὴν λειτουργίαν τοῖς λευίταις ἐπένειμε, κληρονομίαν δὲ ἐν Ἰσραὴλ οὐκ ἔδωκεν αὐτοῖς, ἢ μόνον δεκάτας ἐκ πάντων τῶν ὑπαρχόντων τῷ λαῷ· οἱ οὖν λευῖται τάς τε θυσίας ἤσθιον τοῦ Ἰσραὴλ καὶ τὰς δεκάτας ἐκομίζοντο· ἑκάστη δὲ τῶν λευϊτῶν πατριὰ λειτουργίαν ἀφωρισμένην εἶχεν ἐν τῇ σκηνῇ· οἱ μὲν γὰρ ἦσαν ἱερεῖς οἱ κατὰ τὸν Ἀαρὼν οἳ καὶ δεκατῶν δεκάτας ἐκομίζοντο· οὗτοι δὲ τὰς περὶ τὸ θυσιαστήριον ἔλαχον λειτουργίας, ὅσα τε τῆς σκηνῆς ἐντιμότερα, καὶ τὴν κιβωτὸν οὗτοι κατεῖχον· ἄλλοι τὰς θέρρεις καὶ τοὺς μοχλούς, ἕτεροι δὲ τὰς ἐπαυστρίδας καὶ θυΐσκας· οἱ δὲ τὰ πυρεῖα καὶ τὰς μαχαίρας, καὶ ὅσα σκεύη τῆς λει-

τυργίας καὶ τῆς σπυρίδος· ἕκαστος δὲ φυλάττων τὴν ἰδίαν ἐστιγίνωσκε τάξιν· ταῦτα δὲ φησὶν ὁ θεῖος Γρηγόριος, τῆς τότε καταβοῶν ἀταξίας· οὐ γὰρ διάκρισις ἦν τῶν καιρῶν, ἀλλὰ τῷ βουλομένῳ τὰ τῆς ἱερωσύνης εὐχείρωτα ἦν· καὶ τοῖς λευΐταις τὴν ἀρετὴν, οὐδὲν πλέον ὑπῆρχε τῶν δουλοτρόπων Γαβαωνιτῶν.

Ζητῶ Νῶε κιβωτὸν, ὅπως μόρον λυγρὸν ἀλύξω. 206.

Κεῖται ἐν τῷ β΄ λόγῳ.

Καὶ Σοδόμων πυρόεντα πικρὸν καὶ ἀθέσφατον ὄμβρον. 208.

Κεῖται ἐν τῷ α΄ λόγῳ.

ΛΟΓΟΣ ΙΓ.

ΕΙΣ ΕΠΙΣΚΟΠΟΥΣ. Ed. carm. XII.

Οὐ γὰρ ἰῆς γενόμην μοίρης θρασὺς ἀσπιδιώτης. 19.

Ὅμηρος ὁ ποιητὴς τὸν Ἄρεα λέγων ἔφορον τοῦ πολέμου, μυθεύεται τί τοιοῦτον· ὅτι τὸν Τυδέως Διομήδην Παλλὰς Ἀθηνᾶ καθοπλίζουσα, Διὸς δὲ θυγάτηρ αὕτη καὶ πολεμικωτάτη, παρώτρυνε κατὰ τοῦ Ἄρεως· οὗτος γὰρ Ἕκτορι τῷ Πριαμίδῃ συμπαρὼν κατὰ τὴν μάχην, πολλὴν δόξαν παρεῖχε, καταπληκτικὸν αὐτὸν δεικνὺς τοῖς πολεμίοις· Παλλὰς οὖν, ἡ καὶ Ἀθηνᾶ, Διομήδην ἐπελθεῖν τῷ Ἄρεϊ παροτρύνει, μήτε αἰδεῖ τὸν Ἄρεα κατευλαβηθῆναι, κἂν ὅτι θεὸς οὗτος καὶ ἀνδροφόνος· προσεγγίσαντι δὲ τούτῳ καὶ Διομήδην ἀνελεῖν προθυμουμένῳ, τὸ βέλος ἡ Παλλὰς ἐπέσχε, κενὸν ἀποστρέψασα· Διομήδης δὲ κατὰ τοῦ Ἄρεως ἐνέγκας τὸ δόρυ, ἔτρωσε τῆς λαγόνος ἔνθα ζωννύται κατὰ τὸ ἔσχατον· ὁ δὲ μέγα φησὶν ἤχησεν ὡσεὶ χιλιάδας ἐννέα ἢ δέκα φωνῆσαι, πάντας δὲ φόβος συνέσχεν Ἄρεος ἀνακεκραγότος·

ταχυτάτοις ἅρμασι δὲ νεφῶν εἰς ὄλυμπον ἀνελθών, τῷ πατρὶ Διὶ τὰ κατὰ τῆς Ἀθηνᾶς διελέγετο, ὡς ὑπερήφανον καὶ θρασὺν ἄνδρα τοῖς ἀθανάτοις μάχεσθαι θεῖς παροτρύνει, καὶ γὰρ ἔτρωσε φησὶ καὶ Ἀφροδίτην τῷ καρπῷ τῆς χειρὸς, ὡς δὲ κἀμὲ· μικροῦ γὰρ ἢ ταῖς δειναῖς ἐνηριθμήθην τάξεσι τῶν νεκρῶν διαφωνήσας, ἢ ζῶν ἀσθενὴς ἐκείμην τοῖς μέλεσι· Ζεὺς δὲ βλοσσυρὸν Ἄρει προσεσχηκὼς, μέμψεις ἐπήγαγεν, ἀνθροφόνον αὐτὸν καὶ φιλοπόλεμον καλέσας, τόν τε θυμὸν ἐοικότα καὶ τὴν θρασύτητα τῇ τεκούσῃ αὐτὸν Ἥρᾳ, παλίνβολόν τε καὶ μιᾶς ἀσπιδιώτην μοίρας ἀποκαλέσας· Γρηγόριος τοίνυν ὁ θεολόγος, ὡς οὐδὲν Χριστοῦ προτιμότερον ἡγεῖται βουλόμενος ἀποδεῖξαι, τούτων ἐκ μεταφορᾶς μέμνηται· οὐ γὰρ φησὶ μιᾶς μοίρας τῆς μὴ πρὸς θεὸν ἀφορώσης θρασὺς ὑπέρμαχος γέγονα· ταῦτα μοι φίλος φησὶν οὐ φρονοῦσιν οἱ κριταὶ, ἁμαρτίαν δὲ λογίζονται τὸ μὴ κατ' ἰσότητα πάντων ἁμαρτεῖν, καὶ τοῖς καιροῖς ἐπίῤῥοπον ἔχειν με τὴν ψυχήν.

25. Ἀλλὰ τὰ μὲν λήθης κεύθει βυθός.

Μῦθος καὶ οὗτος ἐστὶ τῆς λήθης ὁ βυθὸς παρ' ἕλλησι πρεσβευόμενος· οἱ μὲν γὰρ λήθης καλοῦσι βυθὸν, οἱ δὲ σιγῆς, ὡς Μαρκίων καὶ Μάνης· Πυθαγόρας δὲ καὶ Πλάτων, οἷς ἠκολούθησεν Ὠριγένης, προϋπάρχειν λέγουσι τὰς ψυχὰς τῶν σωμάτων, ἀπὸ δὲ τῶν κρειττόνων εἰς τὸ χεῖρον κατενεχθῆναι· τὸ γὰρ σῶμα δεσμὸν εἶναι λέγουσι καὶ φυλακὴν τῆς ψυχῆς· ὅτε γοῦν, φησὶν, αἱ ψυχαὶ πρὸς σῶμα καθικνοῦντο, λήθης πεπώκασι πόμα, ἵν' ὅπερ πάσχουσιν ἀγνοῶσιν· οὕτω δὲ καὶ μεταγγίζεσθαι ταύτας λήρουσιν ἐκ σωμάτων εἰς σώματα, ὡς περὶ τούτου πλατύτερον ἐν τῷ περὶ ψυχῆς παρακατιὼν λελέξεται λόγῳ· φησὶν οὖν ὁ θεῖος

Γρηγόριος, ὅτι εἴ τις ποτὲ λίθος βυθὶς ἐστὶ, τὰς ἐμὰς συμφορὰς καταπρυπτέτω· πολλαὶ γὰρ καὶ παρὰ τῶν θεῷ λατρεύειν εἰσμένων, μέχρις ἡ τελευταία πάντων ἡμέρα τὰς προθέσεις ἀπογυμνώσει.

ΛΟΓΟΣ ΙΔ.

ΠΕΡΙ ΦΥΣΕΩΣ ΑΝΘΡΩΠΙΝΗΣ.

Ed. carm. XIII.

Ἐξ ἔτι τοῦ ὅτε μοι πικρὴν ἐπομόρξατο πεινὴν 57.
Γεῦσις τ' οὐλομένη, καὶ φθόνος ἀντιπάλου, 58.
Πυρὶ ψύχοντι τὸ θαῦμα. 61.

Κεῖται ἐν τῷ α΄ λόγῳ.

Ταύτην οὐκ ἄν τις ἐκλάβοι τὴν ἱστορίαν εἶναι, τὴν κατὰ τὸν Τάνταλον ἢ τὸν Ἡρακλέα· ὁ μὲν γὰρ Τάνταλος, ἀνυδρίᾳ ξηραίνεσθαι λέγεται ἐν μέσοις τοῖς ὕδασιν· ὁ δὲ Ἡρακλῆς τεσσῦτον φλεχθῆσεσθαι τῷ αἵματι τοῦ Νέσσου, ὡς καὶ τὸ ποτάμιον ῥεῦμα εἰς φλόγα μεταγαγεῖν· κεῖνται δὲ παρακατιὼν αἱ ἱστορίαι· σὺν ἀληθείᾳ τοίνυν πυρὶ ψύχοντι τὸ θαῦμα, περὶ τῆς δρόσου πηγασάσης τοῖς παιδαρίοις καμίνου τὴν ἱστορίαν ὑπολιπτέον· κεῖται δὲ ἐν τῷ α΄ λόγῳ.

Εἰκὼν εἰμὶ θεῖο, καὶ αἴσχεος υἱὸς ἐτύχθην. 71.

Πᾶσαν ὁ θεὸς τὴν κτίσιν δημιουργήσας, ὕστερον τὸν ἄνθρωπον ἐπάησε κατ' εἰκόνα ἰδίαν καὶ καθ' ὁμοίωσιν· γέγραπται γὰρ· καὶ εἶπεν ὁ θεὸς, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ ἀρχέτω τῆς κτίσεως· καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς αὐτὸν πνοὴν ζωῆς· καὶ ἐγένετο ὁ ἄνθρωπος Ἀδὰμ, εἰς ψυχὴν ζῶσαν· πῶς οὖν φη-

σὶν ὁ Θεῖος Γγρηγόριος εἰκὼν ὑπάρχων Θεοῦ, αἰσχύνης υἱὸς ἐγενόμην; πάντως διὰ τῆς ἁμαρτίας ἣν ἔτεκεν ἡ παρακοή.

Πλάσμα Θεοῦ, παράδεισος, Ἐδὲμ, κλέος, ἐλπὶς, ἐφετμή.

87. Ὅπερ φησὶ τοιοῦτον ἐστὶν· ὅτι εἴπερ μαι μάτην Θεόθεν ἐσὶν ἡ ψυχὴ, ἢ οὐκ ἔσι μάτην μαι τὸ πλάσμα εἶναι Θεοῦ, καὶ ὁ παράθεισος, ἥτε Ἐδὲμ καὶ ἡ δόξα καὶ ἡ ἐλπὶς καὶ ἡ ἐντολή;

Ὄμβρος ὁ κοσμολέτης.

Ὁ ἐπὶ τοῦ Νῶε. Κεῖται ἐν τῷ α΄ λόγῳ.

88. Ὄμβρος ὁ πυρσοπόλος.

Ὁ ἐπὶ Σοδόμων. Κεῖται ἐν τῷ α΄ λόγῳ.

89. Αὐτὰρ ἔπειτα νόμος γραπτὸν ἄκος.

Κεῖται ἐν τῷ β΄ λόγῳ.

90. Αὐτὰρ ἔπειτα – Χριστὸς εἰὴν μορφὴν ἡμετέρῃ κεράσας.

Κεῖται ὁμοίως ἐν τῷ β΄ λόγῳ.

91. Ὡς κεν ἐμεῖς παθέεσσι παθὼν θεὸς ἄλκαρ ὀπάζοι.

Χριστὸς ἐνανθρωπήσας ἀνθρώπεις, παθὼν ἐσταυρώθη καὶ ἐτάφη καὶ ἀνέςη, ὡς ἂν τοῖς ἀνθρωπίνοις πάθεσι παθὼν Χριστὸς παράσχοι βοήθειαν, καὶ θεὸν τὸν ἄνθρωπον κατασκευάσῃ τῷ εἴδει τῷ ἀνθρωπίνῳ ὃ προσείληφεν.

102. Σὺ δέ μι δείματα πάντα λέγε,

103. Τάρταρον ἠρόεντα, Πυριφλεγέθοντας, ἰμάσθλας.

Μέμνηται καὶ Πλάτων τῶν ἐν ᾅδου κολάσεων, ἐν τῷ Φαίδωνι λέγων περὶ τῶν λήξεων καὶ τῶν ἀποκληρώσεων τῶν ψυχῶν, ὅτι οἱ ἀδίκως βεβιωκότες κολάζονται ἐν τῷ Κωκυτῷ καὶ ἐν τῷ Πυριφλεγέθοντι καὶ ἐν τῷ Ταρτάρῳ, ποταμὸς δὲ ὁ μὲν Κωκυτὸς ψυχρότατος, ὁ δὲ Πυριφλεγέθων θερμότατος· ὁ δὲ Τάρταρος μέσον τίς τόπος, ἐν ᾧ ἀνίμησίς ἐστι καὶ κατάπτωσις ὑδάτων καὶ καπνὸς, ἀφεγγὴς δὲ

ὁ τίτης· ὁ δὲ Ἀχέρων καὶ αὐτὸς μέσος, καθαρσίῳ ἐοικώς, οὐ κολάζων, ἀλλὰ ῥύπτων φησὶ τὰ ἁμαρτήματα.

ΛΟΓΟΣ ΙΕ.

ΠΕΡΙ ΕΥΤΕΛΕΙΑΣ ΤΟΥ ΕΚΤΟΣ ΑΝΘΡΩΠΟΥ. Ed. carm. XIV.

Ἄμφω καὶ πινυτῆσιν ἐφήρμοσε ταῦτα πάρειδε, 79.
Τῷ μὲν κλαυθμὸς ἔην τάνδάδε, τῷ δὲ γέλως. 80.

Ἡράκλειτος καὶ Δημόκριτος οὐκ ἐν τῷ αὐτῷ γεγενότες χρόνῳ, φυσικοὶ δὲ ὄντες, ὁμοίως τὴν τοῦδε κόσμου ἀλλεπαλληλίαν διέπαιξαν, ὁ μὲν γελῶν, ὁ δὲ κλαίων· ὁ μὲν γὰρ Δημόκριτος ἔγελα συνεχῶς τὰ πράγματα, ὁ δὲ Ἡράκλειτος ἔκλαιεν· ἦν δὲ ὁ Δημόκρατος ἀβδηρίτης, ὁ δὲ Ἡράκλειτος ἐφέσιος.

Ὡς τρῶες καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντες 81.
Δήουν ἀλλήλους εἵνεκα περιδίου. 82.

Ἀλέξανδρος ὁ καὶ Πάρις, παῖς ὢν Πριάμου βασιλέως Τρωάδος, ἀφικόμενος εἰς Ἑλλάδα, καὶ παρὰ Μενελάῳ τῷ Ἀτρέως παιδὶ ξενισθεὶς, μοιχεύει τὴν τούτου γυναῖκα Ἑλένην, καὶ ταύτην ἁρπάσας, εἰς Ἴλιον τὴν ἰδίαν ἀπάγει πόλιν· Ἕλληνες οὖν τῆς Τρωάδος καταστρατοπεδεύσαντες ἐπ' ἔτεσιν ἱκανοῖς τρῶας κατέκοπτον, καὶ ὑπ' αὐτῶν κατεκόπτοντο ἕνεκεν τῆς Ἑλένης· ὕστερον δὲ πορθήσαντες καὶ αὐτὸ τὸ Ἴλιον εἷλον, ἐκεῖσε μέν τοι οἱ πλείους τῶν ἡρώων ἀναιρεθέντες, παμπληθεὶ δὲ τὴν Ἴλιον ἐξολέσαντες πόλιν.

Ὑπόθεσις τῆς ποιήσεως. Σχόλιον.

Ἡ δὲ τοῦ τρωϊκοῦ πολέμου αἰτία αὕτη. Ζεὺς ἐρασθεὶς Θέτιδος τῆς Νηρέως θυγατρὸς, αὐτὸς μὲν ἐκωλύθη συνελθεῖν αὐτῇ, Προμηθέως μαντευσαμένου ὡς ὁ ἐξ αὐτῆς γεν-

νηθεὶς, ἐκβάλλει τὸν πατέρα τῆς βασιλείας· δίδωσι δὲ τῷ Αἰακοῦ Πηλεῖ, οὗ πατὴρ ἦν αὐτὸς ὁ Ζεύς· τῶν δὲ γάμων γενομένων ἐν τῷ πηλείῳ ὄρει παρὰ Χείρωνι τῷ κενταύρῳ, πάντες εἰς τὴν εὐωχίαν ἐκλήθησαν οἱ θεοὶ καὶ αἱ θεαὶ, πλὴν Ἔριδος· ἡ δὲ ὀργισθεῖσα στάσιν ἐπεχείρησεν ἐμβαλεῖν τῷ συμποσίῳ, καὶ χρυσῷ μήλῳ ἐπιγράψασα ΤΗ ΚΑΛΗ, ἔῤῥιψεν εἰς τὸ μέσον· περὶ οὗ τρεῖς ἀνέςησαν φιλονεικοῦσαι, Ἥρα καὶ Ἀφροδίτη καὶ Ἀθηνᾶ, ἑκάςη φάσκουσα ἑαυτὴν εἶναι καλήν· ὁ δὲ Ζεὺς δυσωπίας βουλόμενος ἀπαλλάξαι τὰς θεὰς, πέμπει δι' Ἑρμοῦ κριθησομένας πρὸς τὸν ἐν Ἰδῃ ποιμένα Πάριν· πρὸς ὃν ἀφικόμεναι ἐπηγγείλαντο τὰ τῆς κρίσεως ὦῤα, ἡ μὲν Ἥρα βασιλείαν αὐτῷ παρέξειν, Ἀθηνᾶ δὲ τὴν ἐν πολέμοις ἀριστείαν, Ἀφροδίτη δὲ τὴν Διὸς καὶ Λήδας θυγατέρα Ἑλένην, κάλλει διαφέρουσαν πασῶν τῶν γυναικῶν· ὁ δὲ ἐπιθυμίᾳ κρατηθεὶς, προέκρινε τὴν Ἀφροδίτην· ἡ δὲ εἰς Λακεδαίμονα πλεύσαντα κελεύει τὴν Ἑλένην ἁρπάσαι, Μενελάου τοῦ ἀνδρὸς αὐτῆς εἰς Κρήτην ἀποδεδημηκότος.

83. Κουρῆτες τ' ἐμάχοντο καὶ Αἰτωλοὶ μενεχάρμαι,
84. Ἀμφὶ συὸς κεφαλῇ θριξὶ τε χειριδίαις.

Μελέαγρος ὁ τῶν Αἰτωλῶν βασιλεὺς, Ἀρτέμιδος καταφρονήσας, τὰς κατ' ἔθος αὐτῇ θυσίας οὐ προσέφερε, μικρὰν εἶναι ταύτην καὶ μηδενὸς ὑπονοήσας ἀξίαν λογου· Ἄρτεμιν δὲ φασὶν οἱ μύθοι τῶν θηρίων καὶ ζώων κρατεῖν, ὀρεστία γὰρ αὕτη, διὸ καὶ ἐλαφηβόλος καλεῖται, βάλλει γὰρ εὐστόχως τὰς ἐλάφους· τῷ γοῦν Μελεάγρῳ σύαγρον ὑπερμεγέθη πέμπει, καὶ τὴν τούτου κατέβλαπτε χώραν· Μελέαγρος δὲ τοὺς Κουρῆτας εἰς συμμαχίαν καλέσας, ἀναιρεῖ τὸν ἄγριον σύα· λαβὼν δὲ τὴν τοῦ συὸς κεφαλὴν καὶ τὰς

τρίχας, τῇ Ἀταλάντῃ ξένιον παρέσχεν· αὕτη δὲ παρθένος γυνὴ καὶ τοξότις· τοῦτο γνόντες οἱ Κουρῆτες, πόλεμον συνάπτουσι μετὰ τῶν Λιτωλῶν, καὶ οὕτως ἀλλήλους κατέκοπτον ἀντὶ συὸς κεφαλῆς καὶ χειριδίων τριχῶν· Ὅμηρος μὲν οὖν φησὶ κεφαλὴν καὶ δορὰν· ὁ μέγας Γρηγόριος δὲ ἀντὶ τῆς δορᾶς, τρίχας φησὶν, εἴτε τεῖς μέτροις ἐστίμενος, ἐλιγεῖον γάρ.

Ἀμφὶ συὸς κεφαλῇ θριξὶ τὲ χειριδίαις
Πρεείρηται, εἴτε φυσικῶς παριζῶν· οὐ γὰρ σὺς ἀποδερεῦται·
Αἰακίδαι μέγ' ἄεισμα θάνον γέ μεν, ὃς μὲν ἐν ἐχθροῖς, 85.
Μαινομένῃ παλάμῃ, αὐτὰρ ὃ μαχλοσύνῃ. 86.

Αἰακὸς οὗτος υἱὸς ἐγένετο τοῦ Διὸς, δίκαιος τὰ μάλιστα· διὸ ποτὲ ἀβροχίας γενομένης ἐν τῇ Ἑλλάδι, ἦλθον πρὸς αὐτὸν οἱ κατ' ἐξοχὴν τῶν πόλεων ἄνδρες παρακαλοῦντες εὔξασθαι τῷ ἰδίῳ πατρὶ ἵνα γένηται ὑετός· ὁ δὲ στὰς καὶ εὐξάμενος, ἔλυσε διὰ τῆς εὐχῆς τοὺς αὐχμοὺς καὶ κατερρύη ὕδωρ πολὺ· μάλιστα δὲ καὶ ἐκ τούτου ἐδείχθη ἡ εὐσέβεια τοῦ Αἰακοῦ· οὗτος οὖν γεννᾷ δύο υἱοὺς, τὸν Πηλέα καὶ τὸν Τελαμῶνα· ὧν ὁ μὲν Πηλεὺς τίκτει τὸν Ἀχιλλέα, ὁ δὲ Τελαμὼν τὸν Αἴαντα, οἵ τινες ἐκαλοῦντο αἰακίδαι, τὴν ἀπὸ τοῦ πάππου τιμὴν ἔνθεν προσφερόμενοι, Ἀχιλλεὺς οὖν μετὰ Ἕκτορος ἀναίρεσιν, Πολυξένην τὴν Πριάμου θυγατέρα βουληθεὶς γῆμαι, εἰσῆλθεν ἐν τῇ πόλει, καὶ κατὰ λόχον τινὰ τοξευθεὶς ἐν τῷ ναῷ τοῦ Ἀπόλλωνος ὑπὸ Πάριδος θνήσκει· Ἀχιλλεὺς οὖν μετὰ χρόνον Πύρρῳ τῷ ἰδίῳ υἱῷ κατὰ τὴν Τροίαν ὄντι, φαίνεται λέγων δεῖν αὐτῷ τυθῆναι τὴν Πολυξένην, δι' ἣν καὶ ἀπώλετο· Πύρρος οὖν μετὰ τὴν νίκην Πολυξένην λαβὼν, παρὰ τὸν τάφον ἔθυσε τοῦ ἰδίου πατρὸς Ἀχιλλέως· Αἴας δὲ ὁ τοῦ Τελαμῶνος ἀρι-

στεύσας καὶ πρῶτος ἐν τοῖς προμάχοις, ὡς μὲν Γρηγόριος ὁ Θεῖος φησὶν, ἐν πολέμῳ μαινομένῃ χειρὶ ἀνῃρέθη· ὡς δέ τινες, ἑαυτὸν ἀνεῖλε· λέγουσι γὰρ τοῦ Ἀχιλλέως ἀναιρεθέντος, ὡς Αἴας καὶ Ὀδυσσεὺς εἰσῆλθον τὸ πτῶμα τοῦ Ἀχιλλέως λαβεῖν, καὶ Ὀδυσσεὺς εὐμήχανος ἅτε ὢν καὶ πανοῦργος, Αἴαντα μὲν τὸ σῶμα λαβεῖν Ἀχιλλέως ἠπάτησεν· αὐτὸς δὲ τοὺς πολεμίους ἀπείργει τοῖς ὅπλοις πεφραγμένος· γενομένοις δὲ κατὰ τὴν ἐκκλησίαν καὶ κρινομένοις περὶ τῶν ὅπλων, Ὀδυσσεῖ τὴν ῥοπὴν Ἕλληνες ἐχαρίσαντο· Αἴας δὲ μανεὶς καὶ παραπλὴξ γενόμενος, δι' ὅλης νυκτὸς τὰ τῶν ἑλλήνων κατέσφαττε πώμνια καὶ τὰ κτήνη, οἰόμενος αὐτοὺς ἀποκτέννειν· ἡμέρας δὲ γενομένης, γνοὺς ἑαυτὸν ἐξεστακέναι, καὶ τὸν παρὰ πάντων αἰδούμενος γέλωτα, ξίφει λέγεται ἑαυτὸν ἀνελεῖν· διὸ καὶ θαυμάζουσιν Ἕλληνες, ὡς Αἴας μὲν ἐν τῷ τοῦ Ἕκτορος ἀνῃρέθη ξίφει, Ἕκτωρ δὲ ἐν τῷ τοῦ Αἴαντος ἀνειλκύσθη ζωστῆρι, ὑπ' Ἀχιλλέως ἀναιρεθείς· καὶ γὰρ τὸν Ἕκτορα ποτὲ προσκαλεσάμενον τοὺς Δαναοὺς εἰς ἀγῶνα, Αἴας ἐξῆλθεν· ὡς δ' ἐπ' ἀλλήλοις ἦσαν σχεδὸν ἀλλήλους τιτρώσκοντες, τοῖς ἑαυτῶν ἀμφότεροι πεισθέντες ἑταίροις, τῆς πρὸς ἀλλήλους ἐπαύσαντο μάχης· δῶρα δὲ λαμπρὰ παρέσχον ἀλλήλοις· ἔχει δὲ τὸ ἔπος ὧδε· ὡς ἄρα φωνήσας, δῶκε ξίφος ἀργυρόηλον – σὺν κολεῷ τε φέρων καὶ εὐτμήτῳ τελαμῶνι – Αἴας δὲ ζωστῆρα δίδου φοίνικι φαεινὸν· ἐφ' ὃν ζωστῆρα νεκρὸς ὑπ' Ἀχιλλέως ἐξ ἅρματος εἵλκετο· Αἴας δὲ τῷ τοῦ Ἕκτορος ξίφει, κακῶς τοῦ ζῆν ἀπηλλάγη.

87. Ἀμφιτρυωνίδαο μέγα κλέος, ἀλλ' ἐδαμάσθη,
88. Εἵματι σαρκοφάγῳ κεῖνος ὁ παντολέτης.

Πολὺς μὲν ὁ λόγος θρυλλεῖ τὸν Ἡρακλέα, ὅτι υἱὸς ὢν

τοῦ Διὸς καὶ Ἀλκμήνης, ἥρως τε ὢν τοὺς δώδεκα ἆθλους ἐξήνυσεν· ἡ δὲ παροῦσα ἱστορία ἔστιν αὕτη· οὗτος ὁ Ἡρακλῆς εἶχε γυναῖκα ὀνόματι Δηϊάνειραν, ἣν ἔλαβεν ἐξ Οἰνέως ἀντ' ἔρας τῆς γενομένης Ἀχελῴῳ τῷ ποταμῷ, ἐξ ἧς ἔτεκε καὶ τὸν Ὕλλον· ταύτην τοίνυν τὴν Δηϊάνειραν ἅμα τῷ λαβεῖν καὶ ἀποφέρειν ἐν τῇ οἰκείᾳ πατρίδι, ἰδὼν ὁ Νέσσος εἷς τῶν κενταύρων ἠράσθη, καὶ κατά τινα ποταμὸν ἠβουλήθη αὐτῇ συγγενέσθαι· ὁ οὖν Ἡρακλῆς μαθὼν, κατατοξεύει τὸν Νέσσον· ἀποθνήσκων δὲ ὁ Νέσσος, τοῦ αἵματος αὐτοῦ δίδωσι τῇ Δηϊανείρᾳ, ὑπειπὼν τε καὶ ἀπατήσας, ὅτι ἔσται σοι τοῦτο αἷμα πρὸς φίλτρον τοῦ Ἡρακλέους, ἵνα φησὶν ἐὰν μάθῃς ὅτι ἄλλης ἐρᾷ, χρίσῃς ἐκ τοῦ αἵματος τούτου τὸ ἔνδυμα τοῦ Ἡρακλέους, καὶ μεθίσᾷς αὐτὸν εἰς τὸν ἑαυτῆς πόθον· τοῦτο οὖν τὸ αἷμα εἶχεν ἡ Δηϊάνειρα· τοῦ οὖν Ἡρακλέους τῆς Ἰόλης τῆς Εὐρύτου θυγατρὸς ἐρασθέντος, καὶ λαβόντος καὶ διὰ τῆς τοῦ Λίχα πέμψαντος ὡς αἰχμάλωτον πρὸς τὴν Δηϊάνειραν, εἰς ἔννοιαν καὶ εἰς ζηλοτυπίαν ἐκινήθη ἡ Δηϊάνειρα, καὶ βουληθεῖσα τὸν ἔρωτα μεταζῆσαι εἰς ἑαυτὴν, τὸν χιτῶνα τοῦ Ἡρακλέους χρίει τῷ αἵματι τοῦ Νέσσου καὶ δίδωσιν ἐνδύσασθαι τῷ Ἡρακλεῖ· τὸ δὲ ἦν ἀνδροφόνον τὸ αἷμα· ἐνδυσαμένου δὲ τοῦ Ἡρακλέους, ὑφῆψεν ὁ χιτὼν καὶ κατέφλεξε τὸν Ἡρακλέα· οὗτος δὲ καιόμενος καὶ ῥίψας ἑαυτὸν ἐν τῷ πλησίον ποταμῷ, θερμὸν τὸ ὕδωρ ἐποίησεν· ἐξ οὗ λοιπὸν αἱ Θερμοπύλαι μεταξὺ Θετταλίας καὶ Φωκίδος.

Κῦροι τε Κροῖσοι τε κακὸν μόρον οὐχ' ὑπάλυξαν. 89.

Κροῖσος Δυδίας ἦν βασιλεὺς πλούσιος σφόδρα, ὡς ἐντεῦθεν δειχθήσεται· Σόλων νομοθέτης ἦν Ἀθηναίων· οὗτος αἰτούμενος νομοθετῆσαι τοῖς νέοις, ἀπήτησε τοὺς πολίτας

ὅρκον ὅτι περ δεκαετίαν φυλάσσουσι καὶ σέβουσι τοὺς παρ' αὐτοῦ τιθεμένους νόμους, καὶ λοιπὸν εἰ μὴ συναρέσουσιν αὐτοῖς, τὸ τηνικάδε λύουσι· τοῦτο δὲ ἐπέτρεψεν, ἵνα τέως προεθίσῃ αὐτοὺς ἐμμεῖναι ἐπὶ ὀλίγον χρόνον τοῖς δόγμασιν· ἤθει γὰρ ὡς εἰ γεύσονται τῆς νομοθεσίας, λοιπὸν δυσμεταθέτως σχήσουσιν αὐτῶν· λαβὼν τοίνυν ὁ Σόλων τὸν ὅρκον παρὰ τῶν ἀθηναίων καὶ νομοθήσας αὐτοῖς, ἐξῆλθεν ἀπ' Ἀθηνῶν ὀφείλων τὴν δεκαετίαν ἐξω ποιῆσαι· περιπολῶν οὖν τὰς πόλεις, ἦλθε καὶ εἰς Λυδίαν παρὰ Κροῖσον τὸν βασιλέα· ὃν ἐλθόντα ὁ Κροῖσος εἰς θαῦμα θέλων κινῆσαι, ἔπεμψεν εἰς τοὺς θησαυροὺς αὐτοῦ, δεικνὺς αὐτῷ ὡς πολύχρυσος ὁ Κροῖσος· ἐπανήκοντα δὲ ἀπὸ τῶν θησαυρῶν τὸν Σόλωνα, ἤρετο ὁ Κροῖσος ἔν τινα νομίζει πάντων ἀνθρώπων εὐδαιμονέστερον; ὑπολαμβάνων, ὅτι δὴ αὐτὸν πρὸ πάντων εἴποι· ὁ δὲ Σόλων ἀπεκρίνατο, Τέλλον τὸν ἀθηναῖον· ὁρίζετο γὰρ ὁ Σόλων, οὐ τὸν πλοῦτον καὶ τὴν ὑπερηφανίαν, ἀλλὰ τὸ ἀπαθῶς ζήσαντα· ἀποθανόντα δὲ, ἀριστεύσαντα· νῦν οὖν ἅπλησον καλεῖ τὸν Σόλωνα, ὡς πλείονα πλοῦτον τοῦ λυδίου χρυσοῦ ἀρεγόμενον θεάσασθαι· καὶ ὁ πλοῦτος εὐδαιμονία τίς περὶ τὰ ἐκτός· τρεῖς δὲ εὐδαιμονίας εἶδεν ὁ λόγος, τὴν ἐν τῇ ψυχῇ ἀπάθειαν, τὴν ἐν σώματι ὑγείαν, τὴν περὶ τὰ ἐκτὸς πολυτέλειαν· ἐχρῆν οὖν τὸν Σόλωνα προσθεῖναι, ὅτι εἰ καὶ τῇ ψυχῇ ἦς ἄριστος, ἱκανός σοι καὶ ὁ πλοῦτος περὶ τὴν ἐκτὸς εὐδαιμονίαν· οὕτως οὖν ὁ Κροῖσος ἀπατηθεὶς ὑπὸ τοῦ Ἀπόλλωνος, κακὸν μόρον ὑπέμεινεν· ὁ γὰρ Ἀπόλλων Λοξίας λέγεται χρησμολόγος, μαντευόμενος γὰρ, οὐ σαφῶς οὐδὲ διαρρήδην τοὺς χρησμοὺς τοῖς χρησμῳδουμένοις ἔλεγεν, ἀλλ' ἀσαφῶς καὶ λοξῶς· διὸ ἔκλυσε Λοξίας, ὡς τ' ἐναντία τῶν ἐχρησμένων

χρησμῳδῶν· ἐκ τούτου οὖν ἡπατῶντο πολλοὶ μεθ' ὧν καὶ ὁ Κροῖσος· ἦν γὰρ αὐτῷ δοθεὶς χρησμὸς οὗτος — Κροῖσος Ἅλυν διαβὰς, μεγάλην ἀρχὴν καταλύσει —. Νομίσας οὖν ὁ Κροῖσος ὅτι τὴν τῶν ἐναντίων λέγει ἀρχὴν, ἐπέρασε τὸν Ἅλυν ποταμὸν, καὶ τὴν ἰδίαν κατέλυσεν ἀρχήν· καὶ ταῦτα μὲν περὶ Κροίσου τοῦ λυδίου. Λεκτέον δὲ καὶ περὶ Κύρου, οὗ καὶ μέμνηται Γρηγόριος ὁ θεσπέσιος· Δαρεῖος ὁ μικρὸς υἱὸς Ξέρξου γεννᾷ υἱοὺς ἐκ τῆς Παρυσάτιδος Κῦρον καὶ Ἀρταξέρξην· ἀποθανόντος δὲ τοῦ Δαρείου, ἠμφισβήτουν οἱ δύο περὶ τῆς βασιλείας, καὶ τὸν μὲν Ἀρταξέρξην ὡς πρεσβύτερον ἦγεν ὁ χρόνος ἐπὶ τὸ βασιλεῦσαι, τὸν δὲ Κῦρον ὡς νεώτερον καὶ φιλούμενον ἡ μήτηρ προεβάλλετο· ἐπικρατεῖ δὲ ὁ Ἀρταξέρξης διὰ τὸν χρόνον, καὶ βασιλεύει αὐτὸς· ὁ οὖν Κῦρος μὴ θέλων ὑπείκειν τῷ Ἀρταξέρξῃ, αἰτεῖ τὸν ἴδιον ἀδελφὸν δοῦναι αὐτῷ τὴν τῆς Ἀσίας σατραπείαν, οἷον ἐπαρχότητα· ὁ δὲ λαβὼν κατῆλθε περὶ τὴν Ἰωνίαν, κἀκεῖσε καθεζόμενος, εἰς ἔννοιαν ἐλθὼν πάλιν τῆς βασιλείας, καὶ ὑποπείσας λακεδαιμονίων ἄνδρας τινὰς, καὶ ἄλλους ἕλληνας ὡς μυρίους, πείθων αὐτοὺς συνακολουθεῖν αὐτῷ· τούτων συνακολουθούντων ἀνῆλθεν ἄχρι Περσίδος, καὶ συμβολῆς γενομένης μεταξὺ τῶν Ἀρταξέρξου καὶ τῶν Κύρου, νικῶσιν οἱ Κύρου, καὶ ταῦτα ὄντες πολὺ ἐλάχιστοι πρὸς τὴν Ἀρταξέρξου στρατιὰν· οἱ γὰρ ἕλληνες ᾔδεισαν καλῶς πολεμεῖν, καὶ ὀλίγοι ὄντες τέχνῃ τοὺς πολλοὺς ἐνίκων· ὁ οὖν Κῦρος ἐπαρθεὶς τῇ πρὸς ὀλίγον νίκῃ, ἐφορμᾷ ἀπὸ τῆς αὐτοῦ φάλαγγος ἐπὶ τὴν Ἀρταξέρξου φάλαγγα, ὡς δῆθεν αὐτὸν κατασφάξων τὸν Ἀρταξέρξην· καὶ μόνος ὢν, διαφθείρεται, καὶ οὕτως τελευτᾷ μὴ βασιλεύσας. Ὁ οὖν θεῖος Γρηγόριος τῶν παρόντων τὸ μάταιον βουλόμενος ἀποδεῖξαι, τὰς

ἄνδρας εὐδαιμονίας παρεισάγει, δεικνὺς ὅτι καὶ τῶν ἐλπιζομένων εὐδαιμόνων, καὶ αὐτῶν τῶν κειμένων ἔξιν ἔστε προσαρπάζονται οἱ ἄνθρωποι, πάντων τῶν ἐν βίῳ καὶ ὄντων καὶ ἐλπιζομένων ἀθρόως ὑπεξιόντες.

91. Καὶ σὲ Δρακοντιάδη, μένος ἄσχετε, ὦλεσεν οἶνος.

Δρακοντιάδης ἐστὶν ὁ Ἀλέξανδρος· ὁ γὰρ Ζεὺς ὄφει ἐξομοιωθεὶς, τὴν Ὀλυμπιάδα τὴν Φιλίππου γυναῖκα ἐμείχευσεν· ὁ οὖν Ἀλέξανδρος ἐπιτηδειότητα πολλὴν ἐκ φύσεως κεκτημένος καὶ φρένησιν, πάσης σχεδὸν τῆς οἰκουμένης ἐκράτησεν· ἦν δὲ καὶ σώφρων, ἀλλ' ἅμως οἰνόφλυξ· οὗτος οὖν τοῦ ζῆν κακῶς ἀπηλλάγη, τῇ μέθῃ διαφθαρείς· τινὲς δέ φασιν, ὅτι καὶ τὸ σῶμα λελώβητο ὑπὸ τῆς τρυφῆς· ὁ τοίνυν τοιοῦτος καὶ τοσοῦτος φησὶν ὁ θεῖος Γρηγόριος, καὶ πάσης κρατήσας τῆς γῆς, εἰκτρῷ τέλει τὸν βίον κατέστρεψεν.

94. Ἥρως Ἀτρείδης Ἶρος ἀλιτροβόρος.

Ἥρως ἐστὶν ἡμίθεος ἀνὴρ· Ἀτρέως δὲ παῖς ὁ Ἀγαμέμνων· οὗτος τῆς Ἑλλάδος βασιλεὺς ὑπάρχων, τὸν τρωϊκὸν συνεκρότησε πόλεμον, καὶ τὴν Ἴλιον ἐπόρθησε πόλιν· Τάνταλος γὰρ Φρυγίας γέγονε βασιλεύς· οὗτος δὲ πόλεμον ἐσχηκὼς μετὰ Ἴλου τοῦ κτίσαντος τὸ ἐπὶ Τροίης Ἴλιον, καὶ φοβούμενος τὴν ἧτταν, ἐπέτρεψε τῷ Πέλοπι τῷ ἰδίῳ παιδὶ λαβόντι χρήματα, ἐπὶ τὴν ἤπειρον ἀπάραι, εἰπὼν ταῦτα, ὅτι ἐὰν μὲν νικήσω ὑποστρέφεις πάλιν εἰς τὴν Φρυγίαν, ἐὰν δὲ ἡττηθῶ μενεῖς εἰς τὴν Εὐρώπην· λαβὼν οὖν ὁ Πέλοψ χρήματα, ἦλθεν εἰς τὴν Ἑλλάδα, ἐν χώρᾳ Ἀπίᾳ καλουμένῃ, ἧς ἐβασίλευεν Οἰνόμαος· οὗτος δὲ εἶχε θυγατέρα Ἱπποδάμειαν ὀνόματι· ἐνταῦθα ἀγωνισάμενος ὁ Πέλοψ ἱππικὸν ἀγῶνα μετὰ Οἰνομάου καὶ νικήσας, ἔλαβε γυναῖκα τὴν Ἱπποδάμειαν, καὶ κατέσχε τὴν χώραν· ἀντὶ δὲ Ἀπ-

ἵας ἐκάλεσεν αὐτὴν Πελοπόννησον, τοῦτ' ἔστι νῆσον τοῦ Πέλοπος· πελοπίδαι τοίνυν εἰσὶν, Ἀτρεὺς, Θυέστης, Ἀγαμέμνων, καὶ Μενέλαος, καὶ τελευταῖον Ὀρέστης· ὁ οὖν Ἶλος Πέλοπα τῆς Φρυγίας ἐκβαλὼν, καὶ τὸ Ἴλιον εἰκοδομήσας, ὑπὸ τῶν πελοπίδων ὕστερον κατεστράφη· καὶ γὰρ Ἀγαμέμνων ὁ πελοπίδης, τὴν Ἰλίου πόλιν περιθήσας ἀπώλεσεν· Ἶρος δέ ἐστιν ὁ πλάνῃ τρεφόμενος, ὅς τις γέλωτος χάριν οἰκτρότατος ὢν ἐπάλαισε τῷ Ὀδυσσεῖ· Γρηγόριος οὖν ὁ Θεῖος φησὶν, ὅτι καὶ ὁ ἡμίθεος Ἀγαμέμνων ὁ βασιλεὺς, καὶ ὁ πλάνῃ τρεφόμενος οἰκτρότατος Ἶρος, ὁμοίως ἀπέθανεν, μηδὲν περισσὸν ἢ κενὸν ὄνειμα ἐν ἀνθρώποις καταλιπόντες.

Κωνσταντῖνος ἄναξ, θεράπων ἐμός. 95.

Κωνσταντῖνος ῥωμαίων γέγονε βασιλεὺς· οὗτος θεοσεβὴς ὑπῆρχε καὶ πρῶτος ἐν βασιλεῦσι χριστιανὸς· διὸ καὶ πάσης σχεδὸν τῆς ὑπ' οὐρανὸν περικρατήσας, ὅμως ἀπέθανε· Γρηγόριος οὖν ὁ θαυμάσιος τοῦ βίου παριστῶν τὸ ἀβέβαιον, καὶ τοῦτο φησὶν, ὅτι ὁ τοσοῦτος βασιλεὺς Κωνσταντῖνος, καὶ ὁ δοῦλος ὁ ἐμὸς ἴσως ἀπέθανεν· οὐδὲν δὲ πλέον ἐστὶ τοῖς ἀνθρώποις τῶν ἐκ τοῦ βίου, ἢ μόνον θρήνου τυχεῖν περισσοτέρου καὶ τάφου ἐνδοξοτέρου, καὶ κενὸν ἐν τοῖς λίθοις ἐπιτυμβίδιον καταλιπεῖν γράμμα· διὸ φησὶ τὴν ἀρετὴν πάντων εἶναι τῇ ψυχῇ περιφανέστερον κτῆμα, καὶ ταύτην ἐχρῆν σπουδαιότερον μεταδιώκειν.

Καὶ τὰ μὲν ἐνθάδε, τοῖα· τὰ δ' ἄλλοθι, τίς κ' ἐνίσποι 97.

Ὁππόσα τοῖς ἀδίκοις ὕστατον ἦμαρ ἄγει; 98.

Πῦρ βρόμιον, σκότος αἰνὸν, ἀπόπροθι φωτὸς ἐοῦσιν, 99.

Σκώληξ ἡμετέρης μνήσις ἀεὶ κακίης. 100.

Ἤδη μὲν εἴρηται περὶ τῶν ἐν ᾅδου κολάσεων, ὡς καὶ τῶν ἑλλήνων οἱ σοφοὶ τούτων ἐμνημόνευσαν· καθὼς Πλά-

των, καὶ περὶ Κοκυτοῦ καὶ Πυριφλεγέθοντος καὶ Ταρτάρου καὶ Ἀχέροντος· καὶ ὁ Ἡσαΐας δὲ ὁ θαυμάσιος ὅτι πῦρ ἐστὶ καὶ σκώληξ, φησὶν· ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκὶ· καὶ Δανιὴλ ὁ θαυμάσιος· ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ· Χριστὸς δὲ ἡ ζωὴ ἡμῶν τοῖς ἀσεβέσι φησὶ· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· καὶ αὖθις, τὸν ἀχρεῖον δοῦλον ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον. ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

105. Ποῦ μοι πρωτογόνοιο μέγα κλέος; ὤλετ ἐδωδῇ·
106. Ποῦ Σολομῶν πινυτὸς; ἀλλὰ γυναιξὶ δάμη.

Κεῖνται ἀμφότερα ἐν τῷ β' λόγῳ.

107. Ποῦ δὲ δυωδεκάδος συναρίθμιος ἦν ὅ τ' Ἰούδας;
108. Κέρδεος ἀντ' ὀλίγου ἀμφεχύθη σκοτίην.

Κεῖται ἐν τῷ β' λόγῳ.

ΛΟΓΟΣ Ις. ΛΟΓΟΣ ΙΖ.

carm. ΔΙΑΦΟΡΩΝ ΒΙΩΝ ΜΑΚΑΡΙΣΜΟΙ.

37. Καὶ Ῥαὰβ εὔκοσμον εἶχε βίον, ἄλλ' ἄρα καὶ τὴν
Κλεινὴν ἀκροτάτῃ θῆκε φιλοξενίῃ.

Ὅτε τοὺς κατασκόπους ἄνδρας δύο ἐκ τοῦ πέραν τοῦ Ἰορδάνου ἀπέστειλεν Ἰησοῦς εἰς Ἱεριχὼ τὴν γῆν κατασκοπεῦσαι, τούτους Ῥαὰβ ὑπεδέξατο ἡ πόρνη· ὁ οὖν βασιλεὺς Ἱεριχὼ γνοὺς, ἀπέστειλε πρὸς αὐτὴν λαβεῖν αὐτοὺς· ἡ δὲ φιλόξενος οὖσα συμπαθείας τρόπῳ, ὑπὸ τὴν λινοκαλάμην κατέκρυψεν· ὀψίας δὲ γενομένης καθῆκε διὰ θυρίδος, παρ-

αγγείλασα μὴ τὴν εὐθείαν ἀλλὰ τὴν ἐπὶ τὸ ὄρος ὁδὸν πορευθῆναι· οἱ μὲν οὖν εὐτως ἐποίησαν· τῶν δὲ κατ' εὐθείαν ἐπιδιωκόντων ἐπανελθόντων, αὐτοὶ πρὸς τοὺς ἰδίους διασωθέντες, τὰ κατὰ τὴν Ῥαὰβ διεσάφησαν· Ἰησοῦς οὖν τὴν Ἱεριχὼ κατεδαφίσας, τὴν Ῥαὰβ πανοικίᾳ ζωγρήσας περιεποιήσατο, καὶ γὰρ αὐτῇ κατέθεντο εἰ κατάσκοποι ἄνδρες μηδένα τῶν προσηκόντων αὐτῇ διαφωνῆσαι, τὸ γὰρ σπαρτίον ἐπὶ τῆς θυρίδος δι' ἧς καθῆκεν αὐτοὺς ὑποδήσασα, πανοικίᾳ σὺν παντὶ τῷ γένει διεσώθη.

Ἐκ δὲ μένης πλέον ἔσχε φαρισαίοιο τελώνης, 39.
Τῆς χθαμαλοφροσύνης τοῦ μέ γ' ἀειρομένου. 40.

Κεῖται ἡ παροῦσα ἱστορία ἐν τῷ α' λόγῳ.

ΛΟΓΟΣ ΙΗ. ΛΟΓΟΣ ΙΘ.

ΚΑΤΑ ΤΗΣ ΣΑΡΚΟΣ.

Ed. carm. XVIII.

Ἀνδροφόνοιο φυτοῦ πάντοτε γευομένη. 6.

Μέμνηται τῆς Ἀδὰμ παραβάσεως καὶ τῆς πικρᾶς βρώσεως, δι' ἧς ἐκβέβληται παραδείσου, πονεῖν καὶ βιοῦν καὶ θνήσκειν κατακριθείς.

Κεῖται ἐν τῷ β' λόγῳ.

Τῶν καθαρῶν Χριστοῦ δραξαμένη θυσάνων. 26.

Κεῖται ἐν τῷ α' λόγῳ.

Τίς πρόγονον κακίης τε καὶ αἵματος ἡμετέροιο 39.
Δέξατ' ἐπεὶ γεῦσιν μύρατο καὶ ἀπάτην; 40.

Λόγος ἐστὶν ὡς Ἀδὰμ ἐκβληθεὶς τοῦ παραδείσου, καθίσας ἀπέναντι τῆς τρυφῆς, ἔκλαυσε πικρῶς· Χριστὸς δὲ νέος διὰ τοῦτο γέγονεν Ἀδὰμ, ἵν' ἐκεῖνον εἰς τὴν ἀρχαίαν ἐπαναγάγῃ μακαριότητα.

Κεῖται ἐν τῷ β' λόγῳ.

41. Τίς σκολιὸν βασιλῆα γόοις ἐκάθηρε Μανασσῆ;

Μανασσῆς βασιλεὺς γέγονεν Ἰούδα πονηρότατος λίαν· οὗτος δὲ τετράμορφον εἴδωλον ἐν τῷ ναῷ Σολομῶντος ἔστησε, καὶ τὸν Ἰούδαν ἀπέστησεν ἀπὸ τοῦ Θεοῦ· ὅθεν εἴ τις ἀνάβοι κατὰ τὸ ἱερὸν προσάξας προσκυνεῖν τῷ εἰδώλῳ· πολλὰ μὲν οὖν καὶ λόγον ὑπερέχοντα κακὰ πεποίηκε, καὶ τὸν προφήτην Ἡσαΐαν δὲ πατεῖν διέξοδον τῶν ὑδάτων τοῦ Σιλωὰμ ξυλίνῳ κατέπρισε πριόνι· τοσαῦτα δὲ καὶ πλέον πονηρὰ πεπραχὼς, ὅμως ἐξωμολογήσατο τῷ Θεῷ ἐπιστρέψας ἐκ τῆς κακίας· ὁ δὲ Θεὸς, καὶ τί γὰρ αὐτοῦ περὶ τὸ πλάσμα συμπαθέστερον; ἀφῆκεν αὐτοῦ τὰς ἁμαρτίας ἕνεκεν τῆς μετανοίας.

42. Τίς Δαυὶδ μεγάλης λύσατο ἀμπλακίης;

Δαυὶδ ὁ Θεσπάτωρ, ᾧ ὁ Θεὸς ἐμαρτύρησεν εἰπὼν, εὗρον Δαυὶδ τὸν τοῦ Ἰεσσαὶ, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου· οὗτος ὁ πάσης ἀρετῆς ἐργάτης καὶ διδάσκαλος, ὁ πρᾶος καὶ ἀμνησίκακος, καὶ ἅπαξ εἰπεῖν ὡμοιωμένος Θεῷ κατὰ τὸ ἐφικτὸν ἀνθρώποις, ὅμως συναρπασθεὶς τοῦ εἰκότος ἀπεσφάλη· ἐν ὑπερῴῳ γὰρ διάγων εἶδε γυναῖκα λουομένην ἀπὸ τῆς ἀκαθαρσίας αὐτῆς, ὡραίαν τῷ εἴδει καὶ σφόδρα καλὴν, Βηρσαβεὲ δὲ ὄνομα τῇ γυναικί· ταύτην ὀφθαλμοῖς περιέργοις κατανοήσας, ἐκλάπη τὸν νοῦν, καὶ μεταπεμψάμενος εἰσῆλθε πρὸς αὐτὴν, καὶ ἔλαβεν ἐν γαστρὶ· τοῦτο γνοὺς ὁ Δαυὶδ, καὶ τὸν ἐξ ἀνθρώπων μυκτηρισμὸν ἐντρεπόμενος, τὸν ἄνδρα μεταστέλλεται τῆς μοιχευθείσης, Οὐρίας ὄνομα τούτῳ, χετταῖος ἀνὴρ, ἐν προμάχοις ἀριστείας δὲ κατὰ τὸ στρατόπεδον ἀριστεύων· ᾧ τηνικάδε παραγενομένῳ πυθόμενος τὰ κατὰ τὴν

μάχην ὁ Δαυὶδ, εἶναι καταλῦσαι προσέταξεν· Οὐρίας δὲ τοῦτο ποιεῖν οὐκ ἠνέσχετο, μὴ δεῖν λέγων τοῦ στρατεύματος Ἰσραὴλ αὐλιζομένου κατ' ἀγρὸν καὶ πολεμοῦντος, αὐτὸν εἰκαδε καταλύσειν καὶ ταῖς ἀγκάλαις ἔχεσθαι τῆς προσφιλοῦς γαμετῆς· Δαυὶδ οὖν τοῦτο μαθὼν, αὖθις πρὸς Ἰωὰβ τὸν ἄρχοντα τῆς δυνάμεως ἀποστέλλει τὸν Οὐρίαν, αὐτόχειρα τὸν ἴδιον ἐπαγόμενον ὄλεθρον· βιβλίον γὰρ ἐγέγραπτο πρὸς Ἰωὰβ συνάψαι τοῖς πολεμίοις, ἀνὰ δὲ τὴν ἰσχυρὰν σῆσαι μάχην πρὸς τῷ τείχει τὸν ἀνδρεῖον καὶ περ προθυμούμενον Οὐρίαν ἄντικρυ τῶν πολεμίων, ὑποχωρῆσαι τε, καὶ τοῦτον ἁλωτὸν τοῖς ὑπεναντίοις παραχωρῆσαι· τούτου δὲ γενομένου, λήσεσθαι τὸ τοσοῦτον κακὸν ὁ συνετὸς Δαυὶδ ὑπετόπαζεν· ἀλλὰ θεοῦ τίς τὸν μέγαν λήσεται ὀφθαλμὸν; ὁ μὲν οὖν ταῦτα πεποίηκεν· ὁ δὲ θεὸς αὐτῷ τὸν προφήτην Νάθαν ἀποστείλας, ὡς πλούσιος ἐπιξενωθέντος οὕτω τινὸς ὁδοιπόρου, ποίμνιον ἀμνάδων ἑκατὸν κεκτημένος, ἐφείσατο θῦσαι, καὶ πένητος ἀμνάδα μίαν ἁρπάσας ἐν τῷ κόλπῳ τοῦ κυρίου τρεφομένην, αὐτῆς συνεθοινήθη τῷ ξενισθέντι, ταύτῃ τὸ δρᾶμα διεξῄει· Δαυὶδ μὲν οὖν ὁ θερμότατος ζήλῳ τῷ πρὸς εὐσέβειαν πυρπολούμενος, ἢ μὴν κακῶς τὸ ζῆν ὁ τοῦτο διαπραξάμενος καταστρέψειε, καὶ τὴν ἀμνάδα τοῦ πένητος ἀποτίσει δεκαπλασίονα, τὸν θεὸν ὀξέως ἐπωμόσατο· Νάθαν οὖν πρὸς αὐτὸν, σὺ εἶ φησὶ βασιλεῦ· καὶ γοῦν ὁ θεὸς τὰ καὶ τά φησι περὶ σοῦ· εἰς αἴσθησιν τοίνυν ἐλθὼν ὁ Δαυὶδ καὶ μνήμην θεοῦ, ἥμαρτηκα τῷ κυρίῳ, φησὶ· καὶ Νάθαν πρὸς αὐτὸν, καὶ κύριος ἀφεῖλατο τὸ ἁμάρτημά σου· κλαύσας δὲ πικρῶς καὶ σποδὸν καὶ σάκκον ὑποστρωσάμενος, ἱκανῶς ἐξομολογησάμενος, τῆς ἀφέσεως κατηξιώθη.

43. Τίς χθαραλὴν θρήναισιν ἰὼν ἐσάωσε Νινευή;

Πόλις ἦν Νινευὴ μεγάλη· ταύτης ἡ κραυγὴ πρὸς τὸν θεὸν ἀναβέβηκε· καὶ δὴ τὸν προφήτην Ἰωνᾶν ὁ θεὸς ἀποστέλλει, προφητεῦσαι τῇ Νινευῇ ὡς καταστραφήσεται τάχος· Ἰωνᾶς οὖν τὴν ἐπὶ Θαρσεὶς ὁδοιπορεῖ, φεύγων τὸ πρόσταγμα· σάλου δὲ γενομένου, κλήρῳ καταδικασθεὶς, εἰς βυθὸν ἐμβάλλεται· κῆτος αὐτὸν ὑποδέχεται, τριταῖον ἀπήμονα σῴζει· πάλιν προστάσσεται, καὶ δὴ πορεύεται καὶ κηρύσσει, ὡς μετὰ τρεῖς ἡμέρας καταστραφήσεται Νινευή· νινευῖται γοῦν τῆς προφητείας ἀκούσαντες ὠλαβήθησαν, οὐδὲ τοῖς λεγομένοις ἠπείθησαν, ἀλλ' ἕκαστος τῆς πονηρᾶς ἀπέστη πορείας, νηστεύσαντες παμπληθεὶ, σάκκους τε περιθέμενοι, τά τε βρέφη σὺν τοῖς κτήνεσι τῇ νηστείᾳ δαμάσαντες, τῆς ἠπειλημένης ὀργῆς τὴν συμφορὰν ἔφυγον, τοῦ θεοῦ φιλανθρώπῳ ὄμματι καὶ εὐμενεῖ τὸ ἴδιον κατοικτείραντος πλάσμα.

44. Τίς δ' ἐπὶ παιδὶ βάλεν δάκρυον ὀπλοτέρῳ;

Τῆς ἐν τοῖς εὐαγγελίοις θείας παραβολῆς μέμνηται τῆς κατὰ τὸν ἄσωτον παῖδα· καὶ γὰρ ὁ σωτὴρ παραβολικῶς τάδε φησὶν, ὅτι τις ἄνθρωπος δύο υἱοὺς εἶχεν· ὁ δὲ νεώτερος τῷ πατρὶ προσελθὼν, αἰτήσας τὸ τῆς οὐσίας αὐτῷ ἐπιβάλλον μέρος καὶ λαβὼν ᾤχετο, καὶ τὸν πλοῦτον ἐπ' ἀλλοδαπῆς δαπανήσας αἰσχρῶς, τελευταῖον ἐπτώχευσε· πεινηθεὶς οὖν ἰσχυρῶς, τοῖς πολιτάρχαις τῆς χώρας οἷς ἔτυχε κολληθεὶς, βόσκειν χοίρους εἰς ἀγρὸν ὑπ' αὐτῶν πέμπεται· τοσοῦτον δὲ λιμῷ πιεζόμενος, ὡς μὴ δύνασθαι τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι ἐμφορηθῆναι, τῶν πατρικῶν ἀγαθῶν εἰς ἔννοιαν ἐλθὼν, ἐβουλεύσατο πρὸς τὸν οἰκεῖον ἐπανελθεῖν πατέρα, καὶ παραγίνεται· σκεπτόμενος δὲ τοῖς περὶ τοῦ πατρὸς ἐπικαμφθῆναι, καὶ ὡς οὐκ ἄξιος εἴη πα-

τέρα τούτων ἐμπλῆσαι, δέξασθαι δὲ καὶ τοῖς μισθίοις συναριθμεῖσθαι λέγων διαλογιζόμενος, φθάσας ὁ πατὴρ καὶ μακρόθεν τὸν υἱὸν οἰκτρὸν θεασάμενος ἀλήτην ᾤκτειρε, καὶ δρόμον σπεύσας ἐπ' αὐτῷ, περιπλακεὶς τε τοῦ κακοῦ παιδὸς τῷ τραχήλῳ, καὶ λαβόμενος αὐτοῦ τῆς χειρὸς, εἰς τὰ ἴδια χαίρων πάλιν ἕλκει δώματα, τούς τε δούλους συγκαλεσάμενος, χαίρειν διετάξατο τῇ τοῦ παιδὸς ἀφίξει· χρυσῷ δὲ τοῦτον δακτυλίῳ τιμήσας, στολῇ τε λαμπρᾷ κατακοσμήσας, καὶ τῆς πρὸ βραχέος δυσκλείας ἀπαλλάξας, μόσχον θύσας τοῖς φίλοις ἐπ' αὐτῷ σιτευτὸν, εὐωχίαν ἐποίησε, συμφωνίαις τὲ καὶ μουσικαῖς χορείαις ἐφαίδρυνε τὸ συμπόσιον· καὶ παιδὸς ὄντος ἀγαθοῦ λυπηθέντος, ὡς αὐτὸς τῷ πατρὶ τοσοῦτον προσκαρτερήσας δεύτερα τοῦ κακοβίου παιδὸς ἔλαχε γέρα, λόγοις ὁμαλοῖς ὁ πατὴρ τὴν λύπην μεταβαλὼν, ὅτι χαρῆναι ἔδει πέπεικε καὶ εὐφρανθῆναι, ὡς ὁ ἀπολωλὼς υἱὸς εὑρέθη, καὶ ὁ θανὼν ἀνεβίω.

Τίς χαίρων καθαροῖσιν ἑκὰς βάλεν οὐδὲ τελώνας; 45.

Κεῖται ἡ παροῦσα ἱστορία ἐν τῷ α' λόγῳ.

Τίς πρόβατον ὤμοις ἄνθετο πλαζόμενον; 46.

Παραβολὴν καὶ ταύτην ὁ σωτὴρ ἐν τοῖς εὐαγγελίοις φησὶν, ὅτι ποιμὴν τὶς ἑκατὸν ἔχων ἀμνάδας, μιᾶς ἀπομονωθείσης καὶ πλανηθείσης ἀνὰ τὰ ὄρη, τὰς ἐνενήκοντα ἐννέα λιπὼν, κατ' ἴχνος ἐκείνης πορεύεται· ἣν εὑρὼν κ' ἐπ' ὤμων ἀράμενος, χαίρων ταῖς ἄλλαις ἐνηρίθμησε δεκάσι· χαρεῖται φησὶ χαρᾷ ὁ ποιμὴν ὁ καλὸς τῆς τοῦ ἀπολωλότος εὑρέσει, τῶν πολλῶν μᾶλλον καὶ ἀπλανῶν.

Τίς λεπροὺς ἐκάθηρε; 47.

Χριστὸς δέκα λεπροῖς τὴν κάθαρσιν ἐχαρίσατο, ὧν εἷς σαμαρείτης ὑπῆρχεν.

Πικρὰς δ' ἀπεέργαθε νούσους;

48. Σώμασι καὶ ψυχαῖς ἐσθλὰ χαριζόμενος.

Χριστὸς πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν θεραπεύσας, ταῖς ψυχαῖς καὶ σώμασιν ἀγαθὰ ἐχαρίσατο.

49. Σεῖο μάκαρ τάδε δῶρα, βροτῶν φάος· ἀλλ' ἐπιβαίης

50. Οἴδματος ἡμετέρου, καὶ σάλος αἶψα πέσοι.

Τοῖς μαθηταῖς κλυδωνιζομένοις ἐπιστὰς Ἰησοῦς κατὰ κυμάτων πεζοπορῶν, γαλήνην ἐποίησε· ταύτην τὴν ἱστορίαν ἐν τῷ πρώτῳ λόγῳ παρεθέμεθα· Γρηγόριος τοίνυν ὁ θεηγόρος κατὰ τὸν τῆς ἀναγωγῆς λόγον μετὰ τὴν ἱκανῶς ἐξομολόγησιν, τῷ ἡμετέρῳ φησὶν ἐπίβηθι κύματι, τοῦτ' ἔστι τοῖς ταραχοποιοῖς πάθεσι· ὁ δὲ σάλος, λέγει δὲ τὸ μέλαν ἔπαρμα τῆς ἁμαρτίας, παραχρῆμα θραυσθήσεται.

ΛΟΓΟΣ Κ. ΚΑ. ΚΒ. ΚΓ. ΚΔ. ΚΕ. Κς. ΚΖ.

Αἰνιγματωδῶς ἐν τούτοις τοῖς λόγοις ὁ θεῖος Γρηγόριος, περὶ τοῦ Ἀδὰμ φησὶ καὶ τοῦ τῆς βρώσεως ξύλου, περὶ Σοδόμων, περὶ Ταρτάρου, περὶ τῶν Ἱερεμίου θρήνων καὶ τῆς Ἱερουσαλὴμ ἁλώσεως, περὶ Ἠλία τοῦ προφήτου, περὶ Μωσέως καὶ τοῦ παιδοφόνου δόγματος Φαραὼ, περὶ Ἰωνᾶ, περὶ Δανιήλ· τούτων δὲ πάντων τὴν ἱστορίαν ἐν τοῖς προλαβοῦσι παρεθέμεθα λόγοις· μνημονεύει δὲ πάλιν τοῦ τῆς λήθης νέφους, ὃ καλύψαι τὰς αὐτοῦ φρένας εὔχεται, οὐχ' ὡς τοῖς ἑλλήνων δόγμασι τὴν ῥοπὴν χαριζόμενος, τῶν αὐτοῦ δὲ μᾶλλον συμφορῶν τὸ βάρος ὧδε λέγων σκεπασθῆναι· εἴ ποτε γὰρ εἶεν ἐμοὶ, φησὶ, τῷ πλήθει βαρυμένῳ τῶν συμφορῶν, ἀγαθόν τε εἴη καὶ μάλα προσφιλές.

ΛΟΓΟΣ ΚΒ'.

ΟΣΑ ΕΝΔΙΑΘΕΤΑΙ.

Ed. carm. XXXIII.

Τὴν ἐνδιάθετον γραφὴν ἀπαριθμεῖται, εἷς, Γενεσις, Ἔξοδος, Λευϊτικὸν, Ἀριθμοὶ, Δευτερονόμιον, Ἰησοῦς, Κριταὶ, Ῥοὺθ, Βασιλεῖαι, Παραλειπόμενα τῶν βασιλειῶν, Ἔσδρας, Ἰὼβ, Ψαλτήριον Δαβὶδ, Παροιμίαι Σολομῶντος, Ἐκκλησιαστὴς, Ἄσματα ἀσμάτων, Ὡσηὲ, Ἀμὼς, Μιχαίας, Ἰωὴλ, Ἀβδιοῦ, Ἰωνᾶς, Ναοὺμ, Ἀμβακοὺμ, Σοφωνίας, Ἀγγαῖος, Ζαχαρίας, Μαλαχίας, Ἡσαΐας, Ἱερεμίας, Ἰεζεκιὴλ, Δανιὴλ· ἀρχαῖαι μὲν αὗται βίβλοι· νέαι δὲ Ματθαῖος, Μάρκος, Λουκᾶς, Ἰωάννης, πρᾶξεις ἀποστόλων, Παύλου δεσκατέσσαρες ἐπιστολαὶ, καθολικαὶ ἑπτὰ, ὧν Ἰακώβου μία, Πέτρου δύο, Ἰωάννου τρεῖς, Ἰούδα μία.

ΛΟΓΟΣ ΚΘ'.

ΜΑΣΤΙΓΕΣ.

Ed. carm. XXXIV.

Τὰς ἐπενεχθείσας ὑπὸ θεοῦ μάστιγας τοῖς αἰγυπτίοις, ὁ θεῖος ἀπαριθμεῖται Γρηγόριος· εἰσὶ δὲ αὗται, αἷμα, βάτραχοι, σκνίπες, κυνόμυια, κτηνῶν ὄλεθρος, φλυκτίδες, χάλαζα, πῦρ, ἀκρὶς, σκότος ψηλαφητὸν, ὄλεθρος πρωτοτόκων.

ΛΟΓΟΣ Λ.

Ed. carm. XXXV.

ΔΕΚΑΛΟΓΟΣ.

Τῶν δέκα λόγων, ὧν ἐν πλαξὶ λιθίναις ὁ Θεὸς ἐτύπωσε τῷ Μωϋσῇ, μνήμην ποιεῖται Γρηγόριος ὁ Θεόληπτος· εἰσὶ δὲ οὗτοι, οὐ γνώσῃ Θεὸν ἄλλον, οὐ σήσεις εἴδωλον ἄπνουν ὁμοίωμα κενὸν, οὐδέ ποτε ματαίως μνησθήσῃ τοῦ ὀνόματος τοῦ Θεοῦ, σάββατα φυλάξεις, τίμα τὸν πατέρα σου καὶ μητέρα σου, οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, οὐκ ἐπιθυμήσεις.

ΛΟΓΟΣ ΛΑ.

Ed. carm. XXXVI.

ΠΑΤΡΙΑΡΧΑΙ.

Μέμνηται τῶν δώδεκα πατριαρχῶν, ὁ μέγας Γρηγόριος τῶν ἐξ Ἰακὼβ ἐξελιλυθότων· εἰσὶ δὲ οὗτοι, Ῥουβὶμ, Συμεὼν, Λευὶ, Ἰούδας, Δὰν, Νεφθαλεὶμ, Γὰδ, Ἀσὴρ, Ἰσάχαρ, Ζαβουλὼν, Ἰωσὴφ, Βενιαμίν.

ΛΟΓΟΣ ΛΒ.

Ed. carm. XXXVII.

ΜΑΘΗΤΑΙ.

Τῶν δώδεκα Χριστοῦ μαθητῶν, ὁ θεῖος μνημονεύει Γρηγόριος· εἰσὶ δὲ οὗτοι, Πέτρος, Ἀνδρέας, Ἰωάννης, Ἰάκωβος, Φίλιππος, Βαρθολομαῖος, Ματθαῖος, Θωμᾶς, Ἰάκωβος Ἁλφαίου, Ἰούδας, Σίμων, Ἰούδας ἄλλος.

ΛΟΓΟΣ ΛΓ.

ΠΕΡΙ ΓΕΝΕΑΛΟΓΙΑΣ ΧΡΙΣΤΟΥ

Ed. carm. XXXVIII.

Τὴν δεκοῦσαν τῶν εὐαγγελιστῶν διαφωνίαν ἐν ταῖς γενεαλογίαις, ὁ θεῖος ἑρμηνεύει Γρηγόριος· φησὶν οὖν ὅτι Λευκᾶς μὲν τὴν ἱερατικὴν γενεὰν ἀπαριθμεῖται, Ματθαῖος δὲ τὴν βασιλικήν· Χριστὸς δὲ βασιλεὺς δηλαδὴ καὶ ἱερεύς, ὡς μὲν ἐκ μητρὸς, ἐκ γένους Λευὶ καταγόμενος· ὡς ἐκ δεκοῦντος δὲ πατρὸς, δαυιτικὸν ἐπιγραφόμενος ἀξίωμα· ὁ μὲν οὖν Ἰωσὴφ τοῦ μὲν Ἠλεὶ παῖς ἐπεγράφετο κατὰ τὸν νόμον, τοῦ δὲ Ἰακὼβ κατὰ τὴν φύσιν· Μωϋσέως γὰρ ἦν νόμιμον ἀσπέρμου τινὸς ἀποθνήσκοντος ἀδελφοῦ, τινὰ τῶν συγγενῶν τὴν γαμετὴν λήψεσθαι τοῦ τεθνηκότος καὶ τὸν οἰκὸν καὶ σπέρμα τῷ τετελευτηκότι ἀναστῆσαι· οὕτω τοῦ Ἠλεὶ τεθνηκότος ἀσπέρμου, τὸν Ἰωσὴφ ἐκ τῆς αὐτοῦ γυναικὸς ἐγέννησεν ὁ Ἰακώβ· παριστᾷ δὲ τῶν δύο φυλῶν τὴν συνάφειαν ὧδε· Ναασσὼν ἄρχων Ἰούδα πρὸς γάμον ἠγάγετο τοῦ μεγάλου Ἀαρὼν τὴν θυγατέρα, λευίτης δὲ ὁ Ἀαρών· αὖθις δὲ καὶ τὸ περσικὸν δέρυ φησὶ τῶν φυλῶν συγχῦσαι τὴν τάξιν διὰ τῆς ἀποκλίσεως· Χριστοῦ δὲ ὄντος θεοῦ καὶ ἀνθρώπου, παρθένου δὲ μητρὸς ἀποκυηθέντος, τῇ προρρήσει πειστέον Ἡσαΐου, ἡ φησὶ, τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;

ΛΟΓΟΣ ΛΔ.

Adhuc ed. carm. XXXVIII.

ΓΕΝΕΑΛΟΓΙΑΙ.

Υἱὸς οὖν Θεοῦ καὶ Θεὸς ὁ Χριστὸς, καὶ Δαβὶδ υἱὸς αὐτὸς, καὶ ἱερεὺς καὶ βασιλεύς. Τῶν ἐξ Ἀδὰμ ἔμπαλιν ἡ κατὰ Λουκᾶν γενεαλογιῶν, ὁ Θεορήμων μνημονεύει Γρηγόριος οὕτως· Ἀδὰμ, Σὴθ, Ἐνὼς, Καϊνὰν, Μαλελεὴλ, Ἰάρεδ, Ἐνὼχ, Μαθουσάλα, Λάμεχ, Νῶε, Σὴμ, Ἀρφαξὰδ, Καϊνὰν, Σάλα, Ἔβερ, Φαλὲγ, Ῥαγαῦ, Σεροὺγ, Ναχὼρ, Θάρα, Ἀβραὰμ, Ἰσαὰκ, Ἰακὼβ, Ἰούδας, Φαρὲς, Ἐσρὼμ, Ἀρὰμ, Ἀμιναδὰβ, Ναασσὼν, Σαλμὼν, Βοὸζ, Ὼβὴδ, Ἰεσσαὶ, Δαβὶδ, Νάθαν, Ματθὰν, Μενὰς, Μαλεὰς, Ἐλιακεὶμ, Ἰωαννὰν, Ἰωσὴφ, Ἰούδας, Συμεὼν, Λευὶ, Ματθὰτ, Ἰωρὶμ, Ἐλιέζερ, Ἰωσὴφ, Ἤρ, Ἐλμωὰδ, Κωσὰμ, Ἐδδεὶ, Μελχεὶ, Νηρεὶ, Σαλαθιὴλ, Ζοροβάβελ, Ῥησᾶ, Ἰωαννᾶν, Ἰούδας, Ὡσὼκ, Σεμεεὶν, Ματταθίας (*), Ἰωσὴφ, Ἰαννὰ, Μελχεὶ, Λευὶ, Ματθὰτ, Ἠλεὶ, Ἰωσὴφ· οὕτω μὲν ὁ Θεῖος Λουκᾶς· ὁ δὲ Ματθαῖος ὁ Θαυμάσιος ἐξ Ἀβραὰμ μέχρι Δαβὶδ κατὰ τὸν Λουκᾶν, ἀπὸ δὲ Δαβὶδ ἐπὶ τοὺς σολομωντιάδας κατάγει οὕτως τὸν εἱρμὸν, Δαβὶδ, Σολομὼν, Ῥοβοὰμ, Ἀβιὰς, Ἀσὰ, Ἰωσαφὰτ, Ἰωρὰμ, Ὀζίας, Ἰωάθαμ, Ἄχαζ, Ἐζεκίας, Μανασσῆς, Ἀμὼς, Ἰωσίας, Ἰεχονίας ὃν εἰς Βαβυλῶνα αἰχμάλωτον ἤγαγον, Σαλαθιὴλ, Ζοροβάβελ, Ἀβιοὺδ, Ἐλιακεὶμ, Ἀζὼρ, Σαδὼχ, Ἀχὶμ, Ἐλιοὺδ, Ἐλεάζαρ, Ματθὰν, Ἰακὼβ, Ἰωσήφ.

(*) In margine suppletur: Μαάθ, Ναγγαὶ, Ἐλεὶμ, Ναοὺμ, Ματταθίας.

ΛΟΓΟΣ ΛΕ. ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΘΑΥΜΑΤΑ

Ed. carm. XXXIX et XL.

ΛΟΓΟΣ Λς. ΤΟΥ ΑΥΤΟΥ ΠΑΡΑΒΟΛΑΙ

Τῶν θείων θαυματουργιῶν καθ' ἕκαστον τῶν ἱερῶν εὐαγγελιστῶν καὶ τῶν παραβολῶν μέγας μνημονεύει Γρηγόριος· φησὶν οὖν, ὅτι Ματθαῖος τοσούτων ἐμνημόνευσε θαυμάτων· τοῦ λεπροῦ, τῆς πενθερᾶς Πέτρου, τοῦ παιδὸς τοῦ ἑκατοντάρχου, τοῦ κλύδωνος τῶν ἀνέμων, τοῦ λεγεῶνος, τοῦ παραλύτου, τῆς αἱμορρούσης, τῆς τοῦ ἄρχοντος θυγατρὸς, τῶν ἐνοδίων τυφλῶν, τοῦ βωβοῦ, τοῦ τὴν ξηρὰν ἔχοντος χεῖρα, τοῦ τυφλοῦ καὶ κωφοῦ, τῶν πέντε ἄρτων καὶ τῶν δύο ἰχθύων, τῆς ἐν θαλάσσῃ πεζοπορείας, τῆς Χαναναίας, τῶν ἑπτὰ ἄρτων, τῆς μεταμορφώσεως, τοῦ σεληνιαζομένου, τῶν Ἰεριχὼ τυφλῶν, τῆς ἀναβλέψεως τῶν τυφλῶν, καὶ τῆς ἰάσεως τῶν χωλῶν τοῦ ἱεροῦ, καὶ τῆς τῶν μιαρῶν ἐξελάσεως, τῆς συκῆς, τοῦ σταυροῦ, τῆς ταφῆς, τῆς ἐγέρσεως. Παραβολὰς δὲ Ματθαῖος ταύτας γράφει, τοῦ πήξαντος τὴν οἰκίαν εὐπαγῶς καὶ τοῦ ψαφαρῶς, τοῦ εἰς τέσσαρας φύσεις πεσόντος σπόρου, τοῦ νοθευθέντος σπόρου, τοῦ νάπυος, τῆς ζύμης, τοῦ ἐν ἀγρῷ θησαυροῦ, τοῦ μαργαρίτου καὶ τοῦ ἐμπόρου, τῆς σαγήνης, τοῦ προβάτου τοῦ πλανηθέντος, τοῦ πικροῦ ὀφειλέτου, τῶν μισθωτῶν καὶ τῆς τοῦ μισθοῦ ἰσομοιρίας τοῖς ἐσχάτοις καὶ πρώτοις, τῶν κακῶν γεωργῶν, τοῦ πεμπομένου υἱοῦ ὑπὸ τοῦ πατρὸς εἰς ἀμπελῶνα, τῶν ἐν τῷ γάμῳ σχεδίων, τῶν δέκα παρθένων, τῆς διανομῆς τῶν ταλάντων, τῶν προβάτων καὶ τῶν ἐρίφων.

ΛΟΓΟΣ ΛΖ.

Ed. carm. XLI.

ΙΩΑΝΝΟΥ ΘΑΥΜΑΤΑ.

Ἰωάννης δὲ τούτων ὁ Θεολόγος ἐμνημόνευσε τῶν Θαυμάτων, τοῦ ἐν Κανᾷ τῆς Γαλιλαίας γάμου, τοῦ υἱοῦ τοῦ βασιλικοῦ, τοῦ ἐπὶ τῆς πηγῆς παραλύτου, τῶν ε΄ ἄρτων, τῆς ἐν Θαλάσσῃ πεζοπορίας, τοῦ ἐκ γενετῆς τυφλοῦ, τοῦ τετραημέρου Λαζάρου, τοῦ πάθους, τῆς ταφῆς, τῆς ἐγέρσεως, τῆς πρὸς τοὺς φίλους ὁμιλίας, τῆς Θωμᾶ ψηλαφήσεως, τῆς μετὰ τὴν ἔγερσιν βρώσεως.

Ed. carm. XLII. et XLIII.

ΛΟΓΟΣ ΛΗ. ΛΟΥΚΑ ΘΑΥΜΑΤΑ.

ΛΟΓΟΣ ΛΘ. ΠΑΡΑΒΟΛΑΙ ΤΟΥ ΑΥΤΟΥ.

Λουκᾶς δὲ τοσούτων αὖθις ἐμνημόνευσε Θαυμάτων, τοῦ δαιμονῶντος, τῆς πενθερᾶς Πέτρου, τοῦ λεπροῦ, τοῦ παραλύτου, τοῦ ξηρὰν ἔχοντος χεῖρα, τοῦ παιδὸς, τοῦ ἑκατοντάρχου, τοῦ υἱοῦ τῆς χήρας, τῆς ἁμαρτωλοῦ γυναικὸς, τῶν ἀνέμων, τοῦ λεγεῶνος, τῆς αἱμορρούσης, τῆς θυγατρὸς Ἰαείρου, τῶν ε΄ ἄρτων, τῆς μεταμορφώσεως, τῆς τοῦ μονογενοῦς ἰάσεως, τοῦ βωβοῦ, τῆς δεσμηθείσης ὑπὸ δαίμονος γυναικὸς, τοῦ ὑδερῶντος, τῶν δέκα λεπρῶν, τοῦ Ἱεριχοῦντος τυφλοῦ, τῶν ἐν τῷ σταυρῷ σημείων, τῆς ταφῆς, τῆς ἐγέρσεως, τῆς εἰς οὐρανοὺς ἀναλήψεως. Παραβολῶν δὲ τοσούτων ἐμνήσθη, τοῦ θέντος ἀσφαλῆ τὴν οἰκίαν ἐπὶ τῆς πέτρας, καὶ τοῦ παθόντος εὖ πλέον καὶ πλέον ἀγαπῶντος, τοῦ πεσόντος εἰς τέσσαρας φύσεις σπόρου, τοῦ

τοῖς λῃσταῖς περιπεσόντος, τοῦ παρὰ καιρὸν θυροκρουστοῦντος καὶ καλὰ κομιζομένου, τοῦ εἰσοικισθέντος πνεύματος σὺν ἄλλοις ἑπτὰ, τοῦ λογιζομένου καθελεῖν τὰς ἀποθήκας καὶ μείζονας οἰκοδομῆσαι, τῶν παρθένων καὶ τοῦ νυμφῶνος, τοῦ καλῶς τοῖς ὁμοδούλοις χρησαμένου, τῆς κοπριζομένης συκῆς, τοῦ νάπυος, τῆς ζύμης, τῶν ἐν γάμῳ πενήτων, τῆς δραχμῆς, τοῦ πλανηθέντος προβάτου, τοῦ ἀσώτου, τοῦ τῶν χρεῶν περικόψαντος οἰκονόμου, Λαζάρου τοῦ πτωχοῦ, τῆς εὐτόνως λιταζομένης χήρας, τοῦ τελώνου καὶ φαρισαίου, τοῦ μερισμοῦ τῶν μνῶν, τῶν κακῶν γεωργῶν καὶ φονευτῶν τοῦ δεσπότου.

ΛΟΓΟΣ Μ. ΜΑΡΚΟΥ ΘΑΥΜΑΤΑ.

Ed carm XLIV.

ΛΟΓΟΣ ΜΑ. ΤΟΥ ΑΥΤΟΥ ΠΑΡΑΒΟΛΑΙ.

Μάρκος δὲ τοσούτων ἐμνήσθη θαυμάτων, τοῦ δαιμονῶντος, τῆς πενθερᾶς Πέτρου, τοῦ λεπροῦ, τοῦ παραλύτου, τοῦ ξηρὰν ἔχοντος χεῖρα, τῶν ἀνέμων καὶ τῆς θαλάσσης, τοῦ λεγεῶνος, τῆς αἱμοῤῥοούσης, τῆς θυγατρὸς Ἰαείρου, τῶν ε΄ ἄρτων, τῆς ἐν θαλάσσῃ πεζοπορείας, τῆς συροφοινικίσσης, τοῦ κωφοῦ καὶ ἀλάλου, τῶν ζ΄ ἄρτων, τοῦ μογιλάλου, τοῦ Βαρτιμαίου, τῆς ἀκάρπου συκῆς, τῶν ἐγγὺς τοῦ ναοῦ τυφλῶν καὶ χωλῶν ἰαθέντων. Παραβολῶν δὲ τοσούτων ἐμνήσθη, τοῦ πεσόντος ἐπὶ τὴν γῆν ἀνίσου σπόρου, τῶν ζιζανίων, τοῦ νάπυος, τοῦ θανόντος κληρονόμου χερσὶν ἀδίκων.

ΛΟΓΟΣ ΜΒ.

Ed. carm. XLV.

ΠΑΡΑΒΟΛΑΙ ΤΩΝ ΤΕΣΣΑΡΩΝ.

Κατὰ τῶν παραβολῶν ὁ θεῖος μνημονεύει Γρηγόριος, ὧν αἱ τέσσαρες εὐαγγελισταὶ συνεγράψαντο· εἰσὶ δὲ αὗται, οἶκος ἐπὶ ψάμμου πηγνύμενος, σπόρος ἄνισος ζιζανίων, σίτος συμφυὴς, ἐμπυρισμὸς τοῦ σὺν ζιζανίοις σπόρου, σίναπι, μαργαρίτης, θησαυρὸς ἐν ἀγρῷ κεκρυμμένος, σαγήνη, ἀμπελὼν, υἱοὶ πεμπόμενοι παρὰ πατρὸς εἰς ἀγρὸν, κακοὶ γεωργοὶ, γάμος παιδὶ παρὰ πατρὸς, γάμου ῥιπτόμενος ῥυπαροχίτων, δέκα παρθένοι γρηγορεῦσαι, αἰφνίδιος ἐπιστασία δεσπότου, ἐρίφων μερισμὸς καὶ πρεβάτων, λύχνος φαίνων ἐπὶ λυχνίας, ἀεὶ προσδεχόμενος θεράπων τὸν δεσπότην, λῃσταῖς περιπεσὼν, ἑπτὰ σὺν ἄλλοις εἰσοικιζόμενον πνεῦμα, συκῆ ἄκαρπος, δραχμὴ, πρόβατον, υἱὸς ἄσωτος, πικρὸς δεσπότης ἀχαρίστῳ δούλῳ, συνετὸς οἰκονόμος, πρακτιχρῶν, Λάζαρος πένης, φαρισαῖος καὶ τελώνης, χήρας ἀξίωσις εὔτονος, ἄρτος τέκνοις διδόμενος καὶ ἰχθὺς, ἀποθῆκαι σφραγιζόμεναι, καὶ πλούσιος ἐλπίδων προαρπαζόμενος, ταλάντων διανομὴ, μνῶν μερισμὸς, δοῦλος ἐπαινούμενος, ὡσαύτως ἄλλος κατακρινόμενος.

ΛΟΓΟΣ ΜΓ.

Ed. carm. LIV.

ΕΙΣ ΤΗΝ ΕΝ ΤΑΙΣ ΝΗΣΤΕΙΑΙΣ ΣΙΩΠΗΝ.

71. Μέλπω δ' οὐ Τροίην οὐκ εὔπλοον οἷά τις Ἀργώ·
Ὀδυσσεὺς ὁ λαερτίαδης μετὰ τὸ πορθῆσαι τὸ Ἴλιον εἰς τὴν Ἑλλάδα γῆν ὑποστρέφων, πολλὰ πλανηθεὶς, γυμνὸς,

ναυηγὸς εἰς Φαίακας ἐλθὼν, τῇ θυγατρὶ Ναυσικᾷ τοῦ Ἀλκινόου παρθένῳ τυγχανούσῃ, καὶ λόγοις αὐτὴν συνετοῖς καταιδέσας ὑπ' αὐτῆς τοῖς Φαίαξι δείκνυται καὶ τῷ βασιλεῖ Ἀλκινόῳ, ξένος μὲν καὶ γυμνὸς, ὅμως αἰδέσιμος καὶ τῶν ἄλλων ἐντιμότατος· γενόμενος δὲ κατὰ τὸ συμπόσιον, ἤκουσε τῶν ἐν Τροίᾳ συμφορῶν λυριζομένων καὶ ἀριστειῶν· πυθόμενος δὲ τοῦ θυρείου χάριν ἵππου εἴ τι τούτοις ἔγνωσται, μαθὼν ὅτι ναὶ, καὶ λεγόντων ἀκούσας, θακρυχέων ἔστενε βαρὺ, τοῖς ὁρῶσιν ἔκπληξιν ἐμποιῶν· μὴ τοῦτο πράττειν δὲ πρὸς ἐκείνων παραινούμενος, οὐ γὰρ καθήκει τὴν εὐωχίαν θάκρυσι πολυστόνοις ἀνασκευάζειν, μόλις ἐξεῖπε τὸ ἀπόῤῥητον, ὡς αὐτὸς ἐστὶν Ὀδυσσεὺς ἄχρι δεῦρο φερόμενος πλάνῃ.

Οὐδὲ συὸς κεφαλὴν, οὐ πολὺν Ἡρακλέα. 72.

Κυρῆτες καὶ Αἰτωλοὶ περὶ χείρου κεφαλῆς ἀλλήλους κατέκοπτεν. Κεῖται ἐν τῷ ιε' λόγῳ ἡ ἱστορία. Ἡρακλῆς δὲ τοὺς δώδεκα διήνυσεν ἄθλους. Κεῖται ἐν β' λόγῳ.

Καὶ πῦρ ξεῖνον ὄλεσσε θυεπόλου ἐν προτέροισι 99.

Παῖδας μὴ καθαρῶς ἁπτομένους θυσίης. 100.

Κεῖται ἐν τῷ ιβ' λόγῳ.

Τὴν δ' ἱερὰν ποτ' ἄκουσα θεοῦ μεγάλοιο κιβωτόν, 101.

Ὡς καὶ κλινομένη κτεῖνε τὸν ἁψάμενον.

Κεῖται ἐν τῷ ιβ' λόγῳ.

ΛΟΓΟΣ ΜΔ.

ΕΙΣ ΤΗΝ ΣΙΩΠΗΝ.

Πυνθάνομ' ὡς Σαμίων τίς ἄναξ φθόνον ὡς ἀρκέσαιτο,
Δαίσας εὐθρομίην, μήσατο τοῖσιν ἄχος·
Πόρκην ὃν φιλέεσκε πατρῴϊον, ἔμβαλε πόντῳ.

Πολυκράτης ὁ τῶν Σαμίων βασιλεὺς εὐτυχὴς ὢν, καὶ πάντα εὐδρομῶν, φθονηθεὶς τὴν εὐδρομίαν, οὐδέ ποτε γὰρ ἐλυπήθη, βουλόμενος ἑαυτῷ λύπην περιποιῆσαι, τὸν πατρῷον δακτύλιον ὃν ἐφίλει λίαν, εἰς θάλασσαν ἔρριψεν· ἐδόκει δὲ λυπεῖσθαι περὶ τούτου, καὶ γὰρ ἦν αὐτῷ προσφιλὲς τὸ βιβλίον *· ἰχθὺς οὖν ὑπεδέξατο τὸν δακτύλιον, ὃς ἐδεσμήθη λίνῳ· τὴν μὲν οὖν ἄγραν ὁ ἰχθυοβόλος τῷ βασιλεῖ, τῷ θεράποντι δὲ τὸν ἰχθὺν ὁ βασιλεὺς παρέσχεν· ἀνατεμὼν δὲ καὶ δακτύλιον εὑρὼν ἔνδον, τὸν μὲν ἐν τῇ χειρὶ πάλιν εἶχεν, αὐτὸν δὲ τὸν ὑποδεξάμενον ἰχθὺν, ἡ τοῦ βασιλέως θυγάτηρ ὑπεδέξατο· οὕτως ἐκείνῳ καὶ βουλομένῳ περ οὐ συνέβη λυπηθῆναι.

* al. manu φιλίον.

ΛΟΓΟΣ ΜΕ. ΛΟΓΟΣ Μς.

ΕΠΟΣ ΗΡΩΪΚΟΝ ΚΑΙ ΙΑΜΒΕΙΟΝ.

Γέλως ὁ Πρωτεὺς εἰς κλοπὰς μορφωμάτων.

Πρωτεὺς θρᾷξ μὲν ἦν τὸ γένος, εἶχε δὲ υἱοὺς Μῶλον καὶ Τηλέγονον· τούτους λῃστὰς ὄντας ὁ Ἡρακλῆς ἐλθὼν ἀπέκτεινεν, ἀπεχθόμενος διὰ τοὺς Γηρυόνου βοῦς· τοῦτον οὖν ἀθυμοῦντα τὸν Πρωτέα διὰ τὴν ἀποβολὴν τῶν τέκνων, καὶ ῥίψαντα ἑαυτὸν εἰς τὴν θάλασσαν, οἱ θεοὶ ἐλεήσαντες ἀπηθανάτισαν, καὶ γέγονεν ἐνάλιος δαίμων, καὶ ἔρχεται καὶ οἰκεῖ τὴν Φαρίαν νῆσον· οὗτος λέγεται καὶ μετὰ φωκῶν ἐνδιαιτᾶσθαι· οὗτος καὶ τοῦ Ἀλεξάνδρου τὴν Ἑλένην ἔλαβεν ἐλθόντος ἀπὸ τῆς ἑλλάδος, καὶ ἔδωκεν αὐτῷ τὸ εἴδωλον τῆς Ἑλένης· ὕστερον δὲ Μενελάου μετὰ τὸν τρωϊκὸν πόλεμον μαθόντος, ὡς εἰς Αἴγυπτον ἐστὶν ἡ Ἑλένη, καὶ ἐλθόντος παρὰ τὸν Πρωτέα, δέδωκεν αὐτὴν αὐτῷ· λέ-

γεται δὲ αὐτὸς ὁ Πρωτεὺς μεταμορφοῦσθαι πρὸς τοὺς ἐντυγχάνοντας, καὶ ποτὲ μὲν φαίνεσθαι τοιόσδε, ποτὲ δὲ τοιόσδε, καὶ γὰρ καὶ μάντης ἦν, καὶ αὐτὴν δὲ τὴν Φάρον μετεμόρφου τοῖς πλησιάζουσιν, ἵνα μὴ αἰτῆται λέγειν μαντείας καὶ προγνώσεις· ὁμοίως δὲ καὶ ὁ Μελάμπους μάντης ἦν καὶ ἱεροφάντης· οὗτος ἐξέφηνε τὰ ἱερὰ τὰ ἐν Αἰγύπτῳ τοῖς Ἕλλησιν, ἅπερ ἐμιμήσαντο Ἕλληνες· καὶ οὗτος δὲ τῶν μεταμορφουμένων ὡς μάντης ἦν· οἱ γὰρ μάντεις οὕτω τηλικαύτην εἶχον φησὶ δύναμιν, ὥστε μεταμορφοῦσθαι εἰς ὅπερ ἂν θελήσωσιν, ὥστε μὴ γινώσκεσθαι παρὰ τῶν προσδιαλεγομένων· λέγει δὲ τοῦτον ὁ θεῖος Γρηγόριος παρακατιὼν ὧδε μεμνημένος δι' ἰαμβείων.

Πρωτεὺς σοφιστὴς εἰς κλοπὰς μορφωμάτων
Ἢ καὶ Μελάμπους ἤ τις ἄλλος ἄστατος·
Χριστὸς ἐπήλυθεν ἅλκαρ ἐμεῖο,
Ὃς καὶ μαθητὰς ἐκ ζάλης ἐρύσατο.

Καὶ πολλοὺς παθέων καὶ δαιμονίων ἀπὸ δεσμῶν, ἠλευθέρωσε, τῷ θελῆσαι δοὺς χάριν. Κεῖνται αἱ παροῦσαι ἱστορίαι, ἐν τῷ α΄ λόγῳ.

Δόλοις ἔκλεψε τὸν γένους ἀρχηγέτην.

Κεῖται ἐν τῷ β΄ λόγῳ. (1)

(1) Ne quid interim dicam de hoc et de praecedente Gregorii carmine, Protei certe et Melampodis historia iisdem propemodum verbis legitur apud Eliam cretensem in scholiis ad quartam eiusdem Gregorii homiliam.

ΛΟΓΟΣ ΜΖ.

Ed. carm. LIII.

ΕΝΟΔΙΑ.

Ἐν τούτοις τοῖς ἐνοδίοις λόγοις ἐν σχήματι εὐχῆς ὁ Θεῖος Γρηγόριος πασῶν τῶν ὑπὸ Θεοῦ γεγενυιῶν εὐεργεσιῶν τοῖς ἰσραηλίταις μέμνηται, ὡς πυρὶ καὶ νεφέλῃ τούτους καθωδήγησεν ὁ Θεὸς, ὅτι τὴν ἐρυθρὰν αὐτοῖς τεμὼν θάλασσαν ὡς διὰ ξηρᾶς διήγαγεν, ὅτι τὸν Φαραὼ πανστρατιᾷ κατεπόντισεν, ὁμαλὴν τὴν ὑγρὰν καὶ ποδίβατον τοῖς προσφιλέσι κατασκευάσας, οὐρανόθεν δὲ αὐτοῖς ἄρτον ὤμβρησε ξένον καὶ ἀσυνήθη, πέτραν ἀκρότομον διέῤῥηξε καὶ πηγὰς ἀνέβλυσε, τῶν ἐχθρῶν τὴν δύναμιν ἔτρεψε χερσὶν σταυροτύποις Μωϋσέως, τῇ σελήνῃ καὶ τῷ ἡλίῳ τὸν δρόμον κατέσχε δι' εὐχῆς Ἰησοῦ, τὰ ἰορδάνεια ῥεῖθρα τοῖς ἐπιγενομένοις ὑπεχώρησεν, ἡ δὲ ὁδὸς ῥᾳδία κατεσκευάσθη· αὐτὸς δὲ τοῖς ἀνθρώποις ὁμοιωθεὶς, τὴν οὐρανίαν ὑπέδειξεν ἄνοδον, ἀναστραφεὶς ἐπὶ γῆς, εἰς οὐρανὸν κυφισθεὶς, ἥξει τοῖς ἐπιθυμοῦσι λαμπρότερον ἢ τὸ πρὶν, ὃς καὶ πελάγους ἐπέβη, πάντος δὲ τοῖς ποσὶν ὑπεχώρησε τούτων· ἑκάστη τῶν ἱστοριῶν ἐν τοῖς ἤδη λεχθεῖσι προτέτακται· φησὶν οὖν ὁ Θεῖος Γρηγόριος ἱκετευτικῶς· Χριστὲ βασιλεῦ, πύριπε στύλε, τοῦ Γρηγορίου τῇ πλανωμένῃ ψυχῇ διὰ τῆς ἐρήμου τοῦ βίου τῆς πικροτάτης, ἐπίσχες τὸν Φαραὼ καὶ παῦσον, τοῦτ' ἔστι τὸν διάβολον τὸν κακὰ βουλευόμενον, καὶ τοὺς πικροὺς ἐργοδιώκτας, τοῦτ' ἔστι τοὺς δαίμονας, καὶ τοῦ πηλοῦ με τῆς ἁμαρτίας καὶ τῆς πλινθείας τῆς ῥυπαρᾶς ἐργασίας ἀπάλλαξον, πληγαῖς ἀπρεπέσι τοὺς ἐμοὺς ἐχθροὺς ὑποτάξας, οἷς πλήττονται ταῖς καθαραῖς καὶ θεοειδέσιν ἐννοίαις, καὶ

τῇ τῶν ἐντολῶν ἐργασίᾳ· ταῦτα γὰρ τοῖς δαίμοσι μάστιγες εἰσὶν ἀπρεπεῖς· ὁμαλὴν δὲ παράσχοις ἐμοὶ τὴν βιωτικὴν, δι' ἧς βαδίζω πρὸς τὴν πατρίδα τὴν θείαν κατεπειγόμενος· εἰ δέ με καταλάβῃ σπεύδων ὁ ἐχθρὸς, ἀλλὰ σύμμει καὶ τὴν θάλασσαν διατμήξειας, ἄγων δι' ἧς εἶδας ἀσυνήθους καὶ θειοτέρας ὁδοῦ· ἰσχυρὰν δὲ τὴν ἄβατον διαπεράσειμι τρίβον, σπεύδων εἰς τὴν ἐπηγγελμένην γῆν, τοῦτ' ἔστι τὴν βασιλείαν τῶν οὐρανῶν, τὸν ἐμὸν κλῆρον ὃν ὑπέσχου καὶ κατένευσας· καὶ ποταμοὺς σήσειας, ἐμπαθῆ ῥεύσεως ἀπογεννήματα· καὶ πολέμους ἀλλοφύλων, ἐνθυμήσεων πονηρῶν εἰς φυγὴν τρέψειας, τὸ πολυστένακτον ἀμβλύνας τῆς ἁμαρτίας βέλος· εἰ δὲ τῆς γῆς ἐπιβῶ τῆς ἱερᾶς τοῦ σώματος ἀπολυθεὶς, καὶ τὰ προειρημένα παρελθὼν, εἰς τὴν τῶν πράξεων καταντήσας χώραν καὶ κληρονόμος ἀναδειχθεὶς, Χριστὲ βασιλεῦ, φῶς τῶν ἀνθρώπων, ἐκεῖσε διηνεκέσιν ὕμνοις ἀσιγήτως δοξολογήσω.

ΛΟΓΟΣ ΜΗ.

ΠΕΡΙ ΑΡΧΩΝ.

Ed. aream. I.

Ὡς θῆρες Χριστοῖο κατ' οὔρεος ἀκροτόμοιο 11.
Λαμπομένου, Μωσῆι νόμον τ' ἐνὶ πλαξὶ γράφοντος, 12.
Αὐτίκα ῥηγνυμένοισιν ὑπὸ σκοπέλοισι δαμεῖεν. 13.

Τὸν νόμον τοῖς υἱοῖς Ἰσραὴλ διδοὺς ὁ Θεὸς, προσέταξε τῷ Μωϋσῇ τὸν λαὸν καθαγνίσαι καὶ τοῦ ὄρους ὑποσκάτω στῆσαι, καὶ τῆς θείας ἀκοῦσαι φωνῆς, μὴ δὲ τῇ νεφέλῃ προσεγγίσαι ἢ προσαναβῆναι τῷ ὄρει· κἂν θηρίον δὲ θίγῃ, κινδυνεῦσαι λιθοβοληθῆναι· Μωϋσεῖ δὲ προσέταξεν ὁ Θεὸς, εἴσω χωρῆσαι τῆς νεφέλης καὶ τοῦ θείου γνόφου·

τὸ γὰρ ὄρος ἐκαίετο πυρὶ, διότι κύριος ἐν πυρὶ κατέβη καὶ νεφέλῃ· καὶ Μωϋσῆς ἐντὸς γενόμενος τοῦ γνόφου καὶ τῆς νεφέλης, τὰς θεοτύπους ἐπεδέξατο πλάκας, ἐν αἷς ἦν γεγραμμένα τὰ προστάγματα τοῦ Θεοῦ καὶ τὰ δικαιώματα, λόγοι δέκα· Γρηγόριος τοίνυν ὁ Θεολόγος περὶ τῆς ἁγίας τριάδος εἰπεῖν βουλόμενος, εἴργει μὲν τῷ λόγῳ τοὺς ἀμυήτους· εἴ τι δὲ θηριῶδες καὶ ἀνήμερον ἀποδιώκει, Μωϋσῆν μιμούμενος καὶ Ἡσαΐαν εἴ τινες τῷ λαῷ διαμαρτυρόμενοι, πρόσεχε φησὶν οὐρανὲ, καὶ λαλήσω, καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου· ὁ δὲ, ἄκουε οὐρανὲ, καὶ ἐνωτίζου ἡ γῆ, ὅτι κύριος ἐλάλησε· καὶ ταῦτα μὲν Γρηγόριος, καὶ πλέον τὸ πνεῦμα φησὶ τὸ ἅγιον τοῦ Θεοῦ, σὺ δέ μοι τὸν νοῦν καὶ τὴν γλῶσσαν ἀνάστησον, τὴν σάλπιγγα τῆς ἀληθείας τὴν μεγαλόφωνον· ὡς ἂν ἐμοῦ θεολογοῦντος, τέρπωνται πάντες κατὰ ψυχὴν ὁλικῶς ὅλῃ τῇ θεότητι συναφθέντες.

ΛΟΓΟΣ ΜΘ.

Ed. arcan. II.

ΠΕΡΙ ΥΙΟΥ.

62. Ἴν βροτὸς ἀλλὰ Θεός.

Ἄνθρωπος ὁ Χριστὸς καὶ θεὸς, τὴν μὲν πρώτην γέννησιν ἐκ πατρὸς ἔχων ἀπαθῶς, τὴν δευτέραν δὲ ἐξ ἡμῶν, καὶ ταύτην οὐκ ἀπό τινος ῥεύσεως, ἐκ πνεύματος δὲ ἁγίου καὶ Μαρίας τῆς παρθένου· ἐξ ἡμῶν δὲ λέγεται, καὶ γὰρ ἄνθρωπος ἡ παρθένος θεὸν σεσαρκωμένον ἀμιάντως τεκοῦσα, καὶ συνουσίας ἐκτὸς ἀνδρός.

Δαβὶδ γένος ἀλλ' Ἀδάμειο πλάστης.

Τῷ Δαβὶδ ὁ θεὸς ἐπηγγείλατο τὸν Χριστὸν ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ ἀναστήσειν κατὰ σάρκα· Δαβὶδ δὲ βασι-

λους Ἰσραὴλ υἱὸς Ἰεσσαὶ, βηθλεμίτης φυλῆς Ἰούδα· πρῶτος οὖν Ἰακὼβ φησὶν, οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ οὗτος προσδοκία ἐθνῶν· υἱὸς οὖν Δαβὶδ ὁ Χριστὸς κατὰ σάρκα, ὁ πλάσας Ἀδὰμ, Ἀδὰμ δὲ πρῶτος ἄνθρωπος ἐκτίσθη κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν.

Καὶ φάτνη μὲν ἔδεκτο. 65.

Τοῦ δόγματος παρ' Αὐγούστου Καίσαρος ἐξελθόντος, τὴν οἰκουμένην ὅλην ἀπογράψασθαι, καὶ πάντων εἰς τὴν ἰδίαν πατρίδα κατεπειγομένων, Ἰωσὴφ υἱὸς ὢν Δαβὶδ ἀπὸ Ναζαρὲθ εἰς Βηθλεὲμ ἀνῆλθεν εἰς πόλιν Δαβὶδ, ἀπογράψασθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ οὔσῃ ἐγκύῳ· καὶ ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτὴν, καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτὸν, καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι.

Μάγοις δέ τε ἡγεμόνευεν

Ἀστὴρ, δωροφόροι δ' ἄρ ἔβαν, καὶ γούνατ' ἔκαμψαν. 66.

Χριστοῦ γεννηθέντος, μάγοι παρεγένοντο ἀπὸ ἀνατολῶν ὑπὸ ἀστέρος ὁδηγούμενοι, καὶ Χριστὸν προσκυνήσαντες, δῶρα παρέσχον αὐτῷ χρυσὸν καὶ λίβανον καὶ σμύρναν.

Ὡς βροτὸς ἦλθ' ἐπ' ἀγῶνα, ὑπέρσχεθε δ' ὡς ἀθάμαρτος 67.

Πειραστὴν τρισσοῖσι παλαίσμασιν. 68.

Τρισὶ προσβολαῖς ὁ διάβολος Χριστὸν πειράζει, πεινῶντι λίθους εἰς ἄρτον προβάλλεται, τὰς βασιλείας τῆς γῆς αὐτῷ δείκνυσι, ταῦτα παρέξειν εἴ γε πεσὼν προσκυνήσει, διαβεβαιούμενος· εἰς δὲ τὸ πτερύγιον ἀγαγὼν τοῦ ἱεροῦ, βαλεῖν κάτω φησὶν, εἴπερ υἱὸς εἴη τοῦ Θεοῦ· πάντων δὲ διαμαρτὼν, εἴχεται κατησχυμμένος. Κεῖται ἐν τῷ γ' λόγῳ ἡ ἐξήγησις.

Εἶδαρ ὑπέστη – Θρέψε δὲ χιλιάδας.

Τροφῆς μὲν ὡς ἄνθρωπος μετέσχεν ὁ σωτὴρ, ἀλλ' ἐξ ἄρτων πέντε χιλιάδας ἐκόρεσεν. Κεῖται ἐν τῷ γ' λόγῳ.

69. Ὕδωρ τ' εἰς οἶνον ἄμειψεν.

Χριστὸς ἐν Κανᾷ γενόμενος τῆς Γαλιλαίας, εἰς γάμον ἐλθὼν, καὶ λείψαντος οἴνου, τοῦτο τῆς μητρὸς αὐτῷ θαυμασφησάσης, τοῖς παρεστῶσι τὰς ὑδρίας ὕδατος πληρῶσαι προστάξας, οἶνον ἐξ ὕδατος κιρνᾷν ἱλαρὸν τοῖς δαιτυμόσι καὶ μάλα ἡδὺν παρεσκεύασεν.

70. Λύσατο, ἀλλ' ἐκάθηρεν ἁμαρτάδας, ἀλλ' ἐβοήθη,

71. Πνεύματι βρονταίης φωνῆς ὕπο, υἱὸς ἀνάρχου.

Χριστὸς ἐν Ἰορδάνῃ βαπτισθεὶς ὑπὸ Ἰωάννου, παρὰ μὲν πατρὸς ὡς υἱὸς ἀγαπητὸς μεμαρτύρηται, πνεῦμα δὲ τὸ παναγιον σωματικῷ εἴδει κατῆλθεν ἐπ' αὐτὸν ὡσεὶ περιστερά. Κεῖται ἐν τῷ β' λόγῳ.

72. Ὡς βροτὸς ὕπνον ἔδεκτο, καὶ ὡς θεὸς εὗνασε πόντον.

Χριστὸς καθεύδων ἐν τῷ πλοίῳ, κλύδωνος τοὺς μαθητὰς ἐκταράττοντος ἀναστὰς, ἐπετίμησε τοῖς ἀνέμοις· ἡ δὲ θάλασσα γαληνῶς ὑφήπλωσε τῷ προστάγματι τὰ νῦν.

73. Γοῦνα κάμεν, παρέτοις δὲ μένος καὶ γοῦνατ' ἔπηξεν.

Χριστὸς κεκμηκὼς ἀπὸ τῆς ὁδοιπορίας, παρὰ τὴν πηγὴν τὴν ἐν Συχὲμ καθίσας, διειλέχθη σαμαρείτιδι· ταύτῃ δὲ προειπὼν τὰ πεπραγμένα, καὶ ὑπ' αὐτῆς μηνυθεὶς τοῖς πολίταις, πρὸς αὐτὸν ἀφικομένοις τὸ εὐαγγέλιον τῆς βασιλείας ἐκήρυξεν, αὐτός τε γόνατα παραλελυμένα ἐστερέωσε, καὶ χεῖρας ἀνειμένας ἐνίσχυσε, καὶ μέλη ἔπηξε λελυμένα, καὶ χωλοὺς ἀνώρθωσε, καὶ πάσαν ἐθεράπευσε νόσον.

74. Εὔξατο· τίς δ' ἐσάκουσε λιταζομένων ἀμεννηῶν.

Χριστὸς σταυροῦσθαι μέλλων προσηύξατο, πάτερ παρελ-

δέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· πλὴν οὐχ' ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ· ηὔξατο μὲν ὡς ἄνθρωπος· τῶν ἀσθενῶν δὲ εὐχομένων εἰσήκουσεν ὡς θεὸς Χριστὸς τὸ συναμφότερον.

Θῦμα Χριστὸς, καὶ ἀρχιερεύς· αἷμα θεῷ ἀνέθηκε, νόσμον ἐκάθηρεν· ἐσταυρώθη, τὴν ἁμαρτίαν καθήλωσε· νεκροῖς συνανεμίχθη, ἀλλ' ἀνέστησε τοὺς νεκρούς· ἐκεῖνα μὲν τῆς σαρκὸς, ταῦτα τῆς θεότητος· μὴ τοίνυν φησὶ Γρηγόριος ὁ θεσπέσιος, τοῖς ἀνθρωπίναις πάθεσι τὴν Χριστοῦ καθυβρίσῃς θεότητα.

ΛΟΓΟΣ Ν.

ΠΕΡΙ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ.

Ed. arcan. III.

Ὅτε τὴν σωτήριον Χριστὸς οἰκονομίαν πληρώσας ἀνελήφθη, τὸ παράγιον πνεῦμα τοῖς μαθηταῖς ὡς ἐπηγγείλατο παρὰ τοῦ πατρὸς ἐν ἡμέρᾳ πεντηκοστῆς ἐξαπέστειλεν· ὤφθη δὲ ὡς ἦχος πνοῆς βιαίας φερομένης, καὶ ἐπλήρωσε τὸν οἶκον οὗ ἦσαν καθήμενοι, καὶ τούτοις ὤφθησαν διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς πληρωθεῖσι τοῦ πνεύματος τοῦ ἁγίου· ἐκάθισε γὰρ ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ ἐλάλουν γλώσσαις τὰ μεγαλεῖα τοῦ θεοῦ· παρῆσαν δὲ τῶν ἀπὸ παντὸς ἔθνους εὐλαβεῖς ἐν Ἱερουσαλὴμ, οἵ τινες ἀκούοντες ἐδόξαζον τὸν θεὸν, καὶ ἐπίστευσαν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Ἐξ ἑνὸς ἀρχεγόνοιο δάμαρ καὶ Σὴθ ἐγένοντο, 38.
Οὐ τεκτὴ τεκτός τε, βροτοὶ γέ μεν ἔσκον ὁμοίως. 40.

Τὸν Ἀδὰμ ὁ θεὸς πλάσας ἀπὸ τῆς γῆς, καὶ ἐμφυσήσας αὐτῷ πνεῦμα ζωῆς, εἰς ἔκστασιν αὐτὸν ἀγαγὼν καὶ ὕπνον, τῶν πλευρῶν ἀφελόμενος αὐτοῦ μίαν, τὴν Εὔαν ἐθη-

μισύργησεν· ἐξ αὐτοῦ δὲ τοῦ Ἀδὰμ κατὰ συνάφειαν τῆς Εὔας, καὶ ὁ Σὴθ ὑπέστη· καὶ ἡ μὲν Εὔα οὔτε γεννητὴ καὶ ἐξ Ἀδὰμ, ὁ δὲ Σὴθ γεννητὸς καὶ αὐτὸς ἐξ Ἀδὰμ· τῶν δὲ δύο τὴν ὕπαρξιν ἐξ Ἀδὰμ ἐσχηκότων, οὐκ ἴσως μέντοι· λέγεται μὲν οὐ τεκτὴ ἡ γυνὴ, καὶ τεκτὸς ὁ Σὴθ, ἄμφω πατρὸς ἑνὸς γεγονότες.

ΛΟΓΟΣ ΝΑ.

ΠΕΡΙ ΚΟΣΜΟΥ· ΕΣΤΙ ΔΕ Ο ΛΟΓΟΣ ΕΞΗΓΗΜΑΤΙΚΟΣ.

ΛΟΓΟΣ ΝΒ.

Ed. arcan. V.

ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ.

Τὰς ἑλλήνων δόξας ὁ Θεολόγος ἀνατρέπων Γρηγόριος, περὶ τῆς προνοίας βουλόμενος ἀποδεῖξαι, τὸ πᾶν δὲ τοῖς μεγάλοις κινούμενον εἴαξι τοῦ Θεοῦ, τῆς τούτων τερθρείας τὰ ἀπηχήματα προσφέρει συντόμως καὶ δι' αἰνιγμάτων· οὗτοι γὰρ τοῖς ἄστρασι τὴν πρόνοιαν ἀπονέμουσιν, ὅθεν τύχας καὶ εἱμαρμένας καὶ πεπρωμένας μοίρας καὶ γεννήσεις παρεισάγουσι· Γρηγόριος οὖν ὁ Θαυμάσιος εὐσκόπως τούτων τὸ φρόνημα βάλλει· καλὸν δὲ καὶ τὸ βραχέα περὶ ἄστρων διαλεχθῆναι, ὅθεν ἐκεῖνοι πρὸς τὰς τοιαύτας δόξας ἀπισφάλησαν· φησὶν οὖν ὁ θεῖος ἀνήρ.

27. Τείρεα τείρεσίν ἐστιν ἐναντία, τίς δ' ἄρ' ὁ μίξας;
28. Ὃς γὰρ δὴ συνέδησε, καὶ ἣν ἐθέλησιν ἔλυσεν·
29. Εἰ δὲ θεὸς, πῶς πρῶτον ἅμα θεὸν ἐξετίναξεν;
30. Εἰ μὴ καὶ θεὸν αὐτὸν ὑπ' ἄστρασι σοῖσιν ἐλίξῃς
31. Εἰ δ' οὔ τις κρατέων, πῶς σήσεται; οὐ γὰρ ὄπωπα·
32. Κεῖναι μὲν τοιοῖσι λόγοις θεὸν ἐκτὸς ἔχειεν·

Ἢ γὰρ δὴ θεός ἐστιν, ἢ ἀστέρες ἡγεμονῆς. 33.

Ἑλλήνων οἱ σοφοὶ πολλὰς περὶ πολλῶν δόξας ἐκτίμενει, καὶ μάλιστα περὶ τῶν ἄστρων, τῶν πολλῶν ἀπεσφάλησαν· ἐκεῖνοι δὲ ταῖς εἰμαρμέναις συνηγορῆσαι ἐθέλοντες, ὧδε περὶ ἀστέρων ἐξέθεντο· λέγουσιν Ἀριάδνης τινὰ στέφανον καὶ Βερενίκης πλόκαμον, τοιαῦτα τινὰ παραληρεῖντες· Ἀριάδνη φησὶ θυγάτηρ Μίνωος ὑπῆρχε τοῦ Κρητῶν βασιλέως, ἐλθόντος Θησέως ἐπ' ἀναιρέσει τοῦ Μινωταύρου· ἐκ τοῦ οὖν Θησέως ἔλαβεν αὐτὴν ὁ Διόνυσος καὶ ἀνήγαγεν αὐτὴν ἐν τῷ Νάξῳ, καὶ συνεμίγη αὐτῇ, καὶ πρὸς τιμὴν αὐτῆς στέφανον ἐν τῷ οὐρανῷ δι' ἄστρων ὑπεζωγράφησεν. Ἡ δὲ τοῦ πλοκάμου τῆς Βερενίκης ἔστιν αὕτη· Βερενίκη γυνή τίς ἦν τοῦ ἐν Ἀλεξανδρείᾳ Πτολεμαίου τοῦ εὐεργέτου καλουμένου· τοῦ οὖν ἀνδρὸς αὐτῆς Πτολεμαίου ὄντος ἐν πολέμοις, ηὔξατο ὅτι εἰ ὑποστρέψει ἄτρωτος, τὸν πλόκαμον ἀποκείρασα τὸν ἑαυτῆς, ἀναθήσει ἀνάθημα ἐν τῷ ἱερῷ, καὶ ἀνέθηκεν ἡ Βερενίκη· Κόμων οὖν τίς ἦν ἀστρονόμος ἐπὶ τῶν ἑαυτῆς χρόνων, καὶ πρὸς κολακείαν αὐτῆς φησὶν ὅτι αἱ θεαὶ τὸν πλόκαμον τοῦτον ἐν ἄστροις ἐπέθηκαν· καὶ νῦν μέν ἐστι τίς βοτρυειδὸς τεθεὶς ἀστέρων ἐν τῷ οὐρανῷ, ὃ καλοῦσι πλόκαμον Βερενίκης. Ὁμοίως φασὶ περὶ κύκνου· Ζεὺς ἐρασθεὶς, ὡς μὲν τινὲς φασὶ, τῆς Νεμέσεως, οἱ δὲ τῆς Λήδας, βουλόμενος συγγενέσθαι καὶ μὴ ὁραθῆναι ὑπὸ τῆς Ἥρας, ἐξωμοιώθη κύκνῳ καὶ συνεγένετο τῇ ἐρωμένῃ· νῦν οὗτος ὁ κύκνος κατεστηρίχθη ἐν τῷ οὐρανῷ, καὶ ἔστι φησὶν ὑποζωγραφηθεὶς καὶ ἄστρον ὁ κύκνος. Περὶ δὲ ταύρου φασὶ· ταῦρος τίς ὑπὸ τοῦ Ποσειδῶνος ἀνεδόθη περὶ τὴν Ἑλλάδα· οὗτος ἐλυμαίνετο τὴν χώραν καὶ ἐσίνετο πολλά· ἐπὶ τοῦτον ἐλθὼν ὁ Θησεὺς ἀνεῖλεν αὐτόν· καὶ βουλόμενοι οἱ θεοὶ

φησὶ μέγα δεῖξαι τοῦ Θησέως τὸ ἔργον, καὶ θεραπεῦσαι καὶ τὸν Ποσειδῶνα, κατεστήριξαν τὸν ταῦρον ἐν τῷ οὐρανῷ, καὶ ἔστι δι' ἀστέρων ὑποζωγραφηθείς. Περὶ δὲ λέοντος φασὶ, ὅτι λέων τίς ζῶον ἄγριον ἦν ἐν τῇ Νεμαίᾳ, χώρα δὲ αὕτη τῆς Πελοποννήσου· οὗτος οὖν ὁ λέων ἐλυμαίνετο τοὺς ἐν τῇ χώρᾳ· Εὐρυσθεὺς οὖν βασιλεύων τῶν Μυκήνων καὶ μηνιῶν τῷ Ἡρακλεῖ, πέμπει τὸν Ἡρακλέα ἐπ' ἀναιρέσει τοῦ λέοντος, καὶ ἐλθὼν ὁ Ἡρακλῆς ἀνεῖλεν αὐτὸν· οἱ οὖν θεοί φησι βουλόμενοι τὸν ἀγῶνα τοῦ Ἡρακλέους ἐπίδοξον ποιῆσαι, δι' ἀστέρων αὐτὸν τὸν λέοντα ἐν τῷ οὐρανῷ ἐζωγράφησαν. Περὶ δὲ τοῦ ὀφιούχου φασὶ· οὗτος ὁ ὀφιοῦχος Ἀσκληπιός ἐστιν ὁ τῆς ἰατρικῆς εὕρετος, σύμβολον δὲ ὁ ὄφις τοῦ ἀγήρω· λέγεται γὰρ ἀποδύεσθαι τὸ γῆρας ὁ ὄφις, καὶ ἀνανεοῦσθαι· ἐπεὶ οὖν ὁ Ἀσκληπιὸς διὰ τῆς ἰατρικῆς ἀνανεοῖ τὰ ἀνθρώπινα σώματα, ποιοῦσιν αὐτὸν μετὰ τοῦ δράκοντος· θέλοντες οὖν αὐτὸν φησὶν οἱ θεοὶ ἀντὶ ἀγάλματος ἀνιερῶσαι, δι' ἄστρων ἀνέθηκαν ἐν τῷ οὐρανῷ. Περὶ Οὐρίωνος, φασὶν· Οὐρίων οὗτος ἐστὶν ὁ καταστηριχθείς, ἔστι δὲ οὗτος ὁ ἐκ τοῦ οὐρῆσαι τοὺς θεοὺς ἐν τῇ βύρσῃ τοῦ βοὸς τοῦ σφαγέντος ἐπὶ τῇ τῶν θεῶν φιλοξενίᾳ ὑπὸ Θηβαίων βασιλέως γεννηθείς· ὁ ἱερεύς τις τῆς Βοιωτίας ἦν βασιλεύς· οἱ θεοὶ βουληθέντες ἰδεῖν εἰ φιλόξενοί, ὡς ἄνθρωποι ἦλθον πρὸς αὐτὸν ὡς φιλοξενισθέντες ὑπ' αὐτοῦ· ὁ δὲ ἐδέξατο καὶ ἔθυσε βοῦν, καὶ ἐξένισεν αὐτούς· ξενισθέντες καὶ ἐξερχόμενοι οἱ θεοὶ, εἶδον τὴν βύρσαν τοῦ σφαγέντος βοὸς κειμένην κάτω, καὶ οὐρήσαντες οἱ θεοὶ εἰς αὐτὴν, ἐποίησαν ἐξ αὐτοῦ τοῦ οὔρου καὶ τῆς βύρσης τὸν Οὐρίωνα· οὗτος γενόμενος ἠράσθη τῆς Ἀρτέμιδος, αὕτη δὲ σκορπίον ἀνήνεγκε κατ' αὐτοῦ, καὶ κρυσθεὶς ἓν τῶν σφυρῶν ἀπέ-

Σανιν· οἱ οὖν θεοὶ ἐλεήσαντες αὐτὸν, ὑπεζωγράφησαν ἐν τῷ οὐρανῷ μετὰ τοῦ σκορπίου. Περὶ δὲ Ἠριγόνης φασὶν, ὅτι αὕτη θυγάτηρ ἦν τοῦ Ἰκαρίου· Ἰκάριος δὲ αὐτόχθων ἐγὶ τὸ γένος· λέγεται μὲν οὖν ὁ Διόνυσος ἐφευρεῖν τὸν οἶνον, αὐτὸν γάρ φασιν Ἕλληνες ἔφερεν τῆς ἀμπέλου· οὗτος ὁ Διόνυσος ἐλθὼν ἐν Ἀθήναις, Ἰκαρίῳ τινὶ περιτυχὼν, δέδωκε φησὶν αὐτῷ κλῆμα ἀμπέλου φυτεῦσαι, καὶ ἐφύτευσε καὶ ἐγεώργησεν οἶνον, καὶ αὐτὸς ἔπιε καὶ ἔδωκε πιεῖν· οἱ δὲ πιόμενοι μεθυσθέντες, διὰ τὸ ἐκ παραδόξου πρῶτον πιεῖν, νομίσαντες φαρμαχθῆναι παρὰ τοῦ Ἰκαρίου, ἀπεκτείνευσι αὐτόν· ἡ δὲ τούτου θυγάτηρ Ἠριγόνη, διὰ τῆς νυνὸς τοῦ Ἰκαρίου γνοῦσα ὅτι τέθνηκεν, ἐποτνιᾶτο καὶ ἤσχαλλε· ταύτην δὲ φησὶν ἐλεήσαντες διὰ τὸ πάθος, μετέθηκαν αὐτὴν εἰς τὸν οὐρανὸν, καὶ νῦν ἐν τοῖς ἄστροις ἐστὶ ἡ Ἠριγόνη· περὶ μὲν οὖν τῶν ἀνατεθέντων, ὡς Ἕλληνες ληροῦσιν, ἱκανῶς ἔχει.

Λεκτέον δὲ περὶ οὗ φασὶ ζωσφόρου κύκλου· πρῶτος μὲν οὖν Ζαραθρούστης περὶ τούτου διεσκέψατο, βάρβαρος ὤν· Ζάμης δὲ μετὰ τοῦτον καὶ Δαμοίτας οἱ τούτου παῖδες· ἔπειτα Ὀρόμασος ὁ Δαμοίτου παῖς· ἑξῆς δὲ μετὰ τούτους, Ὀσάνης· οὗτοι τὸν ζωδιακὸν κύκλον διεῖλον εἰς οἴκους καὶ θεοὺς καὶ συνοικεσίας καὶ διαφορὰς ἀέρων· ἑπτὰ μὲν ἔδοξαν εἶναι θεοὺς, τὸν ἥλιον φημὶ καὶ τὴν σελήνην, καὶ τοὺς πέντε πλάνητας, ἐντεῦθεν ἑπτάχορδον καὶ τὴν λύραν ἱστορεῦντες· φασὶ μὲν οὖν ἄϊδιον εἶναι θεὸν πάντων ὑπέρτατον, ἐξ οὗ πάντας εἶναι τοὺς ἄλλους διαβεβαιοῦνται, τοὺς τιτᾶνας καὶ δαίμονας, καὶ γηγενεῖς, καὶ κουρῆτας, καὶ ἥρωας, καὶ εἴδωλα θεῖα, καὶ δαιμόνια, τῶν ἀνθρώπων ὡς φασὶ βασιλεύοντα· ἑπτὰ μὲν ἐφόρους φασὶ, δι' ὧν τὰ ἀποτελε-

σματικὰ συμβαίνει, Ἄρεα, Ἀφροδίτην, Δήμητραν, Διόνυσον, Ἀθηνᾶν, Ἥφαιστον, Ἄρτεμιν, τινὲς δὲ καὶ τὸν Ἀσκληπιὸν προστιθέασι, τοῖς νοσοῦσιν ἐπαμύνοντα· ἄλλοι δὲ ζώνας ἑνομάζοντες τοὺς ἑπτὰ, οὕτως ἀριθμοῦνται, Κρόνος, Ζεὺς, Ἥλιος, Ἄρης, Ἀφροδίτη, Ἑρμῆς, Σελήνη· περὶ δὲ τῆς ζωδιακῆς οἰκήσεως, φασὶν εἰς ἓξ εἴκους διῃρῆσθαι τοῦτον τὸν τρόπον, Κρόνου μὲν εἶναι, αἰγόκερως καὶ ὑδροχόος· Διὸς δὲ, τοξότης καὶ ἰχθῦς· Ἄρεως, σκορπίος καὶ κριὸς· Ἀφροδίτης, ζυγὸς καὶ ταῦρος· Ἑρμοῦ δὲ, παρθένος καὶ δίδυμος· Ἡλίου δὲ, λέων καὶ καρκῖνος· σύνοικοι δὲ τούτων, Ἡλίου μὲν Ἀπόλλων· Ἑρμοῦ, Μοῦσα· Ἀφροδίτης, Ἀντέρως· Ἄρεως, Ἄτη· Διὸς, Ἥρα· Κρόνου, Ῥέα· οὗτοι μὲν τούτων σύνοικοι ἐπὶ τῶν ἓξ ζωδίων, εἶον λέοντος, παρθένου, ζυγοῦ, σκορπίου, τοξότου, αἰγόκερως, καὶ ἑξῆς, Διὸς σύνοικος, Ποσειδῶν· Ἄρεως, Πλούτων· Ἀφροδίτης, Ἵμερος, Ἄρτεμις νεφέλη· Σελήνης μὲν εἶκος οὐκ ἔχει, κατὰ δὲ συμπάθειαν· οὕτως Ἡλίου σύνοικοι, λέων καὶ καρκῖνος· καὶ οὗτοι ἐπὶ τῶν ἄλλων ἓξ ζωδίων, εἶον ἰχθύων, κριοῦ, ταύρου, καρκίνου, διδύμου, ὑδροχόου· τῶν δὲ διῃρημένων εἰς ἄερα λς' θεῶν τὰ ὀνόματα φασὶν ὧδε, Ἀϊδωνεὺς, Περσεφόνη, Ἔρως, Χάριες, Ὧραι, Λιταὶ, Τιθὺς, Κυβέλη, Ἡραξιδίκη, Νίκη, Ἡρακλῆς, Ἑκάτη, Ἥφαιστος, Ἶσις, Σάραπις, Θέμις, Μοῖραι, Ἑστία, Ἐρινύς, Κοῦρος, Νέμεσις, Νύμφαι, Λητὼ, Καιρὸς, Λείμη, Φόρη, Ἀνάγκη, Ἀσκληπιὸς, Ὑγιεία, Τόλμα, Δίκη, Φόβος, Ὄσιρις, Ὠκεανὸς, Δῆλος, Ἐλπὶς, ἀφ' ὧν ἐξήκοντα ἄλλους εἶναι φασὶν· ἐκ δὲ τούτων, τὴν ἄπειρον κίνησιν τοῦ ζωοφόρου κύκλου καὶ τῶν πλανήτων· τὰς μὲν οὖν περὶ τούτων δόξας ὁ θεῖος Γρηγόριος συντόμως ἀνατρέπων,

καὶ γὰρ ἐντεῦθεν τὰ ἀποτελεσματικὰ συμβαίνειν ἐφαντάσθησαν, ἀδιέκβατον ὁδὸν πλανηθέντες, ὧδε φησὶν, ὅτι τοῖς ἄστρασιν ἀστέρες εἰσὶν ἐναντίοι, δι' ὧν ἄρσις ἔσται προνοίας, ἥ τις ἄνταρσις ἐστὶ τοῦ θεοῦ· καὶ γὰρ τρεπόμενον καὶ τὸν θεὸν αὐτὸν δοίη τίς ἂν, ὑπ' ἄστρασιν ἑλίσσων· ὅτι μὲν οὖν οὕτως ἕλληνες ἐφαντάθησαν, εἰκότως ἡ πολυσχεδὴς αὐτῶν δέδεικται πλάνη· ὡς ἂν δὲ μὴ καὶ αὖθις τοῖς αὐτοῖς ὑπαχθεῖεν ἄνθρωποι, προαναστέλλων ὁ θεῖος Γρηγόριος φησὶ δι' ἐπῶν.

Κεῖνοι μὲν τοιοῖσι λόγοις, θεὸν ἐκτὸς ἔχοιεν· 32.
Ἤδη γὰρ θεὸς ἐστὶν, ἢ ἀστέρες ἡγεμονῆες· 33.
Αὐτὰρ ἐγὼ τόδε οἶδα, θεὸς τάδε πάντα κυβερνᾷ, 34.
Νομῶν ἔνθα καὶ ἔνθα θεοῦ λόγος, ὅσσα θ' ὕπερθεν, 35.
Ὅσσα τὲ νέρθεν ἔθηκε νοήμασι τοῖς μὲν ἔδωκεν 36.
Ἁρμονίην τε δρόμον τε διαρκέα, ἔμπεδον αἰεί· 37.
Τοῖς δὲ βίον στρεπτόν τε καὶ εἴδεα πολλὰ φέροντα· 38.
Ὧν τὰ μὲν ἡμῖν ἔφῃνε, τὰ δ' ἐν κευθμῶσι φυλάσσει 39.
Ἧς σοφίης θνητοῦ δὲ θέλει κενὸν εὖχος ἐλέγχειν. 40.

Καὶ ἀλλαχοῦ (1) δὲ φησιν αὐτὸς ὁ θεῖος ἀνήρ.

Σοὶ μὲν, ἄναξ, φαέθων ὑψίδρομος ἄςρα καλύπτει,
Κύκλον ὑπερτέλλων ἔμπυρον, ὡς σὺ νόας.
Σοὶ ζώει, φθινύθει τε ἀμοιβαδὶς ὄμμα τὸ νυκτὸς (2)
Μήνη πλησιφαὴς αὖθις ἐπερχομένη.
Σοὶ δὲ ζωοφόρος τε κύκλος καὶ μέτρα χορείης,
Ὥραις μέτρα φέρει ἥπια κιρναμέναις.
Ἀπλανέες τε πλάνοι τε πάλιμπορον ἀΐσσοντες,
Ἀστέρες ἠγαθέης εἰσι λόγος σοφίης.

(1) Carm. LV. v. 15-22.
(2) In cod. coniunctim ὀμματόνυκτος.

Ταῦτα μὲν ὁ μέγας Θεολόγος, τὴν δεισιδαίμονα πλάνην ἀνασκευάζων· οὕτω δὲ καὶ Βασίλειος ὁ μέγας περὶ τῶν ζ' ζωνῶν καὶ κάθων, ὧν Ἕλληνες ληροῦσι, συλλήβθην· τὸ δὲ ἐσφάλθαι τοῦ εἰκότος αὐτοῖς διαβεβαιοῦται.

53. Σιγάσθω Χριστοῖο μέγα κλέος ἄγγελος ἀστὴρ,
54. Ἀντολίηθε μάγοισιν ἐπὶ πτόλιν ἡγεμονεύσας,
55. Ἔνθα Χριστὸς ἔλαμψε βροτοῦ γένος ἄχρονος υἱὸς·
56. Οὐ γὰρ τῶν τίς ἔην, ὅσσων φραστῆρες ἔασιν
57. Ἀστρολόγοι, ξεῖνος δὲ καὶ οὐ πάρος ἐξεφαάνθη.

Χριστοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐξ ἀνατολῶν παρεγένοντο μάγοι ὑπὸ ἀστέρος ὁδηγούμενοι· Γρηγόριος οὖν φησὶν ὁ Θαυμάσιος, ὅτι ξένος ἦν ὁ ἀστὴρ καὶ μὴ πρότερον φανείς, ὅς τις τὴν ἐπὶ Βηθλεὲμ ὁδὸν τοῖς μάγοις ἡγεμόνευεν· εἰ δὲ λέγοι τίς, ὅτι πῶς ψευδοῦς οὔσης τῆς περὶ τῶν ἀστέρων δόξης, Χριστοῦ γεννηθέντος ἀστὴρ προηγεῖται, τοῦτο σκοπείτω ὅτι παρ' ἑβραίοις μὲν ἀφανὴς ἦν· τούτοις γὰρ ἡ Χριστοῦ προηγόρευτο διὰ τῶν προφητῶν γέννησις, καὶ οἳ γεννᾶται καὶ ὅθεν πρόερχεται· Χαλδαίοις δὲ τὸν πάντα βίον ἀστροπολεύουσιν, εἰκότως ἀστὴρ φαίνεται ταῖς αὐτῶν δόξαις μαχόμενος, ξένος γὰρ καὶ οὐ καθ' οὓς ἐνόμιζον ἦν ἐξηγητὰς καὶ γενετάρχας· καὶ Γρηγόριος γὰρ ὁ ἱεροφάντης τοῦτο σημαίνων φησὶν, ὅτι τότε ἐφάνη, ὅτε τοῖς ἀστρολόγοις ὁμοῦ τὰ βουλεύματα πέπτωκε τῆς τέχνης, τὸν δεσπότην τῶν οὐρανίων σὺν τοῖς οὐρανίοις τιμώντων. Ἔστι δὲ καὶ ἄλλος λόγος περὶ τῆς Πυθίας, καὶ τοῦ τρίποδος καὶ τῶν ἄλλων λεγομένων παρ' Ἕλλησι θεῶν, ὡς Χριστοῦ γεννηθέντος οἱ μὲν ἔχαιρον τὴν Ἀφροδίτην τεκεῖν λέγοντες· οἱ δὲ διεσαφήσαντες ἔκλαιον ὡς οὐκ Ἀφροδίτη τέτοκεν ἀλλά τις Μαρία, τὸν τὴν αὐτῶν διελλύοντα πλά-

νην· καὶ τοῦτο πιθανῶς· καὶ γὰρ ἔνεστιν εἰκὸς ὄζειν ὑγρὸ τὸ βέβαιον πληροφορηθῆναι· ταύτην ἄγειν ἔκπαλαι δὲ τὴν ἡμέραν, ἑορτὴν Ἕλληνες, καθ' ἣν ἐτελοῦντο κατὰ τὸ μεσονύκτιον ἐν ἀδύτοις τισὶν ὑπεισερχόμενοι, ὅθεν ἐξιόντες ἔκραζον, ἡ παρθένος ἔτεκεν, αὔξει φῶς· ταύτην Ἐπιφάνιος ὁ μέγας τῆς Κυπρίων ἱερεὺς φησὶ τὴν ἑορτὴν καὶ Σαββακηνοὺς ἄγειν τῇ παρ' αὐτῶν σεβομένῃ Ἀφροδίτῃ, ἣν δὴ χαμαρᾶ τῇ αὐτῶν προσαγορεύουσι γλώττῃ.

ΛΟΓΟΣ ΝΓ. ΛΟΓΟΣ ΝΔ.

ΠΕΡΙ ΨΥΧΗΣ.

Ed. arca VII.

Ἰξίονος τινὰ κύκλον ἁλιτροτάτοιο φέροντες, 38.
Θῆρα, φυτὸν, βροτὸν, ὄρνιν, ὄφιν, κῦνα, ἰχθῦν ἔτευξαν. 39.

Ἑλλήνων οἱ σοφοὶ τὰ περὶ ψυχῆς διαφόρως ἐκδεδωκότες, καὶ τοῦτο φασὶν ὅτι τοῦ σώματος ἐξιοῦσα ἡ ψυχὴ πλάζεται καὶ εἰσπίπτει ἐν ἄλλῳ σώματι, πολλάκις δὲ καὶ θηρίον γίνεται, καὶ φυτὸν, καὶ ἄνθρωπος, καὶ ὄρνεον, καὶ ὄφις, καὶ ἰχθῦς, καὶ χεῖρος καὶ ὄνος, καὶ ἁπλῶς εἰπεῖν εἰς ὅπερ καταντήσει, τοῦτο καὶ γίνεται· γίνεται δὲ καὶ ἑκατοντάκις καὶ διακοσάκις, καὶ χιλιάκις εἰ τύχοι, καὶ ληθαργεῖ, πεῖραν δρᾶν ἀφῆκε καὶ τίς αὐτὴν κατεῖχε δερματὶς· ὡρὸς οὖν τὸν τοιοῦτον λῆρον ὁ Θεσφάντωρ Γρηγόριος φησὶ, ὅτι τὴν Ἰξίονος περιφορὰν ἣν Ἕλληνες μυθεύονται, τῇ ψυχῇ προσπορίζουσιν· ἄστατος γὰρ· φασὶ δὲ καὶ περὶ τοῦ Ἰξίονος τάδε· Ἰξίων ἠράσθη τῆς Ἥρας, ἡ δὲ Ἥρα προσαγγέλλει τῷ Διΐ· Ζεὺς οὖν βουλόμενος γνῶναι εἰ οὗτος ἐρᾷ αὐτῆς ἐξομοιοῖ νεφέλην τῇ Ἥρᾳ, καὶ ἔστησεν αὐτὴν· ὁ δὲ Ἰξίων νομίσας αὐτὴν εἶναι τὴν Ἥραν, συμμίγνυται αὐτῇ

τῇ νεφέλῃ· καὶ ὀργισθεὶς ὁ Ζεὺς κολάζει αὐτὸν οὕτως· τροχῷ διατείνας αὐτὸν, ἐπέτηδεν ἀεὶ φέρεσθαι τὸν τροχὸν, καὶ ἔστιν ἀεὶ οὕτως ἀνακυκλούμενος καὶ καταφερόμενος, ταύτην τίνων τὴν τιμωρίαν· ῥαιζοῦται δὲ τῷ τροχῷ διατεταμένος καὶ κυλινδούμενος βιαίᾳ φορᾷ· τοῦτο γάρ ἐστι τὸ ῥαιζοῦσθαι· φησὶν οὖν ὁ Θεῖος Γρηγόριος, ὅτι τῷ περὶ ψυχῆς δόγματι τῶν ἑλλήνων, ἡ τοῦ Ἰξίονος ἁρμόσειε περιφορά.

ΛΟΓΟΣ ΝΕ. ΛΟΓΟΣ Νς. ΛΟΓΟΣ ΝΖ.

Unicum arm. arn. VIII.

Οἱ προκείμενοι λόγοι εἰσὶν οὗτοι, περὶ διαθηκῶν, περὶ ἐπιφανείας Χριστοῦ, περὶ βαπτίσματος· οὗτοι μὲν οὖν καὶ μέρος τοῦ περὶ ψυχῆς λόγου ἐξηγηματικοὶ εἰσὶν· αὐτὸς γὰρ ὁ Θεολόγος τὴν τοῦ παντὸς δημιουργίαν ἐξηγεῖται· καὶ περὶ τῆς Χριστοῦ ἐνανθρωπήσεως, τοῦ τε γραπτοῦ νόμου, καὶ τῆς χάριτος τῶν ἑβραίων ἐπὶ τούτοις, καὶ τῶν βασιλευσάντων αὐτῆς, καὶ τοῦ νεοκληρονόμου λαοῦ, τοῦτ' ἔστιν ἡμῶν τῶν χριστιανῶν· ἐν τῷ περὶ βαπτίσματος Γρηγόριος ὁ Θεῖος φησὶν, ὅτι περ ἦν τοῖς ἑβραίοις πάλαι χριόμενον ταῖς φλιαῖς τὸ τοῦ πρωτοτόκου αἷμα κατὰ τὴν νύκτα τῆς ἀπωλείας τῶν Αἰγύπτου πρωτοτόκων· τοῦτο καὶ ἡμῖν ἡ σφραγὶς καὶ τὸ βάπτισμα, δεκάτη γὰρ πληγὴ ἡ τῶν πρωτοτόκων ὑπῆρχεν ἀπώλεια· τῷ Μωσεῖ τοίνυν ὁ Θεὸς περὶ τοῦ πάσχα διαταξάμενος, ὅπως θύειν χρὴ καὶ πρὸς τὴν ἔξοδον εὐτρεπίζεσθαι· μετὰ γὰρ τὴν τοιαύτην πληγὴν, μηκέτι μένειν εἰς Αἴγυπτον ἔφησεν, ὅμως τῆς εἰκίας μέχρις αὐτῆς προϊέναι προσέταξεν, ἀλλ' οἴκοι καθημένους τοῦ πάσχα μεταλαβεῖν, κρέα δὲ ἦν ἑπτὰ μετὰ ἀζύμων ἐσθιόμενα καὶ πικρίδων· τοίνυν αἵματος τοῦ ἀμνοῦ προσέταξεν

ὁ Θεὸς πρεσβῦναι ταῖς φλιαῖς τῶν ἐν αἷς ὑπῆρχεν θυρῶν, σημεῖον τοῦ μὴ θίγειν αὐτῶν τὸν ὀλεθρευτήν· τούτου δὲ γενομένου, κατέβη κύριος ἐν Αἰγύπτῳ καὶ ὑπώλετο πᾶν πρωτότοκον ἐν αὐτῇ ἀπὸ ἀνθρώπου ἕως κτήνους, ἐπὶ δὲ ταῖς οἰκίαις τῶν υἱῶν Ἰσραὴλ, οὐκ ἐπάταξεν ὀλεθρεύων· τὸ γὰρ αἷμα τοῦ ἀρνοῦ, σημεῖον ἦν ἐπὶ τὰς φλιὰς αὐτῶν· τούτου δὲ ταῖς Αἰγυπτίοις συμβεβηκότος, κατέσπευδεν αὐτοὺς ἐξελθεῖν τῆς γῆς αὐτῶν, καὶ ἐξέβαλλεν· φησὶν οὖν ὁ θεῖος Γρηγόριος, ὅτι καθὼς ἐκείνοις ἦν σημεῖον τὸ αἷμα τοῦ ἀρνοῦ, οὕτω καὶ ἡμῖν τὸ βάπτισμα καὶ τὸ χρίσμα.

ΛΟΓΟΣ ΝΙΙ.

ΠΕΡΙ ΕΝΑΝΘΡΩΠΗΣΕΩΣ ΚΑΤΑ ΑΠΟΛΙΝΑΡΙΟΥ.

Εἰ μέν σε πείθω τὸ λῶιον· εἰ δὲ μελαίνεις
Τὸν χάρτην πολλαῖς χιλιάσιν ἐπέων,
Δεῦρ' ἄγε πλαξὶ τεαῖς ὀλιγόστιχα ταῦτα χαράξω
Γράμματ' ἐμῇ γραφίδι, ἣ μέλαν οὐδὲν ἔχει.

Ὁ θεσπεσιώτατος Γρηγόριος πρὸς Ἀπολινάριον τὸν λαοδικέα ταῦτα φησὶν ἀποτεινόμενος· οὗτος γὰρ πρεσβύτερος ὢν, τῆς ἑλλήνων ἐξορμώμενος παιδεύσεως, τῶν ἑλληνικῶν ἐξηγητὴς ἦν καὶ δευτερωτής· πολλάκις οὖν ὑπὸ τῶν ἐπισκόπων τῆς ἐκκλησίας παραινούμενος μὴ ἐξηγεῖσθαι τὰ τῶν ἑλλήνων διὰ τὸ πρεσβύτερον εἶναι, κατεφρόνησεν· ὕστερον δὲ τοῦτον τῆς ἐκκλησίας οἱ ἐπίσκοποι ἀφώρισαν, παύσαντες αὐτὸν τοῦ λειτουργεῖν· ὁ δὲ παραζηλωθεὶς εἰς αἵρεσιν ἐτράπη, τὸν γὰρ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἄνευν ἐδογμάτισεν ὁ παράφρων· πολλὰ μὲν οὖν καὶ ἄλλα τὰ Γρηγορίου τοῦ θείου κατὰ τοῦ δυσσεβοῦς Ἀπολιναρίου νεανευ-

ματα, μέγιστον δὲ τὸ τῶν ἐμμέτρων ἐπῶν ἐκ Θεοῦ τοῖς ἀνθρώποις δώρημα δι' αὐτοῦ παρασχεθὲν· τοῦ γὰρ Ἀπολιναρίου κατὰ τὴν Καππαδοκῶν γῆν ἐν τοῖς ὁρίοις Γρηγορίου γεγονότος, πόθῳ τῷ πρὸς τὸν λόγον οἱ πλείους ὑπεκλέπτοντο, καὶ πρὸς ἐκεῖνον αὐτομολοῦντες, τῆς ἐκείνου μετελάμβανον λύμης· τοῦτο γνοὺς ὁ γέρων, ὁ ἀθλητὴς, ὁ πολλὰς ἐν βίῳ λαβὼν ὀλυμπιάδας, ἡ σταγὼν ἡ τῷ Θεῷ πολὺν ἁρμόσασα κόσμον, τὸ τῆς ἁγνείας ἀμάραντον βλάστημα, καὶ τῆς σωφροσύνης ἀνάθευτον γέννημα, ὁ καθαρῆς ἀπαθείας χείλεσι τὰ χείλη μίξας τὰ καθαρὰ, καὶ πρὸς τὴν ἀσώματον ἐν σώματι φύσιν ἓν καὶ τὸ αὐτὸ λελογισμένος, ὁ τῷ νῷ νοῦς ἀνακραθεὶς, καὶ τῷ λόγῳ λόγον ἱερουργήσας, καὶ τὴν χάριν τοῦ πνεύματος ἐγκυμονήσας, τῶν θεηγορικῶν ἐμμέτρων ἐπῶν τὰς βίβλους κατεσκεύασε, πρεσβύτης λίαν ὑπάρχων καὶ πρὸς τῷ τέλει τῆς ἐν σαρκὶ βιοτῆς ἀποβλέπων· ὁ γὰρ Ἀπολινάριος τινὰ καὶ αὐτὸς ἔμμετρα ἐξετίθετο, ὑποκλέπτων τὴν τινῶν περὶ αὐτοῦ δόξαν· ὡς τῆς ἑλληνικῆς γὰρ παιδεύσεως πρασπιστὴν, οἱ τῆς ἐκκλησίας αὐτὸν ἡγεμόνες ἐβδελύσσοντο· βουλόμενος τοίνυν ὁ μέγας Γρηγόριος ἅμφω τοῦτον κατά τε θείαν σοφίαν καὶ μέντοι καὶ ἧς ἐδόκει πρασπίζειν, ἀνόητον ὅτι μάλιστα καὶ λίαν ἀπαίδευτον ἀποδεῖξαι, τὸν εἰς αὐτὸν πεποιημένον στίχον ὑσάτιον, μετὰ τοῦ παρεισεννεγμένου ἐλεγείου, ἔκ τε παλαιᾶς τῶν ἔξωθεν ἱστορίας, καὶ μὴν καὶ τῆς ἐκκλησιαστικῆς συγγραφῆς θαυμασίως συνέθηκε· καὶ τί γὰρ οὐκ ἐκπλήξεως γέμει τῶν Γρηγορίου; ὅμως φησὶν, εἰ πολλαῖς χιλιάσι λόγων, ὦ οὗτος, μελαίνεις τὸν χάρτην, θεῦρο ταῖς σαῖς πλαξὶν ὀλιγόστιχα ταῦτα χαράξω τῇ ἐμῇ γραφίδι, ἥ τις μέλαν οὐδὲν ἔχει.

Τὸ μὲν οὖν εἰπεῖν μελαίνειν τὸν χάρτην, τῆς ἐκ τῶν ἔξωθεν συγγραφῆς ἐστὶν ἱστορία· λέγεται δὲ τῆς Σαμίων τυραννίδος, ἔσι δὲ αὕτη· Ἰσιαῖος σάμιος μὲν ἦν τὸ γένος, φίλος δὲ γενόμενος Δαρείου τοῦ περσῶν βασιλέως, ἐλήφθη ὑπ' αὐτοῦ ἐν Περσίδι, καὶ ἐκεῖ διαιτώμενος ἐπεθύμει ἰδεῖν τὴν ἰδίαν πατρίδα· μὴ ἀπολυόμενος δὲ, γράφει τῷ ἰδίῳ ἀνεψιῷ τῷ Ἀριστα γόρᾳ μελετῆσαι ἀποσασίαν, καὶ πείθει καί τινας τῶν Ἰωνίων ἀποστῆναι· γράφει δὲ οὕτως· λαβὼν πιστὸν οἰκέτην, καὶ τούτου τὴν κεφαλὴν ξυρήσας, ἐγχαράττει τῇ κεφαλῇ ὃ ἠβούλετο δηλῶσαι, εἶτα μελαίνει τὴν χάραξιν, καὶ ἀφῆκας ἀνενεγκεῖν τὰς τρίχας, καὶ μετὰ τὸ κομάσαι αὐτὸν ἀποπέμπει, λέγων τῷ οἰκέτῃ πάλιν ἐκεῖσε ἀποξυρηθῆναι, ἵνα ἀναγνῷ Ἰστιαίου τὰ γράμματα· ἀναγνοὺς τοίνυν ὁ Ἀρισαγόρας καὶ μαθὼν, ἐπείσε τὴν ἀποστασίαν σχεδὸν πάντων τῶν Ἰωνίων· εἶτα μανθάνει ἐν Πέρσαις ὁ βασιλεὺς, καὶ σύμβουλος γίνεται τῷ Ἰστιαίῳ ὡς ἕλληνι τί δεῖ ποιῆσαι· καὶ συμβουλεύεται παρὰ τοῦ Ἰσταίου, αὐτὸν πέμψαι εἰς τὴν Ἀσίαν ὡς ἱκανὸν ὄντα διαλῦσαι τὰ περὶ τῆς ἀποσασίας· ἐλθὼν οὖν ὁ Ἰσιαῖος ἐν τῇ Ἀσίᾳ, καὶ ὡς ὕποπτος γενόμενος ὅλου τοῦ πράγματος, παρὰ τοῦ Ἀρταφέρνου ὑπάρχου Σάρδεων ἤκουσε, τοῦτο τὸ ὑπόθημα ἔγραψεν Ἰστιαῖος ὑπεθήσατο δὲ Ἀρισταγόρας, ὑπόθημα δὲ τὴν ὅλην κατασκευὴν ἔλεγεν.

Ὁ τοίνυν Θεολόγος Γρηγόριος τῶν ἐπῶν ταῖς χιλιάσι τοῦτον τὸν τρόπον μελαίνειν τὸν χάρτην τῷ Ἀπολιναρίῳ φησὶν· ἡ γὰρ ἐκείνου διδασκαλία, τοῦ Θεοῦ ἐστὶν ἀποστασία· τὸ δὲ λέγειν ὅτι γράψω ταῖς πλαξὶν ἀμελάνῳ γραφίδι, τῆς θείας διδασκαλίας παρίστησι τὸ λαμπρὸν· πλαξὶ γὰρ ὁ Θεὸς τοὺς δέκα λόγους τῷ Μωϋσῇ γράψας, μέλα-

νος οὐκ ἐδέησε· γέγραπται γὰρ ὅτι ἡ γραφὴ Θεοῦ καὶ τὸ ἔργον Θεοῦ· οὐκ ἀμφίβολον δὲ τὸν τοῖς τοῦ Γρηγορίου λόγοις τε καὶ δόγμασιν ἑπόμενον, τῆς λαμπρᾶς καὶ ἀπεριλήπτου Θεότητος ἐν μεθέξει γενόμενον, οὐράνιον τινὰ δοκεῖν οὐ χαμαίζηλον.

ΛΟΓΟΣ ΝΘ.

Ed carm. XLVII.

ΕΙΣ ΕΛΛΗΝΙΟΝ ΤΟΝ ΕΞΙΣΩΤΗΝ.

Καὶ θυσίην μεγάλοιο πατρὸς ζηλῶσαι παλαιήν.
Κεῖται ἡ κατὰ τὸν Ἀβραὰμ ἱστορία ἐν τῷ α΄ λόγῳ.
Ἣν δὲ πάρος γαιήθεν ἐς οὐρανὸν εἶδε ταθεῖσαν
Ἰσακίδης Ἰακὼβ ἡμέτερος προπάτωρ
Κλίμακα τήνδ' ἀνιὼν ὥς κεν θεὸν αὐτὸν ἴδηται.

Μετὰ τὸ εὐλογηθῆναι τὸν Ἰακὼβ ὑπὸ τοῦ Ἰσαὰκ, καὶ τὰς εὐλογίας κομίσασθαι μετὰ δόλου, ὡς ἐν τῷ δευτέρῳ λόγῳ γεγράφαμεν, ἀντικετοῦντος αὐτῷ τοῦ Ἡσαῦ καὶ προσδοκῶντος τὸν θάνατον τοῦ πατρὸς εἰς τὸ τὸν Ἰακὼβ ἀποκτεῖναι, ἡ τούτων μήτηρ Ῥεβέκκα βουλομένη τὸν νεώτερον περιποιήσασθαι παῖδα, προσεχθήσασα δὲ τῇ ψυχῇ τῶν μεθ' ὧν κατῴκουν Χαναναίων ταῖς θυγατράσι, πρὸς τοὺς αὐτῆς ἀδελφοὺς ἐν Μεσοποταμίᾳ πέμπει χρήσιν αὐτῇ συμπαραμεῖναι, καὶ τῶν θυγατέρων αὐτῶν ἀγαγεῖν πρὸς γάμον ἑαυτῷ· γενόμενος δὲ κατὰ Λαμμαοῦς οὕτω καλούμενον τὸν τόπον, εἶδεν ἐν τῇ γῇ ἐστηριγμένην κλίμακα, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν, οἱ δὲ ἄγγελοι τοῦ θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτῆς, ὁ δὲ κύριος ἐπεστήρικτο ἐπ' αὐτήν· ἀνέστη δὲ πρωὶ καὶ θαυμάσας ἔφη, ὅτι ἔστι κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν· καὶ εἰ-

τον, ὡς φοβερὸς ὁ τόπος οὗτος, οὐκ ἔστι τοῦτο ἀλλ' ἢ οἶκος θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ· ἔλαβε δὲ τὸν λίθον ἐν ἔδηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ κατέχυεν ἔλαιον ἐπ' αὐτόν, καὶ εἶπεν· ἐὰν ᾖ κύριος ὁ θεὸς μετ' ἐμοῦ διαφυλάσσων με ἐν τῇ ὁδῷ ᾗ πορεύομαι, καὶ δῷ μοι ἄρτον φαγεῖν καὶ ἱμάτιον περιβαλέσθαι, καὶ ἀποστρέψῃ με μετὰ σωτηρίας εἰς τὸν οἶκον τοῦ πατρός μου, καὶ ἔσται κύριός μοι εἰς θεὸν καὶ ἡ στήλη αὕτη ἣν ἔστησα, ἔσαι μοι σημεῖον, καὶ πάντων ὧν ἐάν μοι δῷς, δεκάτην ἀποδεκατώσω αὐτά σοι· καὶ εὐξάμενος, εἰς τὴν Μεσοποταμίαν ᾤχετο.

Παρθενικὰς δὲ γυναῖκας ὅσαι κλείουσιν ἄνακτα
Νυμφίον ἁγνοτάταις μιγνύμενον κραδίαις,
Λὶ Χριστὸν δεκέουσιν ἀκοιμήτοις φαέεσσιν,
Οὔ τι μαραινομένας λαμπάδας ἁψάμεναι.

Μέμνηται τῶν φρονίμων παρθένων, αἱ τῷ δεσπότῃ Χριστῷ συνεισῆλθον εἰς τὸν νυμφῶνα λαμπάσι πυρσευμέναις· δέκα γὰρ παρθένοις τὴν βασιλείαν ὁμοιοῦσθαι τῶν οὐρανῶν φησὶν ὁ σωτὴρ, ὧν αἱ μὲν πέντε φρόνιμοι, αἱ δὲ πέντε μωραὶ· τὰς μὲν οὖν μωρὰς μὴ τροφὴν πυρὸς ἔλαιον ἐπιφερομένας, λαμπάσι σβεννυμέναις, ἐπεὶ μὴ τῷ νυμφίῳ συναντήσειν οἷόν τε ἦν, τὸν καιρὸν τῆς παρασκευάσεως εἰς τὸν τοῦ πριᾶσθαι καταναλωσάσας, ἔξω τῶν γάμων εἶχε τὸ πέρας· τὰς τοὐναντίον ἐμπαρασκεύους δὲ καὶ φρονίμους, ἐλαίῳ τὰς λαμπάδας ὃ μεθ' ἑαυτῶν εἶχον ἐπιφερόμεναι κατακοσμησάσας, ἐξ ἑτοίμου φαιδρὰς ὁ νυμφὼν εἰσεδέχετο· καί γε τῆς θύρας προβοώσας τὰς ἀθλίας, ὕστερον ἐπικαταλαβούσας, ὅτι μὴ ταύτας οἶδεν ὁ λαλῶν ἔνδοθεν ἐπαρειβόμενος, τῆς χαρᾶς τοῦ νυμφῶνος ἀκλεῶς ἀποπέμπεται.

Ναὶ μὴν καὶ τῆσιν γε μέγας νόος ἄρρενι θυμῷ

234 Ῥιπτούσαις θελερὴν Εὖαν ἀπὸ κραδίης.

Εὐλαβῶν μεμνημένος γυναικῶν ὁ θεολόγος, ἀνδρείαν ἔχειν ταύτας ψυχὴν διισχυρίζεται· τὴν θελίαν δὲ φησὶν Εὖαν ῥιπτούσας ἀπὸ καρδίας· ἡ γὰρ Εὖα γυνὴ τοῦ πρωτοπλάστου δὲ τῇ τοῦ ὄφεως πεισθεῖσα συμβουλίᾳ, τοῦ καρποῦ γευσαμένη προώριον, καὶ τ' ἀνδρὶ παρασχεῦσα, τῆς πικρᾶς καταδίκης πεπείραται· διὸ τὰς εἰς ἀνδρῶν ἐννοίας τῇ τῆς ἀρετῆς αὐστηρότητι λιξάσας, τὴν ἀπαλωτέραν Εὖαν ᾗ τὸ γυναικεῖον ἀθρανὲς κατοπτεύεται, τῆς δουλούσης κακίας μηκέτι δεκτικὰς τυγχανούσας ἀποδύεσθαι, καὶ τῆς προμήτορος ἀνορθοῦν τὸ σφάλμα διαγορεύει.

245. Οὐ μέγα· καὶ Χριστὸν γὰρ ἀπ' οὐρανοῦ ἀστερόεντος
246. Σαρκὶ σὺν ἀνδρομέῃ γαῖαν ἐπερχόμενον,
247. Καὶ τέκεν ἡμερίοις ἁγνῆς διὰ μητρὸς ἰόντα
248. Παρθένου, ὄφρα νόμον ἀνδρόμεον τελέσῃ
249. Ἀχράντοισι γονῆσι, καὶ ἐκ τυμβοιο θρόντα
250. Ἥματι ἐν τριτάτῳ θερμοτέροισι πόθοις
251. Πρῶται θηήσαντο, φίλοις τ' ἠγγειλαν ἑταίροις,
252. Γευόμεναι Χριστοῦ γεῦσιν ἄκος προτέρης.

Πάνυ τῶν εὐλαβῶς διακειμένων τουτωνὶ γυναικῶν φροντίζων ὁ θεολόγος, εἰς τοσοῦτον ἀρετῆς ἐλθλακέναι φησὶν, ὡς μὴ θαυμάζειν ἐν γυναιξὶ τοσαύτην ἀρετὴν ὁρωμένην, ἐπεὶ γυναικῶν Χριστὸς ἐξεγεννήθη σαρκικῶς ἐπισημήσας ἡμῖν, καὶ Χριστὸν αὐτὸν ἀναστάντα πρῶται τοῦ τάφου τεθέανται· πόθῳ γὰρ διανυκτερευούσαις καὶ τὴν ψυχὴν περὶ τοῦ νεκροῦ τετηκυίαις, οὐκ ἔστι νεκρὸς, ἀλλὰ ζῶν ὁ θανὼν ἐμφανίζεται· τοσοῦτον γυναῖκες εἰς ἀρετὴν ἐπιτήδειαι, καὶ μύρου πνοῆς ζωτικῆς ἐκ τάφου νεκρῶν ἀντελάβοντο, ῥίπτουσαι τῆς ἀρχαίας δυσώδους ἁμαρτίας τὸ ῥυπῶδες· χαίρε-

τι δὲ πρώταις ἐκείναις αἷς πενεῖν καὶ λυπεῖσθαι πρεσίταξε Χριστὸς μέγα φωνήσας, καὶ τεῖς φίλαις μηνύαν τὴν χαρὰν διετάξατο.

Χρύσια μὲν λυδίεσσι δόμοις ἐχαρίζετο μῶλος 263.
Ψήγματα, καὶ ποταμοῦ ἐλβεδότειο ῥέων· 264.
Χρυσοφόροι δ' ἰνδοῖσι μελαγχρώτεσσιν ἄρυσσεν, 265.
Μύρμηκες κοίλης πλεύτεν ἀπὸ ψαμάθου. 266.

Πακτωλός ἐστι ποταμὸς ἐν τῇ Λυδίᾳ, ἐν ᾧ χρύσαμμος γίνεται· ἐν αὐτῷ δὲ βοτάνη τίς ἐστιν, ἧς ὑπὸ τὴν ῥίζαν ὁ χρυσὸς· ταύτην μὲν οὖν τὴν βοτάνην ἀποσπῶντες, τὴν χρύσαμμον ἐν τῇ ῥίζῃ μετὰ χρυσέων ἀποκομμάτων ἔφερον· εἰ δέ τις ἄνευ τῶν βρύων ματαισπονῶν ἦν, εἶχε τῶν ἐλπισθέντων οὐδέν· ὡσαύτως ἐν τῇ αἰθιοπίδι γῇ χρύσαμμός ἐστιν ἔν τισι κοιλώμασι ψάμμου, ὅθεν οὐδὲν ἄνδρες πορίσασθαι δύνανται· μύρμηκες δὲ ὄντες πολλοὶ ἐν τῷ τόπῳ, ταύτην ἀπὸ τῆς κοίλης ἀνάγουσι ψάμμου· τῶν δὲ μυρμήκων τὴν χρύσαμμον Αἰθίοπες ἀπολαμβάνοντες, τὸν δόκιμον ἕψουσι χρυσόν· ταύτην ἡ θεία γραφὴ τὴν γῆν Εὐϊλὰτ κατονομάζει· τὸ δὲ χρυσίον φησὶ τῆς γῆς ἐκείνης καλόν.

Καὶ Χριστὸς μεροπεσσι φόρου παρεόντος ἐμίχθη, 337.
Ἥνίκα γαῖαν ὅλην Καίσαρ ἀπεγράφετο· 338.
Καὶ τέλος αὐτὸς ἔδωκε. 339.

Τὸ μὲν ἀπογραφῆναι Χριστὸν, γέγονεν ἐπὶ Αὐγούστου, παρ' οὗ δόγμα πᾶσαν ἀπογράψασθαι τὴν οἰκουμένην ἐξῆλθε· τότε γὰρ Ἰωσὴφ ἀνῆλθεν ἐν Βηθλεὲμ ἀπογράψασθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικὶ οὔσῃ ἐγκύῳ, καὶ πλησθεισῶν τῶν ἡμερῶν τοῦ τεκεῖν αὐτὴν, ἔτεκε Χριστὸν θεὸν σωτῆρα τὸν κύριον· τότε δὲ φόρου παρόντος, Καίσαρι δεῦναι τέλος ἐπὶ τῶν Ἡρωδιανῶν γέγονεν, ὅτε Χρι-

στὸς δὲ τῷ Πέτρῳ κατὰ τὴν Θάλασσαν γενομένῳ, προσέταξε τὸν ἀγρευόμενον ἰχθὺν ἀνατεμεῖν, καὶ δύο δηνάρια τοῖς ἐγκάτοις κείμενα τοῦ ἰχθύος εὑρηκότα, ὑπὲρ ἀμφοτέρων τοῖς πράκτορσι παρασχεῖν, ὃ καὶ γέγονεν.

345. Οὐχ ἅλις ὅττι βροτοῖσι βαρὺν ζυγὸν ἤγαγε πρώτη
346. Ἀρχεγόνου κακίη, καὶ φυτὸν ἀνδροφόνον,
347. Βασκανίη τε δράκοντος, ἀτασθαλίη τε γυναικὸς
348. Γεῦσις τ' εὐλομένη γνώσιος ἀντιπάλου.

Κεῖται ἡ κατὰ τὸν Ἀδὰμ ἱστορία ἐν τῷ β' λόγῳ.

ΛΟΓΟΣ Ξ.

Ed carm. XLVIII.

ΕΙΣ ΙΟΥΛΙΑΝΟΝ ΤΟΝ ΕΞΙΣΩΤΗΝ

1. Ὄμβρῳ διψάδα γαῖαν ἀπέκλυσεν, ὅς μιν ἔθησεν.

Ἠλίαν τὸν Θεσβίτην· οὗτος γὰρ προσευξάμενος, τὸν οὐρανὸν ἀπέκλεισε χρόνους τρεῖς καὶ μῆνας ἓξ, καὶ τὸν ὄμβρον δι' εὐχῆς ἤγαγε μετὰ τὸ καθιερῶσαι τὴν θυσίαν, καὶ τοὺς προφήτας παραδειγματίσαι τῆς αἰσχύνης, τὸ ἴσον οὐ δυνηθέντας ἐκ τῆς προκλήσεως. Κεῖται ἐν τῷ β' λόγῳ.

2. Ἄλλος τ' ἐξ ὑδάτων ἥρπασε κόσμον ἕλεν.

Τὸν Νῶε φησὶν· οὗτος γὰρ ἐκ πάντων τῶν θηρίων καὶ κτηνῶν καὶ ἑρπετῶν συναπεκλείσας εἰς τὴν κιβωτὸν ἑαυτῷ, τοῦ κατακλυσμοῦ διέσωσεν. Κεῖται ἐν τῷ β' λόγῳ.

3. Καὶ νεῦσός τις ἄρηξεν.

Ἐλισσαῖον φησὶ τὸν προφήτην· πρὸς αὐτὸν γὰρ Νεεμὰν ὁ σύρος λεπρὸς ὢν παρεγένετο, καὶ διὰ προστάγματος τοῦ προφήτου λουσάμενος ἐν τῷ Ἰορδάνῃ ποταμῷ ἀφῆκε τὴν λέπραν αὐτοῦ καθαρισθείς.

Ὃς δ' ἐκ πολέμων ἐσάωσεν.

Λέγει τὸν τοῦ Ναυῆ Ἰησοῦν· οὗτος γὰρ τὸν ἥλιον στήσας καὶ τὴν σελήνην, τοὺς πολεμίους διώλεσε· καὶ Μωσῆς ἐν τῷ ὄρει σταυροειδῶς τὰς χεῖρας τετυπωμένος, τὸν Ἀμαλὴκ ἔτρεψεν.

Πάλιν τὸν Γεδεὼν αἰνίττεται· οὗτος γὰρ τὸν Μαδιὰμ σὺν ἑκατὸν χιλιάσι εἴκοσι, ὅμα τριακοσίοις ἐπάταξε· σὺν αὐτῷ γὰρ ἀθροισθέντος λαοῦ πρὸς παράταξιν Μαδιὰμ, προσέταξεν αὐτῷ ὁ Θεὸς τὸν λαὸν καταγαγεῖν εἰς τὸ ὕδωρ, καὶ τῶν λαπτόντων τῇ χειρὶ κυνὸς τρόπῳ ἐπισχεῖν, τὸν δὲ λοιπὸν λαὸν ἀποστρέψαι· τούτου δὲ γενομένου, τριακοσίων μόνων τῶν λαφάντων ὑπαρχόντων, κατῆλθεν ἐπὶ τὴν παρεμβολὴν νυκτὸς ἐν λαμπάσι καὶ κερατίναις· καὶ ταῖς μὲν κερατίναις ἐσάλπισαν αἱ τρεῖς ἀνὰ ἑκατὸν ἀρχαὶ, καὶ τὰς ὑδρίας ἐν αἷς ὑπῆρχεν αἱ λαμπάδες, ταύτας ἐξετίναξαν, καὶ τὴν παρεμβολὴν Μαδιὰμ μετέστησαν ἐκταράξαντες· καὶ μάχαιραν ἀνδρὸς ἐπὶ τὸν πλησίον αὐτοῦ κύριος ἔδωκε, καὶ ἀπώλετο πᾶσα ἡ παρεμβολὴ· καὶ τοὺς βασιλεῖς αὐτῶν τὸν Ζεβεὲ καὶ Σαλμανᾶ, καὶ τοὺς ἄρχοντας αὐτῶν τὸν Ὠρὴβ καὶ τὸν Ζὴβ συλλαβόμενος, ἐν στόματι ξίφους ἀνεῖλεν.

Καὶ Βαρὰκ καὶ Δεβώρρα γυνὴ τὸν λαὸν κακούμενον ὑπὸ Μαδιὰμ ἐξείλοντο, καὶ Σισάρα πόλεμον συνάψαντες, καὶ τοῦτον τροπωσάμενοι· τὸν δὲ Σισάρα γυναικὶ προσφυγόντα, καὶ δίψῃ φλεγόμενον, Ἰαὴλ δὲ ὄνομα τῇ γυναικὶ, ὑπὸ τὴν σκηνὴν δεξαμένη γάλα ποτίσασα, καθευδῆσαι τοῦτον καὶ διαναπαύσασθαι πείθει, καὶ τῆς ἐκ τοῦ ὕπνου λαβομένη εὐκαιρίας, ἰσχυρῶς ἐπισκελίσασα, τὸν πάσσαλον τῆς σκηνῆς ἦγαγε κατὰ τοῦ γνάθου Σισάρα, καὶ προσήλωσε τῇ γῇ εἰκτρῶς ὑποτρύζοντα καὶ τοῖς ταύτης μηροῖς ὑποσκαρίζοντα.

Καὶ Σαμψὼν ναζωραῖος θεοῦ, λέοντα διέσπασεν ὡσεὶ ἔριφον, καὶ χιλίους ἀνεῖλεν ἄνδρας ὄνου σιαγόνι, παρ' ἧς καὶ διψῶντι ψυχρὸν ὕδωρ αὐτῷ καὶ μάλα γλυκὺς ἀνεδόθη· καὶ πύλας πόλεως ἰσχύϊ χειρῶν ἀπέσπασε, καὶ φέρων εἰς ὄρος ἀνέτρεχεν ὑψηλὸν νωτοφόρος· καὶ χιλίας ταῖς κέρκοις ἀλώπεκας προσδήσας, λαμπάδας ἀμφὶ τὰς κέρκους ὑφάψας, τῶν ἀλλοφύλων ἐνέπρησεν ἀμητοὺς· καὶ πασσάλοις ἑπτὰ τοὺς βοστρύχους καινοῖς κάλωσι συνυφασμένους, ὡς οὐδενὸς ὄντος ἐξείλετο, καὶ δεσμοὺς χειρῶν καὶ ποδῶν διέῤῥηξε κραταιῶς, εὐχῆς χάριν ἀκερσεκόμης, ναζωραῖος γὰρ ἦν· ἀλλ' ὅτε γυναικὸς ἡττηθεὶς ἐξεφήνετο ἀπόῤῥητον, ἁλωτὸς ἦν, τῆς κόμης ἀποκαρθείσης αὐτῷ· καί γε τῶν πολεμίων ὑπορυχθεὶς ὄμματα, δέσμιος ἐν οἴκῳ καθήμενος φυλακῆς, πυροῖς ῥοιζηδὸν ταχυδρόμον μῦλον ἐφείλκεν ἀείστροφον· μικρὰ τῆς κόμης ἐπανθούσης, εὐξάμενος δὲ, μέσος ἦν ἀλλοφύλων, ὅτε παιζόμενος, ἵδρυμα δὲ τῶν σεβασμίων αὐτοῖς ὁ τόπος, ἄμφω τῶν ἐν οἷς ἵδρυτο στύλων ὁ σηκὸς χερμάδην λαβόμενος, καὶ σφοδρῶς περικλονήσας· ὅλοις ὁμοῦ τὸν σηκὸν τοῖς ἀλλοφύλοις τάφον ἔθηκε σὺν ταχὺ μορήσας.

Καὶ Δαβὶδ παιδάριον ἁπαλὸν, ἰσχυρὸν πολεμιστὴν ἐτροπώσατο, τεύχεσιν ἀστράπτοντα καὶ μέλεσι γαυρούμενον μεγαλοζώοις· ἥρως ἐκ Γὲθ Γολιὰθ, τὴν παράταξιν ὠνείδισεν Ἰσραὴλ, οὐκ ἦν διαγωνιούμενος ἐκείνου προσκαλουμένου· μέγα φρονῶν ὁ ἀλλόφυλος, εἰς θεὸν τὸ στόμα καθώπλιζεν ἐπαιρόμενος, καὶ Δαβὶδ παρεζήλωσεν· οὐδὲ ζῆν ὀνειδιζομένου θεοῦ κατεδέχετο, καὶ τὸν λαὸν Ἰσραὴλ ὡς ἔλαφος ὑπερήλλατο, καὶ ὡς δορκὰς ἀντιπαρέτρεχε, λεόντειον ἔβρυχεν, ὡς ἀετὸς ὑπερίπτατο· ῥάβδον ἐξησκημένος, καὶ λίθους τρεῖς καὶ σφενδόνην καὶ τὸ πρὶν ὑδροφόρον κάδιον,

λιθοφόρον εὐστόχως τοῦ κράνους δὲ Γολιὰθ καταλεύσας, πρηνῆ βαλὼν, ἔδραμε καὶ τὴν κάραν ἀπέτεμε, καὶ κράτος τοῖς ὁμοφύλοις ἐποίησεν, ἀνὰ τὴν μάχην τὴν ἰσχυρὰν πάντων ἀνδρείως ἀποδυσαμένων, καὶ τῶν ἀντιπάλων τὰς παρεμβολὰς κατατεινάντων.

Ἄλλος δ' οὐρανόθεν λαὸν ἔθρεψε μέγαν. 4

Μωϋσῆς οὗτος· μάννα γὰρ τοῖς υἱοῖς Ἰσραὴλ ὁ θεὸς οὐρανόθεν παρέσχε καὶ ὀρτυγομήτραν.

Κεῖται ἐν τῷ γ' λόγῳ.

Λάζαρος ἐν προθύροις, δὸς ψίχας ἀλλοτρίας. 14.

Κεῖται ἐν τῷ α' λόγῳ.

Καὶ Χριστὸς μερόπεσσι φόρου παρεόντος ἐμίχθη. 15.

Κεῖται ἐν τῷ θ' λόγῳ.

ΛΟΓΟΣ ΞΑ.

ΠΑΡΑ ΝΙΚΟΒΟΥΛΟΥ ΠΡΟΣ ΤΟΝ ΠΑΤΕΡΑ. Ed. carm. XLIX.

Εἶδός τε μέγεθός τε παλαιοτάτοισιν ὁμοῖος 121.

Αἰακίδῃσιν ἔης, ἢ αἰτωλῷ Μελεάγρῳ. 122.

Κεῖται ἡ κατὰ τὸν Ἀχιλλέα καὶ Αἴαντα ἱστορία ἐν τῷ ιε' λόγῳ· ὁμοίως καὶ ἡ κατὰ τὸν Μελέαγρον περὶ χόρου κεφαλῆς.

Κλῆρον ἔχειν ποθέω πατρώϊον ὥς ποτε λόγχην 127.

Σπαρτιάται. 128.

Οἱ Σπαρτιάται ὑπὸ τοῦ Κάδμου σπαρέντες ἐκ τῶν ὀδόντων τοῦ Ἄρεως δράκοντος, ὃν ἐν τῇ πηγῇ ἀπέκτεινεν, ἀνεφύησαν ἔνοπλοι ὡς ὁ μῦθος· εἶτα χρησάμενοι ἑαυτοῖς ὀλιγοστοὶ ὑπελείφθησαν· οἰκήσαντες δὲ τὴν Λακεδαίμονα, τοῖς ἐξ αὐτῶν τά τε ὅπλα καὶ τὴν τούτων παρέδωκαν χρῆσιν.

Πέλοπός τε γένος πελοπήϊον ὦμον.

Τάνταλος Φρυγίας ἦν βασιλεὺς· οὗτος γεννᾷ τὸν Πέλοπα· τούτῳ τῷ Ταντάλῳ ποτὲ οἱ θεοὶ ἐπεξενώθησαν· λαβὼν οὖν τὸν Πέλοπα τὸν ἴδιον υἱὸν ὁ Τάνταλος, κατασφάττει καὶ κρεουργεῖ καὶ ἕψει καὶ παρατίθησιν εὐωχίαν τοῖς θεοῖς· τούτων δὲ τῶν κρεῶν ἡ Δημήτηρ λαβοῦσα τῇ χειρὶ, ἔφαγεν ἀπὸ τοῦ ὤμου· οἱ δὲ ἄλλοι θεοὶ ἐλεοῦντες τὸν Τάνταλον καὶ θαυμάσαντες ὅτι τοῦ παιδὸς αὐτοῦ κατεφρόνησε, συντιθέασι τὰ κρέα καὶ ἀποτελοῦσι σῶον τὸν Πέλοπα· ἦν δὲ παρὰ τὸ σαρκίον ἐκεῖνο, ὃ ἔφαγεν ἐκ τοῦ ὤμου ἡ Δημήτηρ· προσθέντες οὖν ἐλεφάντινόν τι κατὰ τὸν ὦμον, ἐπλήρωσαν σῶον τὸν Πέλοπα· οὕτω λοιπὸν ἅπαν τὸ γένος τῶν πελοπίδων, ἐκ τούτου ἦν ἐπίσημον, ἐχόντων πάντων ἐν τοῖς ὤμοις τὸν ἐλεφάντινον τόπον.

129. Καὶ σκῆπτρον πατέρων εἰς υἱέας αἰὲν ὀδεῦον.

Σκῆπτρον φησὶ τὸ τοῦ Ἀτρέως, ὅπερ ἐν τῇ αὐτῇ ὁδεῦον γενεᾷ, διήρκεσεν ἐπὶ πολὺ, καὶ ἤρξατο μὲν ἀπὸ Ἡφαίστου καὶ Διὸς, ἔληξε δὲ εἰς Ἀγαμέμνονα, ὡς Ὅμηρος φησί.

130. Κεκροπίδαι τέττιγα πλόκων ὕπερ υἱέα γαίης

131. Γηγενέες.

Κέκροψ βασιλεὺς γέγονεν Ἀθηνῶν, ὅστις μεγάλως τὴν Ἀττικὴν κατεκόσμησεν· οὗτος δέ ἐστιν ὁ καλούμενος διφυὴς, ὅτι δύο φωνὰς ἦν ἠσκημένος, μίαν τῆς Ἑλλάδος, μίαν δὲ τῆς Αἰγύπτου· λέγεται γὰρ ὅτι οἱ Ἀθηναῖοι ἄποικοι εἰσὶν αἰγυπτίων ἀπὸ Σαΐτου πόλεως· ἡγεμὼν οὖν ἐστὶ τῆς ἀποικίας οὗτος ὁ Κέκροψ, καὶ ἐλθὼν εἰς τὴν Ἑλλάδα, ἔμαθε τὴν ἑλλάδα φωνὴν, ἔχων καὶ τὴν αἰγυπτίαν· ὁ δὲ λόγος ὁ λέγων αὐτόχθονας εἶναι τοὺς Ἀθηναίους, μῦθος ἐστὶ, λαβὼν τὸ πλάσμα ἀπὸ τοῦ μηδέ ποτε μεταστῆναι, μᾶλ-

λιν καὶ ἀναστῆναι τοὺς οἰκήσαντας εἰς τὴν Ἀττικήν· λιπτόγεως γὰρ οὖσα ἡ χώρα, οὐ πάνυ ἦν ζηλωτὴ, ὥστε τοὺς ὄντας ἐκδιωχθῆναι, καὶ ἄλλους μετοικισθῆναι· κεκροπίδαι τοίνυν λέγονται οἱ Ἀθηναῖοι, τὴν ἐκ τοῦ Κέκροπος ἐπιφερόμενοι τιμήν· τὸν δὲ τέττιγα λέγονται φέρειν ἐπὶ τῶν πλοκάμων, ὡς μὲν ἔστι νοεῖν τὴν εὐγλωττίαν· ὁ γὰρ τέττιξ ἀεὶ λάλος ἐστὶ καὶ ἡδύς, ἡλίου δὲ φίλος, καὶ παρ' ἀνθοκόμοις οἰκῶν ἀρούραις.

Λύτὰρ ἐγὼ κέλομαί σε τὰ μὲν κάλλιστα ποθεῦντι 140.
Ἕπεσθαι, καὶ χεῖρα φέρειν πάτερ εἰ δὲ κακοῖσι 141.
Τερπείμην, παίδων με τεῶν ἀπὸ τηλόθι ῥίψον 142.
Ὡς νόθον, εὐγενέος Ῥήνου κριθέντα ῥεέθροις, 143.
Ἢ καθαρῶν ἀετῶν ψευδὴ γόνον ἀκτινέσσιν. 144.

Ἐνταῦθα μὲν τοῦ Ῥήνου ποταμοῦ διακρίνειν τοὺς εὐγενεῖς τῶν παίδων ἐκ τῶν νόθων τὰ ῥεύματα, φησὶν ὁ θεῖος Γρηγόριος· ἀλλαχοῦ δὲ εἰς Κυνοσαργὲς τοῦτο γίνεσθαι φάσκει· τόπος γὰρ ἦν ἐν Ἀθήναις Κυνοσαργὲς οὕτω λεγόμενος, ἐν ᾧ οἱ νόθοι ἐκρίνοντο, εἰ τοῦ θέντος γέγονεν υἱὸς· ἐκαλοῦντο δὲ παρὰ Ἀθηναίοις καὶ οἱ ἀπελεύθεροι νόθοι· νόθοι δὲ καὶ οὗτοι ὡς πρὸς τοὺς ἐλευθέρους ἐκ γεννητῆς, καὶ οὗτοι δὲ ἐκρίνοντο καὶ ἐδοκιμάζοντο, εἰ ὅλως ἠλευθερώθησαν· Κυνοσαργὲς δὲ ἤκουσεν ὁ τόπος ἀπὸ τούτου· θυσίας πλησίον ἐν ἱερῷ γενομένης, εἰσελθὼν ὁ κύων ἥρπασε κρέα τοῦ θύματος, καὶ ἤγαγεν ἐν τῷ τόπῳ τούτῳ, καὶ ἐκτίσθη τίς νεὼς, καὶ ἐκλήθη Κυνοσαργὲς οἱονεὶ κυνὸς σάρκες, ἀπὸ τῶν σαρκῶν καὶ τοῦ κυνὸς· ὕστερον δὲ τοῦ κάππα ἐξελθόντος, εἰσῆλθε τὸ γάμμα. Οἱ δὲ ἀετοὶ κρίνουσι τὸν ἴδιον γόνον ταῖς ἀκτίσι τοῦ ἡλίου· ὅτ' ἂν γὰρ τοὺς νεοσσοὺς ἡ ἀετὸς τῶν ὠῶν ἐξαγάγῃ, ὁ πατὴρ παραγίνεται,

καὶ τὰ μὲν ἴδια τέκνα ἐπιγινώσκει, τὰ δὲ νόθα της καλιᾶς ἀποβάλλεται· τινὲς διότι καὶ τὴν ἀετὸν φασὶν ἀναιρεῖν, νόθον εἴπερ εὕρει γεγεννημένον· τὴν δὲ διάκρισιν ταῖς ἀκτῖσι ποιεῖται τοῦ ἡλίου.

ΛΟΓΟΣ ΞΒ.

Ed. carm. L.

ΝΙΚΟΒΟΥΛΟΥ ΠΡΟΣ ΤΟΝ ΥΙΟΝ.

85. Εἰ δὲ πένης φρενοπλήξ τε καὶ οὐ μελέεσσι πεπηγώς
84. Τί πρήξεις, οὐ χεῖρα τεὴν σκήπωνι παρέξεις;
85. Οὐκ ὤμοισιν ἐΐσιν ἀειρόμενός με σαώσεις
86. Ὡς Ἀγχισιάδης γενέτην ἐὸν ἐκ πολέμοιο;

Ὁ μὲν Θεῖος Γρηγόριος τὸν Ἀγχίσου Αἰνείαν, οὗτος δὲ λύκιος ἦν, εἰς συμμαχίαν τρώων παραγεγενὼς, τὸν ἴδιον πατέρα Ἀγχίσην ἐπ' ὤμων ἀράμενος, πόῤῥω κομίσαι φησὶ τοῦ πολέμου· καὶ τοῦτο μὲν πάντως γέγονεν, εἰ καὶ διαφεύγει· πλὴν αὐτὸς τοὐναντίον Αἰνείας λέγεται πόῤῥω τοῦ πολέμου ὑπ' Ἀφροδίτης κεκομίσθαι, ταύτης γὰρ υἱὸς ἐχρημάτιζεν, ὡς ὁ μῦθος, ἡ τῶν Διομήδους χειρῶν ἀραμένη, διέσωσεν ἀποθεμένη μακρόθεν τῆς μάχης· διὸ τὸν Διομήδην λέγεται ταύτην κατεπιδιώκοντα, κατ' ἄκρας τρῶσαι τῆς χειρὸς τῷ ὀξυτάτῳ δόρατι· ἔχει δὲ τὸ ἔπος· * – ἀλλ' ὅτε δή
Il. ε. 334. ῥ' ἐκίχανε πολὺν καθ' ὅμιλον ἐπάζων – ἔνθ' ἐπορεξάμενος μεγαθύμου Τυδέος υἱὸς – ἄκρην οὖτασε χεῖρα μεταλμένος ὀξέϊ δουρὶ· – ἀβληχρήν· εἶθαρ δὲ δόρυ χροὸς ἀντετόρησεν – ἀμβροσίου διὰ πέπλου ἐν αἱ χάριτες κάμον αὐταὶ – πρυμνὸν ὑπὲρ θεναρὸς, ῥέε δ' ἄμβροτον αἷμα θεοῖο. – Ὡς ὁ μῦθος, αἵματι καὶ δάκρυσι σταζομένην ὧδε τῆς μάχης ὁ Διομήδης ἀπέπαυσε· κατ' ἀντίφρασιν οὖν παρῆκται τῷ θεο-

λέγω ἡ ἱστορία· τοῦτο δὲ ποιεῖν ἔοικε αὐτῷ, καὶ μάλιστα πάντων ὡς ἔτ' ἂν λέγῃ – ἢ σκιὰν ὡς στρατὸν ἢ ἀχιλλέα. – Τὸ γὰρ στρατὸν ἀντὶ τοῦ ἀσθενοῦς πλῆρον ἐντεῦθεν· τοῦτο δὲ ποιεῖν τοῖς σοφοῖς σύνηθες· ἔστι δὲ καὶ τις ἑτέρα περὶ πατρὸς καὶ παιδὸς ἱστορία τοιαύτη· Σικελία νῆσος ἐστὶ μεγίστη κειμένη περὶ τὴν Ἰταλίαν· ἐν ταύτῃ πόλις ἐστὶ Κατάνη οὕτω λεγομένη· ὑπεράνω τῆς Κατάνης, τόπος ἐστὶν ὄρος, ἐξ οὗ ἀναδίδοται πῦρ πολὺ καὶ θεσπεσὲς· καλεῖται δὲ Λίτνη· παρὰ δὲ ἕλλησιν, Ἡφαίστου κρατῆρες· τοῦτο δὲ πῦρ ἔστιν ὅτε τοσοῦτον ὑπερβλύζει, ὥστε καὶ ποταμηδὸν φέρεσθαι, καὶ ῥεῖν ὡς ὕδωρ μετὰ τῆς ἀναδιδομένης αὐτῷ ὕλης· ἔστι δέ τι καὶ θεῖον τὸ πῦρ τοῦτο· λέγεται γὰρ ἔτι ποτὲ τὶς πατὴρ μεθ' υἱοῦ, εὑρέθη ἐν τῷ ὄρει τούτῳ, καὶ ἄγνωτα ἐρρύη ποταμηδὸν τὸ πῦρ, καὶ ἄπορον αὐτοῖς γέγονε τὸ παρελθεῖν· ὁ δὲ παῖς ἔλαβε τὸν πατέρα καὶ ἐβάστασε, καὶ τὸ πῦρ αἰδεσθὲν τὴν πρᾶξιν τοῦ υἱοῦ, ἀνεκόπη τῆς ἐπιῤῥοῆς, καὶ παρῆλθεν ὁ πατὴρ καὶ ὁ παῖς ἀβλαβεῖς.

Ὀρφείη κιθάρη μῦθος πέλεν, ὥσπερ ἐίσκω, 193.
Πάντας ἄγων μελέεσσιν ὁμῶς ἀγαθούς τε κακούς τε. 194.

Ὀρφεὺς θρᾷξ μὲν ἦν τὸ γένος, ὅθεν καὶ τὸ θρησκεύειν λέγεται, τοῦτ' ἔστι τοῖς θεοῖς εὐσεβεῖν· οὗτος δὲ πρῶτος λέγεται τὰς τελετὰς εἰσηγήσασθαι, κατὰ τὸν τρόπον τῶν τελετῶν· οὗτος δέ ἐστιν Ὀρφεύς, ὁ λεγόμενος διὰ τῆς λύρας θέλγειν καὶ τὰ ἄψυχα, καὶ διὰ τῶν τῆς λύρας κρουσμάτων ἐξημεροῦν καὶ τὰ ἄγρια· λέγεται δὲ ὅτι οὕτως προσηνῶς καὶ ἡδέως ταῖς ᾠδαῖς αὐτοῦ καὶ αἱ δρῦς καὶ τὰ ἄλογα ζῷα ἤγοντο, καὶ λίθοι καὶ ποταμοί· τούτου δὲ ποιήματα φέρονται, ἃ τινα ὡς θεολογίας ἔχουσιν Ἕλληνες· φησὶν

εὖν ὁ Θεῖος Γρηγόριος, ὅτι εἴ τις ποτὲ ἦν κιθάρα τοῦ Ὀρφέως, λόγον ταύτην εἶναι ὑπολαμβάνω· ὅτι, φησὶ, τοιαύτην δύναμιν λόγων εἶχεν Ὀρφεὺς, ὥσε μεταποιεῖν τὰς ψυχὰς τὰς σκληρὰς καὶ πετρώδεις καὶ ἀντιτύπους.

195. Ὡς δ' ἀμφιενίη λύρη καὶ λᾶας ἔπειθεν,

196. Ψυχὰς ἀντιτύπους πετρώδεας.

Κἀνταῦθα τὴν λύραν Ἀμφίονος, λόγον εἶναι φησὶν ὁ Θεῖος Γρηγόριος μεταποιοῦσαν τὰς λιθώδεις ψυχὰς· λέγεται δὲ ὡς ὑπὸ Ἀμφίονος καὶ Ζήθου αἱ τῆς Ἑλλάδος ἑπτάπυλοι διὰ κιθάρας ᾠκοδομήθησαν πύλαι, εἰσὶ δὲ αὗται θαύματος ἄξιαι.

* ex marg. Σχόλιον *. Χρὴ εἰδέναι ὡς Ἐπιμηθεὺς τὴν λύραν ἐφευρεῖν καὶ τἄλλα τῆς μουσικῆς λέγεται· ὅθεν καὶ πλάσης ὁ Προμηθεὺς ἀνθρώπων μυθολογεῖται διὰ τὸ τοὺς ἄγαν ἰδιώτας εἰς παιδείαν μεταβάλλειν τῇ προσούσῃ αὐτῷ σοφίᾳ.

196. εἶδα δὲ πομποῦ

197. Φάρμακον, ὡς λόγος ἦεν, ὃν ἐρχομένῳ κατὰ Κίρκην

198. Λαρτιάδῃ πόρε δῶρον, ὅπως κε σύεσσιν ἀρήξῃ,

199. Οἷς ἑτάροις, μὴ δ' αὐτὸς ἔδοι συοτρέμμενα φορβήν.

Πομπός ἐστιν ὁ Ἑρμῆς· οὗτος δὲ τῷ Ὀδυσσεῖ κατὰ Κίρκην πλανωμένῳ, γυνὴ δὲ αὕτη τὴν οἴκησιν ἐν ἐρήμῳ νήσῳ κεκτημένη καὶ φαρμακὶς, συστρόφον παρέχουσα βρῶσιν, συναντήσας, δέδωκε φάρμακον ὅπως τοῖς ἰδίοις ἑταίροις χείρους σῦσι βοηθήσῃ μὴ δὲ αὐτὸς τὴν χειροποιὸν ἔδεται βρῶσιν· ἡ γὰρ Κίρκη τοὺς παρεμπίπτοντας αὐτῇ, βρῶσιν τινὰ παρέχουσα, χείρους ἐποίει· ᾗ καὶ Ὀδυσσεὺς περιέτυχεν ἐν τῇ πλάνῃ· αὐτὴ δὲ τοῖς ἑταίροις αὐτοῦ τὴν τοιαύτην παρασχοῦσα τροφὴν, πεποίηκε χείρους· ἔχων δὲ τοῦ πομποῦ τὸ φάρμακον Ὀδυσσεὺς οὐ γέγονε χείρος, ἀλλὰ καὶ

τῆς ἑταίρας ἐβεβήθησε τοῦτο γεγονέναι· δεῦς γὰρ αὐτῆς τοῦ πομπαίου φαρμάκου, πάλιν εἰς ἀνθρωπείαν αὐτοὺς μετεπόιησε φύσιν· ὁ μὲν οὖν μῦθος βρῶσιν τινὰ λέγει τὴν τῆς Κίρκης χειροτέχνην· ἄλλοι δὲ τὴν πρὸς αἰσχρὰν μῖξιν ἐπιθυμίαν εἶναι φασὶν· ὡσαύτως δὲ τὸ τοῦ πομπαίου φάρμακον, αὐτὴν τὴν ἐνέργειαν, τὸ λυτήριον ταύτης· μυθεύεται γὰρ ὅτι τοσούτῳ τῆς Κίρκης κατεκράτησεν Ὀδυσσεύς, ὥστε πεῖσαι συγκαθευδῆσαι, καὶ πρὸς ἄτοπον μῖξιν συνελθεῖν αὐτῷ· ὁ δὲ θεῖος Γρηγόριος, λόγον εἶναι τὸ φάρμακον διαβεβαιοῦται· τοσοῦτον γὰρ Ὀδυσσεύς φησι πυκινόφρων ὑπάρχων καὶ περὶ λόγους ἐντρεχής, οὔτε χεῖρος γέγονεν ὅσὸν ἐστι φρενοπληξίας τεκμήριον, ἀλλὰ γὰρ ἐβεβήθησε καὶ τοῖς ἀμφ' αὐτὸν τοῦτο πεπονθόσι κατὰ φρένας.

Μῦθον καὶ Πολυδάμνα κεράσσατο Θῶνος ἄκοιτις 200.
Αἰγυπτίη, δῶκε δ' Ἑλένῃ ξεινήϊον ἐσθλὸν, 201.
Νηπενθὲς τ' ἄχολόν τε κακῶν ἐπίληθον ἁπάντων. 202.

Ἑλένη ἐστὶ περὶ ἧς ὁ πολυθρύλλητος ἐπὶ πλεῖον ὑπῆρχθη πόλεμος ἀμφὶ τοὺς Ἕλληνας καὶ Φρυγίους· αὕτη δὲ πάνυ μεταμεληθεῖσα τῷ συμπαρεῖναι Ἀλεξάνδρῳ, δεινῶς κατὰ ψυχὴν ἔπασχεν, ὡς Ὅμηρος ἐν τῇ πρὸς Ἕκτορα ταύτης διαλέξει δι' ἐπῶν ὧδε φησίν.

Τὸν δ' Ἑλένη μύθοισιν ἠμείβετο δῖα γυναικῶν· Iliad. ζ. 343. aq.
Δάερ ἐμεῖο κυνὸς κακομηχάνου ὀκρυοέσσης,
Ὡς μ' ὄφελ' ἤματι τῷ ὅτε με πρῶτον τέκε μήτηρ
Οἰχέσθαι φέρουσα κακὴ ἀνέμοιο θύελλα
Εἰς ὄρος ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης,
Ἔνθα με κῦμ' ἀπόερσε πάρος τάδε ἔργα γενέσθαι·
Αὐτὰρ ἔπει τάδε γ' ὧδε θεοὶ κακὰ ἐτεκμήραντο
Ἀνδρὸς ἔπειτ' ὤφελλον ἀμείνονος εἶναι ἄκοιτις

Ὅς ῥ' ἤδει νέμεσίν τε καὶ αἴσχεα πολλ' ἀνθρώπων·
Τούτῳ δ' αὖτ' ἄρ νῦν φρένες ἔμπεδαι αὖτ' ἄρ ὄπισσω
Ἔσσονται τῷ κέν μιν ἐπαυρήσεσθαι ὀΐω·
Ἀλλά γε νῦν εἴσελθε, καὶ ἔζεο τῷδ' ἐπὶ οἴῳ
Δάερ, ἐπεί σε μάλιστα πόνες φρένας ἀμφιβέβηκεν
Εἵνεκ' ἐμεῖο κυνός, καὶ Ἀλεξάνδρου ἕνεκ' ἄτης·
Οἵοισιν ἐπεὶ Ζεὺς θῆκε κακὸν μόρον, ὡς καὶ ὀπίσσω
Ἀνθρώποισι πελώμεθ' ἀείδιμοι ἐσσομένοισι.

Ταύτῃ λυπηρῶς τὴν Ἑλένην διακειμένην, ἡ Πολυδάμνα φάρμακον πιεῖν παρέσχετο λήθην τῶν κακῶν ἐμποιοῦν· ὁ μὲν οὖν μῦθος οὕτως ἔχει· Γρηγόριος δὲ φησιν ὁ Θεῖος, ὅτι λόγος ἦν παρηγορικὸς τῇ Πολυδάμνᾳ, δι' οὗ τὴν τοσαύτην λύπην τῆς Ἑλένης ἠδύνατο παραμυθεῖσθαι· αἰγυπτίαν δὲ φησὶν εἶναι τὴν Πολυδάμναν· καὶ γὰρ εἰς τὴν νῆσον φαρίαν τὴν Ἑλένην εὑρεῖν λέγεται Μενέλαος παρὰ τῷ Πρωτεΐ, μετὰ τὸν τρωϊκὸν πόλεμον.

ex marg. Σχόλιον *. Χρὴ εἰδέναι ὡς Ὅμηρος κυκεῶνα τὸ φάρμακον φησὶ, τὸ ὑπὸ τῆς Κύρκης ἐνέργειαν ἔχων τοιαύτην, ὡς δύνασθαι μεταβαλεῖν ἀπ' ἀνθρωπίνων σχημάτων εἰς θηριώδεις μορφὰς τοὺς ἐσθίοντας.

208. Τεκμαίρου δ' Ὀδυσσῆϊ τὸν ἐκ πέντειο φυγόντα
209. Γυμνὸν καὶ μελέεσσι τετρυμένον αἰπὺν ἀλήτην,
210. Μύθοισιν πυκινοῖσιν ἑκέσσιον ἀντιάσαντα,
211. Παρθενικὴ περ ἐοῦσ' ἡδέσσατο καὶ βασίλεια,
212. Φαίηκεσσι τ' ἔδειξε καὶ Ἀλκινόῳ βασιλῆϊ
213. Ξείνον, ναυηγὸν, πάντων γεραρώτατον ἄλλων.

Ὀδυσσεὺς ἐν τῇ πλάνῃ ναυηγὸς εἰς Φαίακας κατήχθη· τῶν δὲ Φαιάκων Ἀλκίνοος ἦν βασιλεὺς ὁ φιλόφρων· ἡ τοίνυν Ἀλκινόου θυγάτηρ παρ' αἰγιαλὸν κατελθοῦσα, τὸν Ὀδυσ-

σέα γυμνὲν ὑπό τινα σκέπην ἐθεάσατο καθεζόμενον· προσαγαγοῦσα δὲ καὶ τί ποτε τὸ συμβὰν αὐτῷ πυνθανομένη, καί περ οὖσα παρθένος, τοσούτῳ τὸν Ὀδυσσέως ᾐδέσθη λόγον, ὥστε τοῖς τοῦ ἰδίου πατρὸς αὐτὸν βασιλικοῖς ἀμφιθέμασι περιστολίσαι, καὶ ὡς μέγα τί τῷ βασιλεῖ δεικνύειν Ἀλκινόῳ καὶ τοῖς ἄλλοις Φαίαξιν, ὅτι τῶν ἄλλων πάντων ἦν ἐντιμότατος ὁ ξένος καὶ γυμνὸς καὶ ναυηγὸς ἀλήτης, προὔχων τοῖς τε λόγοις καὶ τῇ συνέσει.

Δελφὶς δ' εὐδιόωσαν ὑπεὶρ ἅλα νῶτα φαεινοῖς 234.
Γυροῖς εὐγνάμπτοισιν ἑλισσόμενος πυμάτοισιν, 235.
Σκιρτῴη κατὰ κῦμα τεὸν βίον ἡγεμονεύων 236.
Ὥς ποτε καὶ νώτοισιν ἀοίδιμον ἤγαγ' ἀοιδόν. 237.

Κιθαρῳδὸς ἦν ὁ Ἀρείων.

Οἷα γέρων μεγάλοισιν ἀεθλητῆρσι κελεύων, 254.
Ἀμφὶ κόνιν πισαῖαν ἐπισταμένοισι λόγοισι. 256.

Σχόλιον ἀνέγνωμεν ἐν τοῖς λόγοις τοῦ θείου Γρηγορίου περὶ τῆς πισαίας κόνεως ὡς παρ' Ὁμήρῳ κεῖται· γέροντα μὲν ἐγκελευόμενον τοῖς μεγάλοις ἀθληταῖς Νέστορα φημὶ, καὶ γὰρ εἰς ἀγῶνας παρακαλούμενος Ἕκτωρ, τοὺς τῶν Ἑλλήνων Δαναοὺς ἀριστῆας, πάντων εὐλαβηθέντων, αὐτὸς σχετλιάσας διελέγετο, τὰ κατὰ τὸν κορυνήτην Ἐρευθαυλίωνα τὸν Λυκούργου παρεισάγων, ὡς αὐτὸς ἀνεῖλεν ἀγωνισάμενος ἔτι νέος ὢν παρὰ πάντας τῇ ἡλικίᾳ ἐν τῇ κατὰ συστάδην πρὸς Ἀρκάδας μάχῃ· γέρων δὲ λέγεται παρ' Ὁμήρῳ καὶ Ποσειδὼν, ὃς ὁμοιωθεὶς τῷ Κάλχαντι πρὸς τοὺς Αἴαντας πρώτους εἶπε, καὶ αὐτοὺς προθυμουμένους· ἔχει δὲ τὸ ἔπος ὧδε· – * ἀλλὰ Ποσειδάων γαιήοχος ἐννοσίγαιος – ἀργείους ὤτρυνεν βαθείης ἐξ ἁλὸς ἐλθὼν – εἰσάμενος Κάλχαντι δέμας καὶ ἀτειρέα φωνήν· – Αἴαντε πρώτω προσέφη μεμαῶτε

* Il. v. 43.

Il. v. 208. καὶ αὐτώ· καὶ ἑξῆς· – Βῆδ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν – ὀτρυνέων Δαναούς, Τρώεσσι δὲ κήδε' ἔτευχεν Ἰδομενεὺς δ' ἄρα οἱ δουρικλυτὸς ἀντεβόλησεν.

Τούτῳ μὲν οὖν πάλιν ὁ Ποσειδὼν διαλέγεται ὁμοιωθεὶς
* v. 89. τῷ Θόαντι κατὰ τὴν φωνήν, καὶ ἑξῆς *· – ἀλλ' Ἐνοσίχθων – ῥεῖα μετεισάμενος, κρατερὰς ὤτρυνε φάλαγγας· – Τεύκρον ἐπὶ πρῶτον καὶ Λήϊτον ἦλθε κελεύων – Πηνέλεων Θ' ἥρωα Θόαντά τε Δίπυλόν τε – Μηριόνην τε καὶ Ἀντίλοχον μήστωρας ἀϋτῆς. – Φησὶν οὖν ὁ θεῖος Γρηγόριος ὡς παρὰ Νικεβούλου πρὸς τὸν υἱὸν περὶ λόγους προθυμούμενον, ὅτι δὴ μᾶλλον ὡρὸς οἷς οὐκ ἀπεῖργω, ἀλλὰ καὶ ὡροθυμούμενον πλέον διεγείρω προτρεπόμενος, οἷά γέρων τοῖς λόγοις τοῖς ἐμπείροις μεγάλους ἀθλητὰς διεγείρων, ἐγκελευόμενός τε πρὸς ἀγῶνα. Κεῖται δὲ πλατυτέρως ἐν τῷ ριθ' λόγῳ περὶ τῆς πισαίας κόνεως· . . . . . .

ΛΟΓΟΣ ΞΓ.

Deest in codice quaternio integer, id est paginae sexdecim. Est autem hoc carmen in editionibus LI.

. . . . κρήνη μελάνυδρος· τῶν δὲ Σαοὺλ ὀφθαλμῶν ταῦτα βλεπόντων, σκότος περιεχύθη δεινὸν· αὐτὸν δὲ πλανώμενον, εὐστόχως οἱ τοξόται κατὰ τῶν ὑποχονδρίων βεβληκότες, ὡς ἐπὶ θήραν προθυμούμενοι κύνες ταχεῖς ἔσπευδον ἐπ' αὐτόν· ὁ δὲ τὸν ὁπλοφόρον ἐπ' αὐτῷ σωάσασθαι τὴν ῥομφαίαν ἠντιβόλει· μὴ πειθομένῳ δὲ τὸ ξίφος ἑαυτοῦ τοῖς κενεῶσι περιπείρας τὸ ἴδιον, πικρὸν ὁμοῦ καὶ μακρὸν τὸν θάνατον ἐπεσπάσατο· ταῦτά τις ἀμαληκίτης ὡς ἄτε φίλῳ τῷ Δαβὶδ ἀπαγγεῖλαι σπουδάζων, τὸν χλιδῶνα τὸν ἐπὶ τοῦ βραχίονος Σαοὺλ καὶ τὸ κατὰ κράνους βασίλειον φέρων ἔρχεται τῷ Δαβὶδ, καὶ χάριν ὡς ἐῴκει κατα-

τιθέμενος, τὰ μὲν ἄλλα σὺν ἀληθείᾳ διίξεσιν, ὅτι δὲ καὶ τὸν Σαοὺλ αὐτὸς ἐπάταξε, κατὰ τῆς ἑαυτοῦ κεφαλῆς ἀπεφήνατο ψεῦδος· αὐτίκα μὲν οὖν ὁ φιλόθεος Δαβὶδ ὑπὸ συμπαθείας ἑλκόμενος, ἐπὶ μὲν τῷ Σαοὺλ καὶ τῷ Ἰωνάθαν ἐπένθησεν ἱκανῶς, ἐπειπών τ' ἀπαγγείλαντι, πῶς οὐκ ἐφοβήθης τὸν Θεὸν ἐπενεγκεῖν τὰς χεῖρας σου ἐπὶ τὸν χριστὸν κυρίου, προστάξας καί τινι τῶν ὑπασπιστῶν ἀνελεῖν αὐτὸν, καὶ τοῦτο φησὶ· τὸ αἷμα σου ἐπὶ τὴν κεφαλήν σου· διότι τὸ στόμα σου κατὰ σοῦ ἀπεφήνατο, ὅτι σὺ ἐσφάταξας τὸν χριστὸν κυρίου· οὕτω δὲ καὶ τοῦ Ἀβεννὴρ ἐπιβουλευθέντος ὑπὸ Ἰωὰβ, ἔκλαυσε Δαβὶδ· καὶ τῷ Σολομῶντι τελευτῶν ἐνετείλατο καταγαγεῖν τὸν Ἰωὰβ ἐν αἵματι εἰς ᾅδου ἀντὶ τοῦ Ἀβεννήρ· καὶ τοῖς υἱοῖς Ῥεμμὼν τοῖς Βηρωθέοις τῷ Βαανᾷ καὶ Ῥιχὰβ κακὴν δίκην παρέσχεν, ὅτι τὸν Ἰεβοσθὲ κατέκτειναν ἐν τῷ κοιτῶνι, τῷ Δαβὶδ τὸ δοκεῖν χαριζόμενοι, τὴν κεφαλὴν Ἰεβοσθὲ πρὸς αὐτὸν εἰς Χεβρὼν ἀπαγαγόντες· θᾶττον δὲ στόματι ξίφους ἀναιρεθέντες καὶ παρὰ τὴν κρήνην κρεμασθέντες· ἀρετὴ γὰρ καὶ πρᾳότης ἦν τῷ Δαβὶδ περισπουδαστότερον ἢπερ βασιλεία.

Οὔτε σε πατρῴης ἀπεμέρσαμεν ὧ ἄνα τιμῆς. 527.

Τὰς παρὰ τέκνων ἐπαγομένας τοῖς γονεῦσιν ἀτιμίας, ἃς καὶ ὁ νόμος ὑποπτίας τίθησι τῆς πατρικῆς αὐτοὺς ἀποκληροῦν γνησιότητος, οὐδαμῶς ἐπενεχθήσεσθαι τῷ χολουμένῳ πατρὶ παρὰ τῶν τέκνων φησὶν· οὐ πατρικῆς ἀπεμερίσαμέν σε τιμῆς, ὅσα πολλάκις παρὰ τῶν παίδων προσάγεται τῷ πατρὶ· ὁ γὰρ Ζεὺς τὸν ἴδιον πατέρα ἐκ τῶν οὐρανῶν ῥίψας, ὡς ὁ περὶ τούτου μῦθος, τῆς βασιλικῆς αὐτὸν τιμῆς ἀπεμέρισε· καὶ τὸν Δαβὶδ τυραννήσας Ἀβεσσαλὼμ τῆς βασιλείας ἐδίωξεν.

328. Οὐδὲ μὲν ἀσταχύεσσιν ἐπεχράσμεν σέο χώρης.

Τοῦ μὲν Ἰωὰβ τὸν ἀμητὸν ἐνέπρησεν Ἀβεσσαλὼμ, οὐ μὴν πατρὶ πρὸς παιδὸς ὑπῆρχθαι πώποτε ἀκηδέσμεν· οὐναιτ' ἂν δὲ καὶ ὧδε νεσθῆναι, ὅτι τῶν αὐθαδείας ἔργων πρῶτον ἐστὶ, καὶ τῆς ἐσχάτης σύμβελον ἐμβροντησίας.

330. Οὐδὲ λέχους ἐπέβημεν, ὃ μὴ φίλον, ἀφραδέοντες.

Τὰς μὲν παλλακὰς Δαβὶδ πατρὸς Ἀβεσσαλὼμ ἐταπείνωσεν, ἐντρέψαι τὸν πατέρα βουλόμενος καὶ τῆς πατρῴας τιμῆς ἀποχωρίσαι κατεπειγόμενος· Ῥουβὶμ δὲ τοῦ Ἰακὼβ ὁ πρωτότοκος τὴν παλλακὴν τοῦ πατρὸς αὐτοῦ Βάλλαν ἐταπείνωσεν, αἰσχύνην τοῦ πατρὸς καταχέας, ὡς αὐτὸς ἐν ταῖς εὐλογίαις Ἰακὼβ περὶ Ῥουβὶμ, σκηρῶς φέρεσθαι καὶ σκληρῶς αὐθάδης, ἀνέβης γὰρ ἐπὶ κοίτην πατρός σου, τότε ἐμίανας τὴν στρωμνὴν οὗ ἀνέβης.

331. Οὐδὲ δόλον φρασάμεσθα σὺν ἀνδράσι δυσμενέεσσιν.

Δόλον τῷ Ἰακὼβ οἱ περὶ τοῦ Ἰωσὴφ κακατεκτηνάμενοι ἐσκέψαντο ἀδελφοὶ· τοῦτον γὰρ ὑπὸ τοῦ πατρὸς περιλημένον, ἐνυπνίοις τὲ θειοτέροις τῆς ἧς περ τιμῆς ἀξιωθήσεσθαι ἤμελλε προβλέποντα τὴν ἀπόβασιν, οἱ ἀδελφοὶ βαλλόμενοι φθόνῳ, θανατῶσαι βουλεύονται· καὶ δὴ ποτὲ κατά τινα παραίνεσιν χῶρον ἀποστείλας τὸν Ἰωσὴφ Ἰακὼβ εἰς ἐπισκοπὴν τῶν ἄλλων αὐτοῦ παίδων, ἐλθόντα βοθύνῳ καταβάλλουσιν ἀνύδρῳ κατὰ τὴν ἔρημον· καί τι χρηστότερον αὐτῷ βουλευσάμενοι, μὴ καλὸν εἶναι τὸν ἀδελφὸν θανατῶσαι φήσαντες, ἰσμαηλίταις εἰς Αἴγυπτον κατιοῦσι, τριάκοντα δηναρίων ἀπέδοντο, τὸν δὲ περὶ αὐτὸν αἱμάξαντες ποικίλον χιτωνίσκον, δόλῳ τὸν πατέρα λαβόντες, ὡς ὑπὸ θηρὸς ὤλετο, πένθος αὐτῷ παρεῖχον ἀφάρτον· ὁ δὲ καταχθεὶς εἰς Αἴγυπτον, καὶ τῶν Φαραὼ τῷ προέχοντι

ἀνηθεὶς, ὑπό τε τῆς κυρίας ἐρασθεὶς, καὶ γὰρ ὡραῖος ἦν, καὶ σωφροσύνης ἀντισχεθεὶς, λειφθεὶς, εἰφχθεὶς, ἐνύκνια συγκρίνας τοῖς παισὶ Φαραὼ, καὶ αὐτῷ μετέπιτα Φαραὼ προφητεύσας, χάριτος πλησθεὶς, πάσης βασιλεύσας γῆς Αἰγυπτίων, προστάτης ἦν τοῦ γένους καὶ τῶν ἐπιβούλων κύριος ἀδελφῶν. Δόλον δὲ τῷ Δαβὶδ σὺν τῷ Ἀχιτόφελ καὶ Ἀβεσσαλὼμ ἐβουλεύσατο.

ΛΟΓΟΣ ΞΔ.

ΠΡΟΣ ΝΕΜΕΣΙΟΝ ΑΡΧΟΝΤΑ ΕΛΛΗΝΑ.

Ed. carm. LXI.

Ἦ σταυροῦ μεγάλοιο χαράγματι, μὴ δὲ μένοντι 83.
Ἠέρα μέσον ἔγραψε, τύπος δ' ἔσησε τρόπαιον, 84.
Ὡς τὸ πάρος Μωσῆος ἀγακλέος ἐν παλάμῃσιν. 85.

Κεῖται ἡ παροῦσα ἱστορία ἐν τῷ α΄ λόγῳ.

Οἳ παθέεσσιν 91.
Ἄλκαρ ἑοῖς μήσασθε, θεοὺς σήσασθαι ἀλιθρούς, 92.
Ψεύσας, πατροφόνους, σκολιοὺς, ἐπίερκον ὁμοῦντας, 93.
Ἅρπαγας, ἀνδροφόνους, μιαιφόνους, ἐπιβήτορας ἀνδρῶν. 94.
Ἄθρει δὲ πρώτιστον ὃς ἔπλετο μαργοσύνῃσι,
Ταῦρος, κύκνος, χρυσὸς, ὄφις, πόσις, ἄρκτος, ἅπαντα
Ὅσσά μιν ὠκὺς ἀνῶγεν ἔρως, κοῦρος τ' ἀλαπαδνός.

Κεῖνται αἱ πᾶσαι προκείμεναι ἱστορίαι ἐν τῷ γ΄ λόγῳ.

Σκέπτεό μοι κρατὸν ἄλλον ἀγακλειτῶν ἐπικούρων, 103.
Ἰθυφάλους κερθέοντας ἀναύχενας ἡμιδράκοντας 104.
Θῆρας θηρομιγεῖς τε γελώϊον εἶδος ἔχοντας. 105.

Ἰθύφαλλοι εἰσὶν οἱ περὶ Διόνυσον γενόμενοι· ἐν γὰρ τῇ Διονύσου ἑορτῇ, φαλλοὺς δερματίνους σχηματιζομένους εἰς αἰδοῖα ἀνδρὸς περιετίθεσαν Ἕλληνες ἑαυτοῖς εἰς τιμὴν τοῦ

Θεοῦ· καί τινας τῶν φαλλῶν ἀπήρτων ἀπὸ τοῦ τραχήλου ἑαυτῶν, ἄλλους δὲ περὶ τὴν ὀσφὺν τὴν ἑαυτῶν ἰθυτενῶς περιεδέσμουν, μιμουμένους αἰδοῖον ὄρθιον, οὓς καὶ ἰθυφάλλους ἐκάλουν· ὡς εἶναι τῶν φαλλῶν τοὺς μὲν ἰθυφάλλους, τοὺς δὲ πλαγιοφάλλους· τοῦτο δὲ ἐποίουν τιμῶντες τὸν ἐραστὴν τοῦ Διονύσου· λέγεται γὰρ ὅτι ἠράσθη μειράκιον τοῦ Διονύσου· εἶτα τοῦτο πρὶν ἐπιτύχῃ τῆς ἀσελγείας ὠντισθὲν περὶ τὴν Λέρνην ἀπέθανεν· ὁ οὖν Διόνυσος ἀφοσιώσασθαι βουλόμενος τὸν ἔρωτα τοῦ ἀποθανόντος μειρακίου, σύκινον αἰδοῖον πελεκίσας, περιῆψεν εἰς τὸν ἑαυτοῦ τράχηλον, καὶ οὕτως περιήει· καὶ ἐκ τούτου τιμῶντες τὸν Διόνυσον Ἕλληνες, τοὺς φαλλοὺς περιετίθεσαν ἑαυτοῖς.

Ἀναύχενοι δὲ εἰσὶν οὗτοι· τὴν Ἑκάτην θεὸν νομίζουσιν Ἕλληνες, καὶ οἱ μὲν αὐτὴν εἶναι λέγουσι τὴν Ἄρτεμιν, οἱ δὲ τὴν σελήνην, ἄλλοι Ὠδικήν * τινα θεὸν ἐν φάσμασιν ἐκτόποις φαινομένην τοῖς ἐπικαλουμένοις αὐτήν· μάλιστα δὲ φαίνεται τοῖς καταρωμένοις· τὰ δὲ φάσματα αὐτῆς δρακοντοκέφαλοι φαίνονται ἄνθρωποι, καὶ ὑπερμήκεις καὶ ὑπερμεγέθεις, ὥστε ἐκ μόνης τῆς θέας καταπλῆξαι καὶ δειματῶσαι τοὺς ὁρῶντας· ἡμιδράκοντες δὲ εἰσὶν οὗτοι· λέγουσι τὴν Ἀθηνᾶν Ἕλληνες παρθένον οὖσαν, τεκεῖν δρακοντόμορφον ἄνθρωπον τοιῶσδε· ὁ Ζεὺς φησὶ βουλόμενος ἀποκυῆσαι τὴν Ἀθηνᾶν ἐκ τοῦ ἐγκεφάλου αὐτοῦ, ἐδεῖτο συνεργοῦ τοῦ λαβόντος καὶ πλήξαντος τὴν κεφαλὴν ἵνα ἀποκυηθῇ· καὶ λόγους προσφέρει τῷ Ἡφαίστῳ περὶ τούτου· ὁ δὲ Ἥφαιστος οὐκ ἄλλως εἵλετο σχίσαι τὴν κεφαλὴν τοῦ Διός, εἰ μὴ τὴν γεννωμένην διαπαρθενεύσει· καὶ ἠνέσχετο ὁ Ζεύς· λαβὼν δὲ ὁ Ἥφαιστος τὸν βύπληγα, τέμνει τὴν κεφαλὴν τοῦ Διός, καὶ ἐξῆλθεν ἡ Ἀθηνᾶ, καὶ ἐπε-

* ita cod.

δώκεν αὐτὴν ὁ Ἥφαιστος ἵνα αὐτῇ συγγένηται, καὶ ἐπιδιώκων ἐπεσπέρμαινεν ἐπὶ τὸν μηρὸν τῆς Ἀθηνᾶς, ἡ δὲ Ἀθηνᾶ λαβοῦσα ἔριον, ἐξαίμαξε τὸ σπέρμα καὶ ἔρριψεν ἐν τῇ γῇ, καὶ ἐγένετο ἐκ τῆς γῆς καὶ τοῦ ἐρίου ἄνθρωπος δρακοντόπους ὃς ἐκαλεῖτο Ἐριχθόνιος, ἀπὸ τοῦ ἐρίου καὶ τῆς χθονὸς λαβὼν τὸ ὄνομα.

Θῆρες εἰσὶ καὶ θηρομιγεῖς εἶδε· φασὶν Ἕλληνες ὅτι ἐσπάρησαν καὶ ἀνεφύησαν αὐθημερὸν γίγαντες· ἔστι δὲ ἡ ἱστορία αὕτη· ἐν Θήβαις τῆς Βοιωτίας λέγεται ὁ Κάδμος ἢ ἄλλός τις, ὃς λαβὼν τοὺς τοῦ Δελφίνου δράκοντος ὀδόντας, ἔσπειρεν εἰς τὴν γῆν, καὶ ἀνεδόθησαν ἔνοπλοι ἄνδρες· ἀνεδόθησαν δὲ ἀπὸ μηροῦ ἕως ἄνω, καὶ οὕτως ἱστάμενοι ἐπολέμουν ἑαυτοὺς καὶ τοὺς ἄλλους· γελοῖον δὲ λέγει εἶδος τούτους ἔχοντας, ἐπείπερ συντέθεινται πολυμόρφως ἐκ διαφόρων ζώων τε καὶ κτηνῶν καὶ θηρίων· καὶ γὰρ καὶ Τριπτόλεμος δρακόντων ἐπτερωμένων ἐπιβὰς, συμπαραλαβὼν καὶ τὸν Κελεὸν, ἐφιλοτιμεῖτο τὰ σωέρματα· ἡ γὰρ Δημήτηρ πλανωμένη περὶ τῆς θυγατρὸς Περσεφόνης, ἦλθεν ἐν κώμῃ Ἐλευσίνῃ, καὶ παρὰ τοῦ Τριπτολέμου μαθοῦσα ὡς Πλουτεὺς αὐτὴν ἥρπασεν, ἔζη τῆς πλάνης· ὅθεν καὶ χάριν ἀντὶ χάριτος, τὰ σπέρματα τῷ Τριπτολέμῳ δέδωκε, καὶ τοὺς ἀνθρώπους σπείροντας τὰ ἀπὸ γῆς ἐδίδαξεν ἐσθίειν· βαλάνους γὰρ πρὸ τούτου ἤσθιον σωέρμα φηγοῦ, ὅθεν καὶ τὸ φαγεῖν ἐκλήθη· εἰσὶ δὲ καὶ ἄλλα τινὰ παρ' Ἕλλησιν ἀγαλμάτια μικρὰ· ἐν οἷς ἦν κεφαλὴ κυνὸς, καὶ παραφυομένη ἄλλη κεφαλὴ αἰλούρου, καὶ ἑτέρα ἱέρακος, καὶ ἔσεβον Ἕλληνες ταῦτα καὶ ἐν οἴκοις ἔγραφον· οὐ μόνον δὲ τοιαύτην φύσιν ἔγραφον, ἀλλὰ καὶ ἄλλα θηριόμορφα τινὰ, ἃ ἐσέβοντο οἱ αἰγύπτιοι.

Αὐτοῖς δ' αὖ νόος ἐστὶν ὑφειμένος εἴδεϊ μάχλῳ,
Σεμνότερος, πινυτοῖσιν ὁρώμενος ἀμφιπρόσωπος
Ἑρμᾶς δίγλυφος, ὅια πρόσω τὸ μὲν, ἄλλο δ' ὄπισθεν.

Τοῖς τοιούτοις φησὶ ψευδωνύμοις θεοῖς, καὶ τὸ πρόσωπον αὐτὸ κατηφὲς τῇ περικῇ μορφῇ συγκεχυμένον, ὡς τοῖς συνετοῖς ὁρᾶται περισπρόσωπος ἐκείνοις· καὶ ὁ μὲν Ἑρμᾶς δίγλυφος ἐστὶν, ἄλλό τι ἔμπροσθεν, ἄλλο δὲ ὄπισθεν· οὕτως γὰρ Ἕλληνες τὸν Ἑρμᾶν ἀνατιθέασιν.

Τίς Σκύλλης σκοπέλους σε διεκπλώοντα κελεύει
Σπεύδειν εἰς Ἰθάκην, μή πως πάρος ἐνθάδ' ὄλῃαι;

Μυθεύεται κατὰ τὸ τυρσηνικὸν πέλαγος, θηρίον ἐσ' ὀρέων, ὅπερ ἐστι γυνὴ μὲν περικαλλὴς, μέχρις ὀμφαλοῦ ἔνθεν καὶ ἔνθεν δὲ κυνῶν κεφαλαὶ προσπεφύκασιν αὐτῇ ἓξ, τὸ δὲ ἄλλο αὐτῆς σῶμα ὀφιῶδες· ὅσπερ θηρίον φησὶ τοὺς παραπλέοντας τὰ πελάγη ταῦτα κατήσθιεν ἀφειδῶς καὶ θηριωδῶς· Ὀδυσσεὺς οὖν ἰθακήσιος ὢν τὴν ἐνεγκαμένην, μετὰ τὸν τρωϊκὸν πόλεμον πολλὰ πεπλάγχθαι λέγεται· καὶ γὰρ Ὅμηρος ὧδέ φησι περὶ αὐτοῦ δι' ἐπῶν.

Ἄνδρα μοι ἔννεπε μοῦσα πολύτροπον, ὃς μάλα πολλὰ
Πλάγχθη, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν.

Οὗτος οὖν κατὰ τοὺς σκοπέλους γέγονε τῆς Σκύλλης, πρὶν ἢ δὲ παραγενέσθαι, συμβουλικῶς ἡ Κίρκη πρὸς αὐτὸν τάδε φησὶ· βουλομένη παρ' ἑαυτῇ κατασχεῖν αὐτὸν, καὶ τὸν ἐκ τῆς Σκύλλης κίνδυνον ὑποφαίνουσα, δι' ἧς παραπλέων ὁ Ὀδυσσεὺς, ἓξ τῶν ἑταίρων ἀπώλεσεν, ἄνωθεν τῆς Σκύλλης πρὸς ἑαυτὴν ταῖς ἓξ κεφαλαῖς τοσούτους ἀνελκυσάσης καὶ δεινῶς καταβρωσάσης, καὶ τῶν μὲν ἐπιβωμένων, Ὀδυσσέως δὲ βλέποντος καὶ βοηθῆσαι μὴ δυναμένου.

Τίς δ' ὀλοὴν σε Χάρυβδιν ἀπηνέα; τίς δ' ἐπὶ πηγὴν

Τῆς καθαρῆς θεότητος ἐν ἰλὺϊ θηβύνεντα· 151
Ἰλὺς πρόσθ' ἀπέθηκε, τόθ' ἕκφυγεν ἀγλαὸν ὕδωρ. 152

Περὶ τὸ σικελικὸν τοῦτο καὶ τυρσηνικὸν πέλαγος ἔστι τις τόπος ἐν ᾧ ἡ θάλασσα γίνεται ἄμπωτις καὶ ῥαχία, καὶ διίσταται τὸ ὕδωρ, ὥσε τὸν πυθμένα τῆς θαλάσσης κατὰ τοῦτο τὸ μέρος, εἴγε δυνατὸν, ὁρᾶσθαι· ἄμπωτις δέ ἐστιν οἱονεὶ ἀνάπωτις τις καὶ ἀναῤῥόφησις· τὸ δὲ ὕδωρ ὑπενεγεῖ ἔν τισι κοιλώμασι τῶν πετρῶν, καὶ πάλιν ἐκρήγνυται, ὃ καὶ καλεῖται ῥαχία· ἦν δὲ ὁ τόπος οὗτος τοῖς πλέουσιν ἄβατος, ἐπικίνδυνός τε καὶ θανάτου μεστὸς· ὁλοβρύχιον γὰρ ἐγίνετο ἐν τούτῳ τῷ τόπῳ τὸ πλεῖν, εἰ συνέβη πλέοντος τοῦ πλοίου, γενέσθαι ῥαχίαν καὶ ἄμπωτιν· μέμνηται τούτων καὶ Ὅμηρος ὧδε λέγων δι' ἐπῶν· – ἔνθεν μὲν Σκύλλη, ἑτέρωθι δὲ δῖα Χάρυβδις· – ἀντίθετον δὲ ἐκάλεσε τὴν Χάριβδιν πρὸς τὴν Σκύλλαν παραβαλών.

Ὀρφεὺς θῆρας ἄγοι, Πέρσῃ δ' ἀσκραῖος ἀείδοι 241.
Ἡσίοδος, Τροίην δὲ καὶ ἄλγεα πηρὸς Ὅμηρος, 242.
Μουσαῖος τε Λῖνός τε, θεῶν ἄπο μέτρα φέροιεν, 243.
Οἳ ῥὰ παλαιοτάτῃσιν ἐπικλεὲς εἰσὶν ἀοιδαῖς. 244.
Ἑρμῆς ὁ τρισάριστος ἐμοῖς ἐπέεσσιν ἀρήγοι, 245.
Οὐδὲ θέλων, ταυρὸν δὲ σέβοι μέτροισι Σιβύλλα 246.
Τῆς μεγάλης θεότητος ἐλαυνομένη βελέεσσιν, 247.
Οὐδὲν ἐπιστρέφομαι, καὶ εἴ τινες ἄσσον ἴκοντο, 248.
Οὐ θεόθεν, βίβλων δὲ παρακλέψαντες ἐμεῖο. 249.

Ἤδη μὲν περὶ Ὀρφέως ἡμῖν εἴρηται, ὡς θρᾷξ ἦν τὸ γένος, καὶ ὅτι λύραν αὐτὸς λέγεται κρούειν εὐστόχως, ἢ τοὺς λίθους εἵλκε, καὶ θῆρας ἐκοίμιζε, καὶ ὅσα τοιαῦτα· καὶ τῆς κιθάρας τὸν τρόπον, κατά τε τὸν πρόχειρον καὶ μέν τοι καὶ τὸν ἀναβεβηκότα νοῦν εὐκρινῆ κατεστήσαμεν.

Κεῖται ἐν τῷ ξγ΄ λόγῳ.

Ἀσκραῖος δέ ἐστιν Ἡσίοδος, οὗ διὰ πτωχείαν ὁ πατὴρ Ἄσκρην ᾤκησε κώμην· ᾄδει δὲ Πέρσῃ· τὰ δὲ ἄσματα λόγοι τινὲς εἰσὶ πρὸς ψόγον, καὶ ὥσπερ φησὶ τὸ θρησκεύειν Θρακῶν ἐστὶν, οὕτω καὶ τὸ θύειν θεοῖς χαλδαῖοι ἐφεῦρον ἥτοι κύπριοι· διαφερεῖται οὖν ἡ ἱστορία· χαλδαῖοι δὲ ἔθνος ἐστὶ περσικόν· τὴν δὲ ἀστρονομίαν λέγονται πρῶτοι εὑρηκέναι βαβυλώνιοι διὰ Ζωροάστρου· δεύτεροι δὲ ἐδέξαντο αἰγύπτιοι· τὴν δὲ γεωμετρίαν εὗρον αἰγύπτιοι, ἐκ τοῦ ἀπλέτου τῆς γῆς καὶ τῆς διαιρέσεως τῶν χωρῶν προδιδαχθέντες, καὶ εἶθ' οὕτως συγγράψαντες καὶ χρώμενοι· τὴν δὲ μαγείαν φησὶν εὗρον μῆδοι πρῶτοι, εἶτα πέρσαι· διαφέρει δὲ μαγεία γοητείας· ἡ μὲν μαγεία ἐπίκλησίς ἐστι δαιμόνων ἀγαθοποιῶν πρὸς ἀγαθοῦ τινὸς σύστασιν· ὥσπερ τὰ τοῦ Ἀπολλωνίου τοῦ τυανέως θεσπίσματα δι' ἀγαθῶν γεγόνασι· γοητεία δέ ἐστιν ἐπίκλησις δαιμόνων κακοποιῶν περὶ τοὺς τάφους εἱλουμένων ἐπὶ κακοῦ τινὸς σύστασιν· γοητεία δὲ ἤκουσεν ἀπὸ τῶν γόων καὶ τῶν θρήνων τῶν περὶ τοὺς τάφους γινομένων· φαρμακεία δὲ ὅτ' ἂν διά τινος σκευασίας θανατηφόρου πρός φίλτρον δοθῇ τινὶ διὰ στόματος· ἱστέον δὲ ὡς Ἄτλαντα φασὶ τὸν Προμηθέως ἀδελφὸν ἐφευρεῖν τὴν ἀστρολογίαν, ἐπιστήμης δὲ ἕνεκεν φέρειν περήρισται τὸν οὐρανὸν αὐτόν· Εὐριπίδης δὲ ὁ τραγικὸς ὄρος ὑπερνέφελον ἔφησε τὸν Ἄτλαντα. Ἡσίοδος θεογονίας λέγει τινάς· ἔστι δὲ καὶ αὐτὸς τῶν πραττομένων ποιητῶν, οὗ τινος τρία ποιήματα πράττονται, ἡ καλουμένη θεογονία, καὶ τὰ καλούμενα ἔργα καὶ ἡμέραι, καὶ ἡ καλουμένη ἀσπὶς· ἐν τῇ οὖν θεογονίᾳ Ἡσίοδος ἄρχεται καταριθμεῖσθαι τὰς γενέσεις τῶν θεῶν· καὶ γάρ φησιν· ἐν ἀρχῇ ἦν ἔρεβος καὶ χάος, τοῦτ'

ἐστι ζόφος καὶ βυθὸς· ἐκ τοῦ χάους καὶ τοῦ σκότους ἐγεννήθη οὐρανὸς καὶ γῆ· ἐκ τοῦ οὐρανοῦ καὶ γῆς, ὁ Κρόνος· ἐκ τοῦ Κρόνου, Ζεὺς, Ποσειδῶν, Πλούτων· εἶτα καταμέρει σειρὰς γενῶν καὶ θεῶν καινοτέρων ἐνεμάτων, καὶ ἔτι εἶδε οἱ θεοὶ μετὰ τῶνδε ἐπολέμησαν, καὶ εἶδε ἠττήθησαν, καὶ εἶδε διεσπάραξαν τόνδε ἢ τούσδε· οἱ γὰρ Τίτανες λέγονται τὸν Διόνυσον διασπαράξαι· Τίτανες δὲ εἰσὶν ὑποταρτάριοι τινὲς, ὡς Ὅμηρος· – τοὺς δ' ὑποταρταρίους αἱ Τιτῆνες καλέονται· – μέμνηται δὲ καὶ τούτων ὁ προφήτης Ἰεζεκιὴλ λέγων, ἐν τῇ κοιλάδι τῶν Τιτάνων· Τίτανας καλῶν τοὺς περὶ τὸν Ἀντίχριστον συμμάχους, ἐξ ὑποδείγματος τοῖς ἑρμηνευταῖς ληφθὲν· καὶ γὰρ πολλοῖς κέχρηνται τοῖς τῶν ἔξωθεν, καὶ μάλιστα τοῖς ἐξ αὐτῆς φύσεως τοὔνομα λαχοῦσιν, ὡς ᾅδης καὶ ἀμείδητος, καὶ γάρ ἐστιν ἀηδὴς καὶ ἀγέλαστος ὁ χῶρος· Πλουτεὺς δὲ πάλιν ὅτι πάντοτε δεχόμενος, οὐδέ ποτε δίδωσι· καὶ ὅσα τοιαῦτα φερωνύμως ἢ μεταφορικῶς ἐκλήθη· καὶ γοῦν Ἡσίοδος τοιαῦτα τινὰ ὀνόματα παρεισάγει· Κόττον καὶ Βριάρεων λέγει τινὰς γεννᾶσθαι ἀπὸ ἑκατὸν χειρῶν ἐχόντας· οὗτοι φησὶ τοὺς γίγαντας ἐπολέμησαν μετὰ τῶν θεῶν· οἱ γὰρ γίγαντες μυθεύονται κατὰ τῶν θεῶν ἐπαναστῆναι, ἕως ἂν ἐκεραύνωσεν αὐτοὺς ὁ Ζεὺς· ὁμοίως δὲ περὶ τῶν δρακοντοπόδων ὁ Ἡσίοδος λέγει, ὅτι ἐγεννήθησαν ἄνθρωποι δρακοντόποδες· μέμνηται δὲ τῶν κεραυνοφόρων ὁ θεῖος Γρηγόριος τῶν ἑαυτοῦ λόγων καὶ ἀλλαχοῦ· καὶ τὸν μὲν Δία κεραυνοφόρον φησὶν, ὅτι τοῖς γίγασι κεραυνὸν ἐπαφῆκεν· οὗτος δὲ καὶ τὴν Σεμέλην ἀνήλωσε τὴν Διονύσου μητέρα· φασὶ δὲ παραληροῦντες ἕλληνες, Ἀστεροπὴν καὶ Βροντὴν τινὰς, οἵ τινες τὴν ἀστραπὴν καὶ τὴν βροντὴν ἐχάλκευσαν τῷ Διὶ καὶ τοὺς κε- Il. ξ. 279

ραυνοὺς· ὅθεν καὶ τὰς νήσους καὶ τοὺς τάφους καὶ βέλη τινὰ ἐπαφεῖσθαι λέγει παρὰ τῶν θεῶν· ταῦτα τοίνυν Ἡσίοδος μυθολογεῖ· τὰ δὲ τούτων πικρὰ γεννήματα λέγει· ἐκ δὲ τοῦ τῶν γιγάντων αἵματος ταῦτα φησὶ γεγονέναι τὰ θανατηφόρα ζῶα, οἷον ἅπερ αὐτὸς καταριθμεῖται, τὴν περὶ τὴν Λέρνην ὕδραν· αὕτη δὲ ἐστὶν ὁ ἐννεακέφαλος ὄφις, οἱ δὲ πεντηκοντακέφαλος, ὃν λέγουσιν ἀναιρεθῆναι ὑπὸ τοῦ Ἡρακλέους· καὶ τὴν Χίμαιραν ἧς μέμνηται Ὅμηρος διʼ ἐπῶν οὕτω λέγων – πρῶτον μὲν ῥὰ Χίμαιραν ἀμαιμακέτην ἐκέ-
ζ. 179. λευσε – πεφνέμεν, ἣ δʼ ἄρʼ ἔην θεῖον γένος οὐδʼ ἀνθρώπων – πρόσθε λέων, ὄπισθεν δὲ δράκων, μέσση δὲ Χίμαιρα – δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο· – ταύτην ἀνεῖλεν ὁ Βελλεροφόντης εὑρὼν ἐκ θεοῦ τὸν Πήγασον ἵππον ἐν Πάτραις τῆς Λυκίας. Ὁμοίως δὲ καὶ τὸν Κέρβερον φησὶν· οὗτος δὲ κύων ἦν περὶ τὴν πύλην τοῦ ᾅδου τρεῖς κεφαλὰς ἔχων· καὶ τοὺς μὲν κατιόντας περὶ τὸν ᾅδην ἔσαινε, τοὺς δὲ ἀνιόντας κατήσθιεν· ὃν ἐφόνευσεν ὁ Ἡρακλῆς ὅτε διὰ τὴν Περσεφόνην κατῆλθε συναρπάσαι τῷ Πειρίθῳ ἀνιών. Καὶ περὶ Γοργόνων δὲ φησὶν ὅτι τρεῖς ἦσαν γυναῖκες, φοβερὰ τοσοῦτον τὰ πρόσωπα ἔχουσαι, ὥσε τοὺς θεωμένους αὐτὰς ἀποθνήσκειν· λέγεται δὲ ὁ Περσεὺς τὴν μίαν τούτων ἀνελεῖν τῷ λόχῳ δρεπάνῳ· καὶ ταῦτα μὲν περὶ τῆς Ἡσιόδου θεογονίας.

Ὅμηρος δὲ πολέμους καὶ σφαγὰς ἄνω καὶ κάτω τῶν αὐτοῦ ποιημάτων ἱστορεῖ, καὶ μυρίων κακῶν συμφορὰς γεμούσας παρεισάγει, καὶ τινὰ ληρήματα, ἅττα διὰ τὸ πλῆθος οὐκ εὔκαιρον καθʼ ἓν διηγήσασθαι· βραχέα δὲ καὶ τῶν αὐτοῦ παραθήσομεν ληρημάτων· καὶ γὰρ ἐν τῇ πολυθρυλλήτῳ τούτου ἱστορίᾳ τῶν ποιημάτων, Δία καὶ Κρόνον περι-

στρίφει μυθολογῶν, Ἥραν τὲ, καὶ Ἀφροδίτην, Ἀθηνᾶν ἐπὶ τούτοις, Ἀπόλλωνά τε, καὶ τὴν πικρὰν Ἐνυὼ, καὶ ἴσους ἁπλῶς ἐκ τῆς ποιήσεως ἴσμεν· ἔστι δὲ ποτὲ μὲν κωμῳδοποιὸς, ποτὲ δὲ τραγῳδὸς· κωμῳδὸς μὲν ὡς ὅτ' ἂν ἕνια τινὰ εἰς θεοὺς εἰρημένα παρ' αὐτοῦ ἀποσκώμματα παρεισάγει, οἷον ὅτι Ἥρα φορήσασα καὶ καλλωπισαμένη ἀπῆλθε παρὰ τῷ Διΐ, καὶ ἠπάτησεν αὐτὸν καὶ συνεκαθεύδησεν αὐτῇ, καὶ εἶτι τούτου γελοιωδέστερον φάσκει· τραγῳδὸς δὲ, ὁποῖος ὅτι ἕνια πένθιμα περὶ τῶν θεῶν μυθολογεῖ· οἷον ὅτι τὸν Ἥφαιστον κατεκρήμνισεν ἐν Λήμνῳ, καὶ τὴν Ἥραν αἰθέρι καὶ νεφέλαις ἐκρέμασε, σιδηροῖς ἄκμωσι καθελκομένην, καὶ χρυσαῖς ἁλύσεσι δεδεμένην· ὅτι πρὸς ὕπνον φησὶν αὐτὸν ὑπέσυρε, τὸν ὕπνον ἐπελθεῖν αὐτῷ παρακελευσαμένη· καὶ κατὰ τοῦ Ἡρακλέους τὸν σάλον ἐξεγείρασα τῆς θαλάσσης, ὅτε τῆς Τροίας ὑπέστρεφε, τοῦτον σὺν τῷ Τελαμῶνι πορθήσασα, καὶ γὰρ λέγεται ζῆλον ἔχειν πρὸς τὸν Ἡρακλῆν τὴν Ἥραν, καὶ τούτου χάριν ὑποσύραι πρὸς ὕπνον τὸν Δία, ὡς ἐκείνου ἀπολλυμένου, μὴ τάχος ἀναστὰς ὁ Ζεὺς βοηθήσειε· καὶ τοῦτο φησὶν ἀφυπνισθέντα τὸν Δία μαθεῖν, καὶ τοιαύταις τὴν Ἥραν ὑποβαλεῖν τιμωρίαις.

Καὶ ἑτέρωθι ὡς Ἀφροδίτη καὶ Ἄρης ὑπὸ Διομήδους ἐτρώθησαν· καὶ αὐτὸς Ἀπόλλων ἐκινδύνευσε τοῦτο παθεῖν· ὅτι τὲ τὸν Ἄρεα Ὦτος καὶ Ἐφιάλτης ἐν κεράμῳ χαλκῷ δέσμιον κατέσχον· οὗτοι γὰρ Ἀλωέως ὄντες παῖδες, περὶ τὴν Θετταλίαν οἰκοῦντες, τύραννοι τὴν φύσιν ὑπάρχοντες, ἀνταρσίαν ἐμελέτησαν κατὰ τῶν θεῶν· ὁ οὖν Ἄρης, φησὶν, ἐπῆλθε κατ' αὐτῶν· εἶτα ἡττηθεὶς ὑπ' αὐτῶν, ἐδέθη χαλκῷ κεράμῳ· χαλκὸς δὲ κέραμος ἡ πόλις ἐστὶν οὕτω καλουμένη, ἢ εἶδος δεσμοῦ δυσχεροῦς καὶ δυσλύτου· λέγονται δὲ οἱ περὶ

Ὦτον καὶ Ἐφιάλτην, ὡς ἐννεάτεις ὄντες, τὸ μὲν μῆκος εἶχον τῆς ἡλικίας ὀργυιῶν ἐννέα, τὸ δὲ πλάτος ἐννέα πηχῶν· ηὔξανον δὲ κατ' ἐνιαυτὸν κατὰ μὲν τὸ μῆκος πήχυν ἕνα, σπιθαμὴν δὲ κατὰ τὸ πλάτος· ἐβουλεύσαντο οὖν τὴν Ὄσσαν τῷ Ἄθῳ περιθεῖναι, ἔρη δέ εἰσι περὶ τὴν Θράκην, ὅπως εἰς οὐρανὸν ἀναβάντες τοῖς θεοῖς πολεμήσωσι· διὸ καὶ αὐτοὺς ὁ Ζεὺς ἐκεραύνωσε, προδεθέντος χρησμοῦ τῇ μητρὶ αὐτῶν Μολιόνῃ, ὅτι διὰ τὴν ὑπερηφανίαν αὐτῶν κεραυνωθήσονται· ὑφ' ὧν ὁ Ἄρης, ὡς ἔφαμεν, ἡττηθείς, χαλεπῶς κατεπονεῖτο· ὡς αὐτοῦ λέγοντος Ὁμήρου δι' ἐπῶν
Il. ε. 387. ἐξίην ἀκοῦσαι· – χαλκέῳ δ' ἐν κεράμῳ δέδετο τρεῖς καὶ δέκα μῆνας· – καὶ νύ κεν ἔνθ' ἀπόλοιτο Ἄρης ἆτος πολέμοιο· – εἰ μὴ μητρυιὴ περικαλλὴς Ἠερίβοια· – Ἑρμείᾳ ἐξήγγειλεν – ἤδη τειρόμενον, χαλεπὸς δὲ ἑ δεσμὸς ἐδάμνα. – Ὡσαύτως περὶ Ἥρας καὶ Ἡρακλέους ὡς ἀκίδι ταύτην ἐβεβλήκει κατὰ τοῦ δεξιοῦ μαζοῦ· ἔχει δὲ τὸ ἔπος ὧδε· – τλῆ δ' Ἥρη ὅτε μιν κρατερὸς παῖς Ἀμφιτρύωνος – δεξιτερὸν κατὰ μαζὸν ὀϊστῷ τριγλώχινι βεβλήκει. – Πάλιν τὲ παρεισάγει τὸν Διόνυσον τὴν ἀπειλὴν τοῦ Λυκούργου φεύγοντα, κατὰ θαλάσσης εἰσπηδῆσαι, ὃν ὑπεδέξατο σύντροφον ἡ Θέτις· ἔχει δὲ τὸ ἔπος·
Il. ζ. 130. οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱὸς κρατερὸς Λυκόοργος δὴν ἦν ὃς ῥὰ θεοῖσιν ἐπουρανίοισιν ἔριζεν· – ὃς ποτὲ μαινομένοιο Διωνυσοῖο τιθήνας – σεῦε κατ' ἠγαθέην νυσσήϊον· αἱ δ' ἅμα πᾶσαι – θύσθλα κατέχευαν, ὑπ' ἀνδροφόνοιο Λυκούργου – θεινόμεναι βουπλῆγι· Διώνυσος δὲ φοβηθείς – δύσεθ' ἁλὸς κατὰ κῦμα, Θέτις δ' ὑπεδέξατο κόλπῳ – δειδιότα, χαλεπὸς γὰρ εἶχε τρόμος ἀνδρὸς ἐμοκλῆ.

Ταῦτα δὲ θῆθεν δακρύων ἄξια, καὶ τῇ μὲν τραγῳδίᾳ τὸ δάκρυον ἕπεται, τῇ δὲ κωμῳδίᾳ γέλως· τοσαῦτα δὲ συμ-

βίναι κακὰ φησὶν, ὥστε καὶ τοὺς θεοὺς αὐτοὺς φοβηθῆναι τὰς συμφοράς· τοῦ γὰρ Ἀχιλλέως φησὶ κατὰ κράτος ἀριστεύοντος, φόβος ἔλαβε τὸν Δία, μήπως κατὰ τὸ εἱμαρμένον Ἀχιλλεὺς πορθήσῃ τὸ Ἴλιον· τοῦτο δὲ φοβούμενος, φησὶ, τοῖς θεοῖς ἐπιτρέπει τὸν βουλόμενον ᾧ βούλεται ἀπελθεῖν καὶ βοηθῆσαι, ἵνα οἱ μὲν τοῖς τρωσὶν οἱ δὲ τοῖς Ἕλλησι βοηθήσωσι· τούτων ἐπιτραπέντων, ὁ μὲν Ζεὺς βροντᾷ ἐκ τοῦ οὐρανοῦ, φησὶν, ὁ δὲ Ποσειδὼν σείει τὴν θάλασσαν· Ἅιδης δὲ τῆς θαλάσσης καὶ τοῦ οὐρανοῦ σαλευθέντων, ἐφοβήθη μή πως καὶ τῆς γῆς σεισθείσης, ἐξαναῤῥῆξις γένηται τῶν καταχθονίων, καὶ δημοσιευθῇ τὰ κατ' αὐτῶν· ἔστι δὲ τὰ ἑπὶ ταῦτα· – δείσας δ' ἐκ θρόνου ἅλτο καὶ ἴαχε, μὴ οἱ ὑπερθεν – γαῖαν ἀναῤῥήξειε Ποσειδάων ἐνοσίχθων. – Μουσαῖος καὶ Λῖνος, παλαιοὶ μὲν εἰσὶ καὶ τῶν περὶ Ὀρφέα σύντροφοι καὶ τῷ χρόνῳ, οἳ καὶ λέγονται τὰ μέτρα παρὰ τῶν θεῶν μαθεῖν, καὶ πρῶτοι ὑπ' αὐτῶν ἐμπνευσθῆναι· εἰσὶ δὲ παρὰ ταῖς ἀρχαιοτέραις ἱστορίαις ἐπίδοξοι· καὶ περὶ τούτων ἀρκετὸς ὁ λόγος· ἀλλαχοῦ δὲ τῶν μέτρων, καὶ τῆς δάφνης καὶ τῶν μαντικῶν πομάτων, καὶ τῶν μουσοπνεύστων ποιησόμεθα μνήμην, καὶ τὰς περὶ τούτων λεπτομερέστερον παραθήσομεν ἱστορίας· καὶ γὰρ ὁ θεῖος Γρηγόριος ἐν τοῖς κατὰ Μαξίμου τοῦ κυνικοῦ, τούτων ἁπάντων ἐμνημόνευσεν. Il. υ. 62.

Ἑρμῆς τῶν θεολόγων τῶν παρ' Ἕλλησιν ἐστὶν ἡ ἀκρότης, ὅθεν καὶ τρισάριστος λέγεται, καὶ γὰρ εἰς τριάδα καὶ σωτήριον οἰκονομίαν πολλὰ προφητεύειν δοκεῖ τηλαυγῶς τὲ λίαν καὶ θαυμασίως· οὗτος δὲ ὁ Ἑρμῆς, ἐν τοῖς τοῦ θείου Μωϋσέως χρόνοις ὑπῆρχε· σὺν αὐτῷ δὲ Μωϋσῇ τῆς αἰγυπτίων ἐμυήθη σοφίας· καὶ οἱ μὲν τὸν Ἑρμῆν αὐτὸν εἶναι

Μωϋσέα διαβεβαιοῦνται· Μωϋσῆς μὲν οὖν οὐκ ἔστιν ὁ Ἑρμῆς, Μωϋσέως δὲ σύσχολος, καὶ παρὰ τῶν μωσαϊκῶν βιβλίων τὰς ὑποθέσεις λαβών, ἀπορρητότερος μέν ἐστι θεολογῶν· τρισάριστος δὲ κέκληται, τρισένα γὰρ Θεὸν λέγειν πρῶτος ἐφεῦρε. Σιβύλλα βασίλισσα μὲν ὑπῆρχε, φιλόσοφος δὲ μέτρεις λόγων εὐδοκιμήσασα, καὶ πολλαῖς ἄλλαις κατὰ τὸν βίον φιλοσοφίαις· αὕτη προφανῶς περὶ τοῦ σαυροῦ προηγόρευσε, καὶ περὶ τοῦ Χριστοῦ, καὶ τῆς πάντων τῶν ἐθνῶν ὕστερον σωτηρίας· τούτους δὲ καὶ ἐνταῦθ' οὕτως εἰρήκασιν.

Ὅμως ὁ θεῖος Γρηγόριος ἀποτρέπεται, οὐ γὰρ ἀξίους κρίνει θεολογίας, ἀλλ' ὡς κλέπτας διελέγχει· καὶ γὰρ ἑλλήνων οἱ σοφοὶ τῶν ἱερῶν βίβλων παρακλέψαντες, τοῖς ἑαυτῶν μύθοις προσεθείκασιν, ὡς Ὅμηρος· πᾶσαν γὰρ τὴν κατὰ τὸν Σαοὺλ καὶ Δαβὶδ συγγραφὴν, τοῖς ἑαυτοῦ ληρήμασι μετεποίησε· καὶ γὰρ τοῦ Δαβὶδ εἰσὶν αἱ πᾶσαι ἀρισεῖαι αἷς Ὅμηρος τοὺς οἰκείους ἀνθρωπίζειν ἁμιλλᾶται κώνωπας· καὶ μὴν καὶ τῶν δυνατῶν παίδων Δαβὶδ, οἵ τινες θεόθεν κραταισύμενοι, τῶν ὑπερφυῶν ἀνεδείχθησαν ἐνδεῖκται· καὶ γὰρ αὐτὸς ὁ θεῖος ἀπόστολος μαρτυρεῖ μονονουχὶ λέγων· ἐπιλείψει με διηγούμενον ὁ χρόνος περὶ Γεδεὼν, Βαρὰκ, Σαμψὼν, Ἰεφθάε, Δαβὶδ τέ καὶ Σαμουὴλ καὶ τῶν προφητῶν, οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρὸς, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων, ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ταῦτα γὰρ Ἰησοῦς ὁ τοῦ Ναυῆ, καὶ Χαλὲβ, Ἰεφθάε τὲ, καὶ Γεδεὼν, Βαρὰκ, καὶ Σαμψὼν, καὶ Δαβὶδ, καὶ Ἰωνάθαν, καὶ οἱ κραταιότατοι

παῖδες Δαβὶδ· ὁ μὲν εἰς μέρος ἀπείργων τὴν δύναμιν πᾶσαν τῶν πολεμίων, καὶ μόνος εἰς μυριάδας ἀνδιστάμενος, καὶ τούτοις ἄβατον εἰς τὸ πρόσω τὴν ἰρμὴν ἐπισχών· ὁ δὲ μιᾷ φορᾷ καὶ προθυμίας ἅλματι ἑκατοσίους ἀνελών, καὶ τὴν σπάθην ἄλλος τῶν πολεμίων τοσοῦτον φεύξας ὡς ἔχειν δυσαπόσπαστον τῆς παλάμης· οἵ τε κεράσαντες ὕδωρ ἐκ τοῦ λάκκου Βηθλεὲμ καὶ πᾶσαν ἀναῤῥήξαντες τὴν τῶν ἐναντίων παρεμβολήν, οἵ τε διασπῶντες λέοντας ὡσεὶ ἔριφον, οἵ τε τοῖς γίγασι γυμνοὶ προσϊόντες καὶ δαμάζοντες τούτους, οἵ τε ῥάβδῳ καὶ λίθοις καθύπερθεν τὴν παράταξιν μεταστήσαντες, ὅσα τε ἄλλα σὺν ἀληθείᾳ τοῖς θεοφόροις ἠρίστευται· ταῦτα γὰρ Ὅμηρος τανθορύζων καὶ βλιχώμενος τοῖς ἰδίοις μεταπλάττεται μύθοις· τεκμήριον δὲ τοῦ ψεύδους, καὶ τῶν ὀνομάτων ἡ σύνθεσις· καὶ γὰρ αὐτὰ καθ' ἑαυτὰ καὶ τὰ πατρωνυμικὰ συντιθέμενα εὐφυῶς ἴδοι τις ἄν· οὐ γὰρ ἐν πᾶσι τοῖς τοσούτοις ὀνόμασι κῶλον εὕροι τις, ἀλλὰ καὶ τὰς βραχείας καὶ τὰς μακράς, ὡς ἀπὸ συνθέσεως κειμένας· ὅπερ ἐστὶ τοῖς εὖ φρονοῦσιν ἀρίδηλον, ὅτι μεταγαγὼν τὴν ἀληθῆ δόξαν εἰς πλάσματα, τοὺς μηδέπω γεγενότας ὡς ὄντας μυκᾶται, κολοιῶν ἀμφιθέμενος τρόπον, ἀλλοτρίοις τὲ καλλωπιζόμενος ἄνθεσι· μὴ τοίνυν ἀντωπήσῃ τις τοῖς τοιούτοις ῥήμασιν, οὐ γὰρ θέμις, τῆς βροντώσης φωνῆς τὰ θεῖα ἀκούων Γρηγορίου λέγοντος – οὐδὲν ἐπισρέφομαι, καὶ εἴ τινες ἆσσιν ἵκοντο – οὐ θεόθεν, βίβλων δὲ παρακλέψαντες ἐμεῖο.

Φοῖβος μαντεύεται θεῶν μόρον οὐκέτ' ἐόντων. 255.

Ἤδη μὲν εἴρηται περὶ τοῦ λοξίου θεοῦ Ἀπόλλωνος, ὅτι τοὺς χρησμοὺς ἀσαφῶς παρεῖχεν, ὅθεν εἰς τοὐναντίον τοῖς χρησμῳδουμένοις ἀπέβαινε, διὸ καὶ λοξίας ἐκλήθη· ἔστι μὲν οὖν Φωκὶς χώρα ἐν τῇ Ἑλλάδι· ἐν ταύτῃ πόλις ἐστὶ κα-

λουμένη Δελφοὶ· ἐν ταύτῃ τῇ πόλει, ἔστιν ἱερὸν τοῦ Ἀπόλλωνος ὃ καλεῖται πυθὼ· ἐν τούτῳ τῷ ἱερῷ ἦν ὁ τρίπους, καὶ αἱ μαντεῖαι, καὶ ψῆφοι ἦσαν ἐν τῇ κεφαλῇ τοῦ τρίποδος· ἡνίκα οὖν ὁ μαντευόμενος ἠρώτα περὶ τῆς μαντείας, αἱ ψῆφοι ἤλλοντο καὶ ἐκινοῦντο ἐν αὐταῖς· τότε οὖν ἡ μάντις ἐνεφορεῖτο καὶ ἔλεγεν ἅπερ ἤθελεν ὁ Ἀπόλλων· ἐκαλεῖτο δὲ ἡ προφήτις πυθία, ἣν ἀλλαχοῦ τῶν ἑαυτοῦ λόγων ὁ θεῖος Γρηγόριος πληροῦσθαι καὶ ἐμφορεῖσθαι φησὶ ἐνθουσιᾷν μηκέτι τοῖς συνήθεσι κεχρῆσθαι δυναμένην· καὶ μὴν ἀλλαχοῦ φησὶν ἀνδριάντα φθεγγόμενον, καὶ οὗτος δὲ ἦν ἐν Δελφοῖς τὸ τηνικάδε, φωνὴν ἔναρθρον ἠκριβωμένως ἀπολύων· καὶ γὰρ ἄναρθροι τῶν δαιμόνων εἰσὶν αἱ φωναὶ διὰ τὸ μὴ ἔχειν ὄργανα πρὸς διατύπωσιν τῆς ἐξερχομένης φωνῆς· πῶς δέ φησι θεῶν μηκέτι ὄντων μαντεύεται θάνατον; οἶμαι τὸν χρησμὸν ὃν Ἀπόλλων ἐν Κυζίκῳ παρέσχε τοῖς πυθομένοις, περὶ δὲ τοῦ ναοῦ τίνος ἂν ἔσται φήσας· τὸν μὲν δόμον Μαρίας ἔσεσθαι τινὸς παρθένου ἀθανῦς, ἐφετμεύσας τρισένα θεὸν ὑψιμέδοντα, οὗ τινες ἔγκυος ὁ λόγος ὀφθήσεται· ὥσπερ δὲ πυρφόρον τόξον μέσον διαθραμών, κόσμον ἅπαντα ζωγρήσει· καθεξῆς φάσκων αὐτογενὴς θεὸς, αὐτεξούσιος, ἀγαθὸς, θεὸς πρὸ αἰώνων γνωριζόμενος.

256. Καςαλίη τε, δάφνη τε, δρυὸς μαντεύματα κείσθω,
257. Μηκέτ' ἀριστεύοντα μετ' ἀνδράσιν ἀφραδέεσσιν.

Ἔςι τις ἐν Ἀντιοχείᾳ πηγὴ, Καςαλία λεγομένη, ἐν ᾗ λέγεται τὸν Ἀπόλλωνα παρεδρεύειν, καὶ μαντείας καὶ χρησμοὺς τοῖς ἐρχομένοις περὶ τὸ ὕδωρ λέγεσθαι· λέγεται δὲ ὅτι ἡνίκα ἐμαντεύετό τις, αὖρας λεπτὰς καὶ πνοὰς τὸ ὕδωρ ἀνεδίδου, καὶ ἀναδιδομένων τῶν τοιούτων πνευμάτων, οἱ ἱερεῖς οἱ περὶ τὴν πηγὴν, ἔλεγον ἃ θέλει ὁ δαίμων· ἡ δὲ

Δάφνη κόρη τίς ὑπῆρχεν ἐκ Λάδωνος τοῦ ποταμοῦ καὶ γῆς τὴν γέννησιν εὐτυχήσασα· αὕτη, φησὶ, παρικαλλής τε οὖσα τῷ εἴδει, καὶ ὡραϊζομένη ταῖς ὄψεσιν, εἰς ἔρωτα ἐκίνησε τὸν Ἀπόλλωνα· ὁ δὲ Ἀπόλλων κινούμενος ἐκ τοῦ ἔρωτος ἐπεδίωκε τὴν Δάφνην, εἴ πως ἰσχύσει συγγενέσθαι τῇ κόρῃ· ἡ οὖν κόρη τὴν παρθενίαν ἐθέλουσα φυλάξαι, τῇ οἰκείᾳ μητρὶ τῇ γῇ προσηύξατο βοηθῆσαι αὐτῇ· ἡ δὲ γῆ διανοίξασα τοὺς ἑαυτῆς κόλπους ἐδέξατο τὴν παῖδα, καὶ ψυχαγωγῆσαι θέλουσα τὸν Ἀπόλλωνα, φυτὸν ἀνῆκεν ἐρώνυμον τῇ κόρῃ, ὅπερ λαβὼν Ἀπόλλων, στέφεται παρὰ τὸν τρίποδα μαντευόμενος καὶ ψυχαγωγούμενος ὑπὲρ τῆς ἐρωμένης αὐτῷ Δάφνης.

Δρυὸς δὲ μαντεύματα εἰσὶ ταῦτα· Δωδώνη πόλις ἐστὶ περὶ τὴν Ἤπειρον· ἐν ταύτῃ ἦν δρῦς ἐν ᾗ ἐλέγετο ὁ Ζεὺς ἐπισκιάζειν καὶ μαντείας διδόναι τοῖς χρήζουσιν ἐξ αὐτῆς τῆς δρυὸς κινήματά τινα ἐξηχούμενα· Ὅμηρος δὲ περὶ τοῦ δωδωναίου μαντείου φησὶν, ὅτι Σελλοὶ δωδωναίων ἔθνος, ἱερεῖς τῆς φηγοῦ προσεβάλλοντο, ἐν αὐτῇ δὲ τῇ φηγῷ, μαντεῖον ἦν τοῦ Διὸς ἡ καλουμένη δωδωναία δρῦς· οὗτοι οὖν οἱ ἱερεῖς εἷα Θεοῦ τυγχάνοντες θεραπευταὶ ἀγνεύοντες ἑαυτοὺς, οὔτε ἐλούοντο, οὔτε ἐπὶ κλίνης ἐκάθευδον ἀλλὰ χαμαὶ, ὡς αὐτὸς Ὅμηρος ὧδε φησὶ δι' ἐπῶν ὡς παρ' Ἀχιλλέως εὐχομένου· – Ζεῦ ἄνα δωδωναῖε πελασγικὲ τηλόθι ναίων Il. π. 233.
– Δωδώνης μεδέων δυσχειμέρου ἀμφὶ δὲ Σελλοὶ – σοὶ ναίουσ' ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι. – Ἄλλος δέ φησιν, ὅτι τὸ μαντεῖον τοῦτο τὸ λεγόμενον δωδωναία δρῦς τὸ τοῦ Διὸς γυναικῶν ἦν ἐκείνων οὐσῶν τῶν προφητίδων· καὶ εἰσῆεσαν οἱ μαντευόμενοι περὶ τὴν δρῦν· ἡ δὲ δρῦς δῆθεν ἐκινεῖτο, καὶ λοιπὸν αἱ γυναῖκες ἐφθέγγοντο, ὅτι τάδε προλέγει ὁ

Ζεὺς· ἐκεῖσε δὲ καὶ λέβης ἐν Δωδώνῃ ἦν, καὶ γὰρ ἀνδριὰς ἐφ' ὕψους τὶς εἱστήκει βαστάζων ῥάβδον, καὶ παρ' αὐτὸν ἵστατο λέβης· οἱ οὖν μαντευόμενοι ἤρχοντο παρὰ τὸν τόπον τοῦτον, καὶ ηὔχοντο· ὅτε οὖν ἤθελε, φησὶν, ὁ Θεὸς χρησμῳδῆσαι, ὁ ἀνδριὰς ἐκεῖνος ἔπαιε τῇ ῥάβδῳ τὸν λέβητα, εἶτα ἤχει ὁ λέβης, καὶ ἐκ τοῦ λέβητος ἦχος τὶς ἀπετελεῖτο ἐναρμόνιος, καὶ ἐνεφορεῦντο αἱ προφῆτιδες, καὶ ἔλεγον ἃ αὐταῖς ὁ δαίμων ἐνέβαλεν.

Δαίμων τ' Αἰγύπτιο Θεὸς κενεηγόρος Ἄμμων.

Ἀλέξανδρος ὁ τῶν Μακεδόνων βασιλεὺς ἐπὶ τὰ περσικὰ στρατοπεδεύων, τὴν μὲν Λιβύην παρελθὼν, ἐπὶ τὴν ἀμμωνιακὴν χώραν παραγενόμενος, ἱερὰ τελέσας Ἄμμωνι τῷ ἐγχωρίῳ Θεῷ, χρησμὸν αὐτὸν φῆναι λιτάζεται· τοῦτον δὲ πατέρα πρὸς τῆς οἰκείας μητρὸς Ὀλυμπιάδος εἶναι πυθόμενος, ὡς πατρὶ τὲ προσευχόμενος ἐξελιπάρει· τὸν μὲν οὖν χρησμὸν ὡς ἤτησε καθ' ὕπνους παρασχόμενος, προσέταξε τέμενος καὶ πόλιν αὐτῷ δείμασθαι, κατὰ τὴν πρωτείδα Φαρίαν νῆσον, ὃ καὶ πεποίηκεν ἐκ τοῦ περσικοῦ ἐπανελθὼν πολέμου· Γρηγόριος οὖν ὁ Θεῖος κενεηγόρον, τοῦτ' ἔστι ματαιολόγον, τὸν Ἄμμωνα διαγορεύει, διότι καὶ τὸν χρησμὸν κατὰ μίμησιν Ἀπόλλωνος ὑποφαίνει.

259. Βράγχη δ' ἐπὶ τοῖσιν καὶ ἐρυσέης Ἐπίδαυρος.

Ὅτι φησὶν ἰχθυόμορφοι ὄντες οἱ τῶν αἰγυπτίων Θεοὶ, βράγχην ἔχουσι καὶ λόφον ὑπὲρ κεφαλῆς· λόφος δέ ἐστιν ὁ Ἐπίδαυρος ἀνατεταμένος καὶ ὑψηλός.

260. Καὶ τελεταὶ κρυπταί τε καὶ ὄμμασιν ἀντιόωσαι,

261. Κλεινῆς ἐν πρετέροισιν Ἐλευσῖνος αἴσχεα νυκτός.

Κρυπταὶ τελεταὶ εἰσὶν, αἱ κατὰ τὸν Κελεὸν καὶ Τριπτόλεμον· ἡ γὰρ Δήμητρα εἶχε θυγατέρα τὴν Περσεφόνην·

ταύτην ἥρπασεν ὁ Πλεύτων· περιῶδσα δὲ ἡ μήτηρ καὶ ζητοῦσα τὴν θυγατέρα, ἦλθεν εἰς τὴν Ἀττικὴν καὶ καταλύει παρὰ Τριπτολέμῳ τινὶ ἐν κώμῃ Ἐλευσῖνι οὕτω καλουμένῃ· μανθάνει οὖν παρὰ τοῦ Τριπτολέμου ὅτι Πλεύτων ἥρπασε τὴν Περσεφόνην, καὶ ὑπὲρ ταύτης τῆς εὑρεσίας δίδωσι τῷ Τριπτολέμῳ τὰ σπέρματα, λέγω δὴ σῖτον καὶ κριθήν, ἐντειλαμένη μὴ φθονῆσαι ἀλλὰ περιελθεῖν καὶ σκορπίσαι πᾶσιν ἀνθρώποις τὰ σπέρματα, ἵνα μάθωσι τὸ σπείρειν καὶ γεωργεῖν καὶ ἐσθίειν τοὺς ἡμετέρους καρπούς· πάλαι γὰρ ἤσθιον τὰς βαλάνους ἐκ τῶν φηγῶν, ὅθεν ἀπὸ τῆς φηγοῦ τὸ φαγεῖν εἴρηται· λέγεται δὲ ὅτι Τριπτόλεμος λαβὼν ἅρμα δρακόντων πτερωτῶν, καὶ συμπαραλαβὼν καὶ τὸν Κελεὸν, οὕτως ἐπλανᾶτο, καὶ φιλοτιμούμενος τὰ σπέρματα δέδωκεν· ἀλλὰ καὶ θεσμὸν τινὰ μυστηρίων ἐδίδαξεν ἅ τινα τελοῦνται οἱ Ἕλληνες· ὡς γὰρ παρὰ τοῖς θεοδιδάκτοις χριστιανῶν ἐστὶ τὸ φώτισμα, οὕτως καὶ παρ' ἐκείνοις ἡ τοιάδε· ἡ δὲ τοιαύτη τῶν ἑλλήνων ἑορτὴ λέγεται μυστήρια καὶ ἐλευσίνια καὶ θημήτρια· εἴρηται δὲ τῷ θεολόγῳ καὶ ἀλλαχοῦ, ὡς τὰ μὲν εὖ ποιῆσαι, τὰ δὲ εὖ παθεῖν τὴν Δήμητραν· τὸ μὲν οὖν εὖ παθεῖν ἐστὶ τὸ μαθεῖν περὶ τῆς Περσεφόνης καὶ στῆναι τῆς πλάνης, τὸ δὲ εὖ ποιῆσαι τὸ παρασχεῖν ἀντὶ τῆς τοιαύτης χάριτος τοῖς ἀνθρώποις σπέρματα.

Αὐλῶν τε φρυγίων μανίη τόκος ἔκτομος ἠχή. 262.

Ἐν τῇ Φρυγίᾳ Ῥέα ἡ μήτηρ τῶν θεῶν ἐσεβάσθη· Διὸς μὲν καὶ Ποσειδῶνος καὶ Πλεύτωνος καὶ Ἥρας μήτηρ ἡ Ῥέα τούτων τῶν θεῶν, γυνὴ δὲ Κρόνου· ταύτῃ οὖν ἐν τῇ Φρυγίᾳ ἐγίνοντο τελεταί τινες, καὶ ἐνθουσιῶντες οἱ τελοῦντες καὶ τελούμενοι καὶ ἐξιστάμενοι ἑαυτῶν, κατέτεμνον τὰ μέλη

ὑπὸ ξίφους, μὴ αἰσθανόμενοι ὅτι τέμνουσιν ἑαυτούς· καὶ αὐλοί τινες ηὗλουν καταθέλγοντες αὐτοὺς καὶ παρεγείροντες περὶ τὴν ἐκτομήν· ἄχρι δὲ τοῦ παρόντος τινὲς περὶ τὰ ὄρη τῆς Καρίας Ἕλληνες ἀλόγιστοι κατατέμνουσιν ἑαυτούς, ὡς λόγος, τῷ παλαιῷ τούτῳ κρατούμενοι ἔθει· οἱ μὲν οὖν φρύγες, ὡς ἔφημεν, κατέτεμνον ἑαυτοὺς μαχαίραις, οὐκ ἀποκτεῖναι θέλοντες ἀλλὰ μόνον αἱμάξαι· τοῦτο δὲ ἐποίουν κηλούμενοι αὐλοῖς, ἵνα καὶ ἁπλῶς φέρωσι πληττόμενοι· μετὰ δὲ τὰς πληγάς, πρὸς ἀκαθάρτους μίξεις ἐχώρουν, γυναικῶν δὴ λέγω οὐκ ἀνδρῶν.

263. Δικταῖοι κορύβαντες ἐνόπλια μαργαίνοντες.

Κρόνος τῇ Ῥέᾳ γενόμενος σύνοικος, ἅπερ ἔτικτεν αὕτη παιδία λαμβάνων αὐτὸς κατέπινε· καὶ οὕτως ἐπὶ πολλῶν τούτου γενομένου, ἄτεκνος ἔμενεν ἡ Ῥέα· ὅτε οὖν ἐγέννησε τὸν Δία ἡ Ῥέα φοβουμένη μή πως καὶ τοῦτο τὸ βρέφος καταποθὲν ἀπόληται, λίθον μὲν σπαργανώσασα δέδωκε τῷ Κρόνῳ ὡς βρέφος καταπιεῖν, τὸν δὲ Δία ὑπεξέθετο ἐν τῇ Κρήτῃ, καὶ παρέταξε τῷ βρέφει τούτῳ τοὺς κορύβαντας καὶ τοὺς κουρῆτας ὀρχεῖσθαι καὶ κροτεῖν καὶ κτυπεῖν τὰ ὅπλα αὐτῶν καὶ γίνεσθαι τινὰ ἦχον τὸν δυνάμενον ὑποκλέπτειν καὶ παρακρούειν τὸν ἐκ κλαυθμοῦ τοῦ παιδίου ἦχον, ἵνα μὴ, φησὶν, ὁ Κρόνος μαθὼν ποῦ κρύπτεται τὸ παιδίον, τοῦτο λαβὼν καταπίῃ· τούτων μὲν οὖν μέμνηται τῶν ἑαυτοῦ λόγων ὁ θεῖος Γρηγόριος ἀλλαχοῦ φάσκων ὧδε. – Οὐ Διὸς ταῦτα γοναὶ καὶ κλοπαὶ τοῦ κρητῶν τυράννου, κἂν ἕλληνες ἀπαρέσκωνται· οὐδὲ κουρήτων ἦχοι καὶ κρότοι, καὶ ὀρχήσεις ἔνοπλοι θεοῦ κλαίοντος ἠχὴν συγκαλύπτουσαι, ἵνα λάθῃ, πατέρα μισότεκνον· δεινὸν γὰρ ἦν ὡς παιδίον κλαυθμυρίζεσθαι, τὸν ὡς λίθον καταποθέντα· πατὴρ μὲν οὖν μι-

αὐτεκνος ὁ Κρόνος, ἐπεὶ τοὺς τικτομένους ἐκ τῆς Ῥέας κατέπινε· παιδίον δὲ κλαυθμυριζόμενον ἐστὶν ὁ Ζεὺς· κυμῶντες δὲ καὶ κρύβαντες οἱ παρὰ τῆς Ῥέας ἐρχεῖσθαι τεταγμένοι, πυρρίκην γὰρ ἔρχησιν ταύτην καλοῦσι· κτύπον γάρ τινα ἐν ταῖς ἀσπίσιν ἐποίουν οὗτοι, πρὸς τὸ ὑπερηχεῖσθαι τὸν κλαυθμὸν τοῦ παιδίου· οἱ μὲν οὖν σοφοὶ τῶν Ἑλλήνων, θεὸν εἶναι τὸν Δία φασὶ· Γρηγόριος δὲ ὁ θεῖος θεολόγος τὴν δημώδη ἱστορίαν εἰ καὶ τίθεται τοῦτον κρητῶν τύραννον ποιούμενος οὕτως λέγει· ὅτι Ζεὺς τύραννος ἦν Κρήτης, καὶ θέλοντες αὐτὸν θεραπεύειν οἱ ὑπήκοοι, ἐμυθολόγουν ὡς ἐκ Κρόνου τινὸς καὶ Ῥέας τὴν γέννησιν ἔσχεν, ἐπεὶ γόης ἄνθρωπος ἦν καὶ λίαν ἀσεβέστατος, διὸ καὶ ἐπάγει· κἂν Ἕλληνες ἀπαρέσκωνται, καὶ γὰρ οὐ βούλονται τοῦτον Ἕλληνες ἄνθρωπον εἶναι ἀλλὰ θεὸν· στηλιτεύων δὲ τὴν τούτων ἄνοιαν ὁ μέγας θεηγόρος Γρηγόριος, καὶ τὸν τάφον ἐν Κρήτῃ εἶναι λέγει τοῦ Διός· ὁ γὰρ Ζεὺς ἐκεῖσε τραφεὶς καὶ ἀποθανών, εἰς τάφον ἐτέθη ὅς τις τάφος ἐπιγραφὴν ἔχει, τὸν Δία κατακεῖσθαι αὐτόθι, ἔλεγχον ὄντα τῶν λεγόντων θεὸν αὐτὸν εἶναι, καὶ γὰρ ἐλέγχονται ὅτι καὶ ἄνθρωπος ἦν καὶ τέθνηκε, καὶ κεῖται ἐν Κρήτῃ· ὡς δέ τινες, ὅτι καὶ σκηπτὸν δεξάμενος ἐκεραυνώθη, τοῦ ὄντως θεοῦ τῷ δυσσεβεστάτῳ καὶ ψευδωνύμῳ θεῷ πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος μερίδα ποτηρίου κατ' οὐρανόθεν ἐπομβρήσαντος τῷ ἁμαρτωλῷ.

Βάκχοι τ' ἀμφὶ γόνον σεμελήϊον οὐρεσιφοῖται. 264.

Βάκχοι καὶ σεληναὶ δαίμονες τινές εἰσιν ὀπαδοὶ καὶ ὁμοκέλευθοι τοῦ Διονύσου· μέμνηται δὲ τούτων καὶ ἄλλοσε Γρηγόριος ὁ θεῖος ὧδε φάσκων· εἶδε Διόνυσος ταῦτα, καὶ μηρὸς ὠδίνων ἀτελὲς κύημα· ὥστερ ἄλλο κεφαλὴ πρότερον,

καὶ Θεὸς ἀνδρόγυνος, καὶ στρατὸς ἔκλυτος, καὶ χορὸς μεθυόντων, καὶ Θηβαίων ἄνοια, καὶ Σεμέλης κεραυνὸς προσκυνούμενος. Σεμέλη μὲν θυγάτηρ γέγονε Κάδμου τοῦ Θηβῶν βασιλέως· ταύτης ἠράσθη ὁ Ζεὺς καὶ συνεγένετο αὐτῇ, καὶ εἰς ζῆλον καὶ φθόνον ἐκίνησεν Ἥραν τὴν γυναῖκα αὐτοῦ· ζηλοτυπήσασα οὖν ἡ Ἥρα, ἀπέρχεται πρὸς τὴν Σεμέλην καὶ λέγει αὐτῇ, ὅτι ἀπατᾷ σε τὸ ὅλον· οὐδὲ γὰρ Ζεύς ἐστιν ὁ συγγινόμενός σοι· ἐμοὶ γάρ φησιν ὅτε συγγίνεται μετὰ ἀστραπῶν καὶ κεραυνῶν συγγίνεται· ἐὰν οὖν ἔλθῃ πρὸς σὲ ὁ Ζεὺς εἰπὲ αὐτῷ, ὅτι ὡς συγγίνῃ τῇ Ἥρᾳ οὕτως σύνελθέ μοι, καὶ εἰ μὲν συγγίνεταί σοι μετὰ βροντῶν καὶ κεραυνῶν, τῷ ὄντι ὁ Ζεύς σοι συγγίνεται· εἰ δὲ ἄλλως πῶς, οὐκ ἔστιν ὁ Ζεύς· ταῦτα ὑποθεμένης τῆς Ἥρας, ἐλθόντος τοῦ Διὸς πρὸς τὴν Σεμέλην, ἠτήθη παρ' αὐτῆς συγγενέσθαι αὐτῇ ὡς τῇ Ἥρᾳ συγγίνεται· εἶτα συγγεινομένου μετὰ κεραυνοῦ, ἀπέθανεν· ὁ οὖν Ζεὺς θᾶττον τὸ ἔμβρυον ὃ ἦν ἐν τῇ Σεμέλῃ λαβών, ἔβαλεν εἰς τὸν μηρὸν καὶ ἔῤῥαψεν ἕως οὗ γένηται τῶν ἐννέα μηνῶν· ἦν δὲ οὗτος ὁ Διόνυσος ἀτελὲς μὲν κύημα, τοῦτο τὸ ἔμβρυον τὸ βληθὲν εἰς τὸν μηρόν. Καὶ ἄλλος δὲ ποιητὴς δύστεκνον καλεῖ τὸν Διόνυσον ὧδε λέγων· εἶπε δὲ φύτλην Βάκχου δισστόκοιο· – τὸ δὲ λέγειν ὥσπερ ἄλλο κεφαλὴ πρότερον, περὶ τῆς Ἀθηνᾶς φησὶ· ταύτην γὰρ ἀπὸ τῆς κεφαλῆς ὁ Ζεὺς ἀνέδωκε καθωπλισμένην· οὕτω δὲ καὶ περὶ ταύτης ὁ προλαβὼν ἔφησε ποιητὴς – τεύχεσιν ἀστράπτουσαν ἀνικόντιζεν Ἀθήνην· – τοῦτον μὲν τὸν κεραυνὸν, ἡ τῶν Θηβαίων ἄνοια σέβει καὶ προσκυνεῖ· καὶ γὰρ ἐπὶ μωρίᾳ διαβάλλονται Θηβαῖοι, καὶ ἔστι παροιμία ἡ λέγουσα, ἡ Βοιωτία ὗς· προσκυνοῦσι δὲ τὸν κεραυνὸν, ὅτι τὴν Σεμέλην κατέφλεξεν ἥτις

ἦν Κάδμου θυγάτηρ τοῦ βασιλέως αὐτῶν· οὗτος μὲν οὖν ὁ Διόνυσος λέγεται τοῦ οἴνου καὶ τῆς μέθης ἔφορος εἶναι, καὶ αὐτὸν δὲ μέθυσον ποιοῦσι καὶ τοὺς Βάκχους καὶ Σειληνοὺς σὺν αὐτῷ μεθύσους ἀναγορεύουσιν· Ἥρα γὰρ αὐτῷ τὸ μεθύσκεσθαι εἰσηγήσατο ἵνα γένηται παράφρων, ὠργίζετο γὰρ αὐτῷ ἡ Ἥρα ὡς υἱῷ τοῦ Διὸς, ἐζηλοτύπει γὰρ τοὺς ἐκ Διὸς γεννωμένους.

Καὶ νυχίης Ἑκάτης κακὰ φάσματα. 265

Τὴν Ἑκάτην θεὸν εἶναι νομίζουσιν Ἕλληνες, καὶ οἱ μὲν αὐτὴν λέγουσιν εἶναι τὴν Ἄρτεμιν, οἱ δὲ τὴν σελήνην· ἄλλοι δὲ ᾠδικήν τινα θεὸν ἐν φάσμασιν ἐκτόποις φαινομένην τοῖς ἐπικαλουμένοις αὐτὴν, μάλιστα δὲ φαίνεται τοῖς καταρωμένοις· τὰ δὲ φάσματα αὐτῆς δρακοντοκέφαλοι φαίνονται ἄνθρωποι, καὶ ὑπερμήκεις καὶ ὑπερμεγέθεις, ὥστε ἐκ μόνης τῆς θέας καταπλῆξαι καὶ δειματῶσαι τοὺς ὁρῶντας.

Ὡς δὲ ναΐῃ

Μιθραίου κακὰ ἔργα καὶ ὄργια οὐκέτ' ἄπιστα. 266.

Τὸν Μίθραν ἄλλοι μὲν ἄλλως ἐνόμισαν, οἱ μὲν γὰρ τὸν ἥλιον, οἱ δὲ τὸν ἕφορον τοῦ πυρὸς, ἄλλοι δὲ ᾠδικήν τινα δύναμιν· γίνονται δὲ τούτῳ τῷ Μίθρᾳ τινὲς τελεταὶ καὶ μάλιστα παρὰ χαλδαίοις· οἱ δὲ τελούμενοι τῷ Μίθρᾳ, κατὰ βαθμόν τινα κολάσεων ἐτελοῦντο· πρότερον δὲ τὰς ἐλαφροτέρας κολάσεις παρελάμβανον, καὶ εἶθ' οὕτως τὰς δραστικωτέρας, οἷον πρότερον ἐλίμωττον αὐτοὺς τοὺς τελουμένους ἐπὶ πεντήκοντα τυχὸν ἡμέρας· εἶτα εἰ ἤγαγον καρτερικῶς, ἐποίουν αὐτοὺς πάλιν ξυσθῆναι ἐπὶ δύο ἡμέρας· εἶτα πάλιν εἰς χιόνα ἐμβληθῆναι ἐπὶ εἴκοσιν ἡμέρας· λέγονται δὲ τοῦ Μίθρου αἱ κολάσεις ἑβδομήκοντα εἶναι, ἃς κατὰ βαθμὸν δεῖ τὸν τελεσθησόμενον παρελθεῖν· πρὸς μὲν

σὺν αἷς ἔφαμεν, καὶ διανήξασθαι ὕδωρ πολλὰς ἡμέρας, εἰς πῦρ ἐμβαλεῖν ἑαυτὸν, ἐν ἐρήμῳ διαιτηθῆναι, καὶ ἀσιτῆσαι, καὶ ἄλλα πολλὰ, ἄχρις οὗ τὰς ἐγδεήκοντα κολάσεις παρέλθοι· ἀδύνατον δὲ παρ' αὐτοῖς τὰς τοῦ Μίθρου τελεῖσθαι τελετὰς τὸν μὴ διὰ πασῶν παρερχόμενον τῶν κολάσεων, καὶ δεικνύοντα τινὰ ἑαυτὸν ὅσιον καὶ ἀπαθῆ.

267. Γαλλαίης Κυβέλης ἐλελύγματα.

Αἰγύπτιοι μὲν κνώδαλα τιμῶντες καὶ ἑρπετὰ τὰς ἴβεις ἐσέβοντο, καὶ τοὺς κροκοδείλους καὶ τοὺς ὄφεις, τὰς αἰλούρους καὶ γαλαίας, καὶ τινὰ γένη τῶν ἰχθύων, ἐξ ἀλόγου τιμῆς ἑαυτοῖς ἀτιμίαν περιζόμενοι· τῆς δὲ τῆς γαλλαίας ἐναλλαγῆς κραυγὴν, ἀπὸ διηγήσεως παρελάβομεν, ὅτι κατά τινα τόπον ἐστίσημον ἦν ἄγαλμα τοῦ Διός· τούτῳ δὲ τῷ ἀγάλματι θυσίας τινὰς προσέφερον, καὶ φωνῆς γαλλαίας ὡς ἀπὸ τοῦ ἀγάλματος ἐρχομένης, ἀντελαμβάνοντο· ὁ δὲ τούτῳ προσκαρτερῶν ἱερεὺς, λυχναψίας τινὰς καὶ φωταυγίας κατά τινα λόγον ποιῶν, ὡς ἀπὸ τοῦ ἀγάλματος ἐρχομένας προσγινομένας ὑπέφθειρε γυναῖκας τοῦτον τὸν τρόπον· ἔλεγε φησὶν αὐταῖς ὅτι ὁ Ζεὺς ἐρασθεὶς βούλεταί σοι συγκαθευδῆσαι· τῆς δὲ προθύμως ἑπομένης, τοιαύτας φωνὰς καὶ λαμπάδας ἐποίει ὥστε θειματῶσαι τὴν παροῦσαν· αὐτὸς δὲ σχηματιζόμενος τὸν Δία, τὴν τοιαύτην διὰ πάσης ὑποφθείρων νυκτὸς, προύπεμπεν ἕως· ᾗ δὲ γυναικὶ σωφρόνι περιτυχὼν καὶ φιλάνδρῳ, φωραθεὶς τῆς ἐσχάτης ἀπέλαυσεν αἰσχύνης· γαλλαίη δέ ἐστιν ἡ Ῥέα· Γάλλος γάρ τις ἄσων καὶ τυμπανίσων ἐπὶ τὸ ταύτης ἱερὸν ἐπορεύετο· θριμέες δὲ χειμῶνος τοῦτον καταλαβόντος, σπηλαίῳ κατέφυγεν ἔχων μεθ' ἑαυτοῦ τὰ κύμβαλα, καὶ τὸ τύμπανον ἀνασείσας, τὸν μὲν Ἥρα ἐκφοβεῖ· ναὸν δὲ ἀναθεὶς αὐ-

τῇ, γαλλαίης Κυβέλης ἐπονομάζει· ταύτῃ δὲ οἱ Φιλιστῖνοι ἀνετίθεσαν.

Ὅσσά τε Νεῖλον
Καρποδότην τίουσιν ἐν αἴσχεσιν, ἀνδρογύνοισιν. 264

Τὸν Νεῖλον αἰγύπτιοι ὡς θεὸν τιμῶσιν ἐν τῇ ἀναβάσει, καὶ τοῦτον εὐφήμουν ὡς εὐφορίας αἴτιον, αὐτὸ τὸ αὐξόμενον ὕδωρ οἰόμενοι θεὸν εἶναι· φησὶν οὖν Ἀρισταίνετος ὁ ἱστορικὸς, ὅτι ἑορτάζουσιν αἰγύπτιοι τῷ Νείλῳ ἑορτὴν πανδημεὶ πάντες καὶ πᾶσαι ἐρχόμεναι παρὰ τὰ θεάτρα τῶν πόλεων, κἀκεῖσε θεινῶνται ἕκαστος ὃ ἔχει, χερούς τε συσπασάμεναι γυναῖκες ᾄδουσι τῷ εἰδώλῳ ᾠδὰς ἃς τῷ Διὶ ᾄδονται ὡς τῷ Νείλῳ, τοῦ Διὸς ἔργον ποιοῦντος καὶ ἄρδοντος τὴν χώραν· ἀνδρογύνων δέ φησι τιμὰς, τῷ πανδημεὶ τοὺς ἄῤῥενας ἅμα γυναιξὶν ἐκβακχεύεσθαι, καὶ πολλάκις ὡς ἐν μέθῃ καὶ ἀσελγαίνειν.

Ἴσιδος Ὀσίριδός τε μυκήματα δακρυόεντα. 269.

Λύτη ἡ Ἶσις ἐνομίσθη τῇ Ἰοῖ τῇ ἁρπασθείσῃ ἀπὸ τοῦ Διὸς· ὁ γὰρ Ζεὺς, φησὶν, ἥρπασε τὴν Ἰὼ, καὶ φοβούμενος τὴν Ἥραν τὴν ἑαυτοῦ γυναῖκα, μετέβαλε τὴν Ἰὼ εἰς βοῦν, καὶ ποτὲ μὲν εἰς λευκὴν, ποτὲ δὲ εἰς μέλαιναν, ποτὲ δὲ εἰς ἰάζουσαν, καὶ οὕτως ἐπλανᾶτο μετ' αὐτῆς· ἦλθεν οὖν καὶ ὁ Ζεὺς μετὰ τῆς Ἰοῦς πλανώμενος· καὶ τιμῶσιν οἱ αἰγύπτιοι τὴν Ἰὼ ἤτοι τὴν Ἶσιν· διὸ ἐπὶ τοῦ ἀγάλματος αὐτῆς ἐπὶ τῆς κεφαλῆς κέρατα βοὸς ἐγγλύφουσι σημαίνοντες τῆς κόρης τὴν ἐπὶ βοῦν μεταβολήν. Ὁ δὲ Ὄσιρις παρ' αἰγυπτίοις ἐνομίσθη θεὸς· καὶ οἱ μὲν λέγουσιν αὐτὸν εἶναι τὸν Διόνυσον, οἱ δὲ ἕτερον· τοῦτον οὖν τὸν Ὄσιριν ὑπὸ τοῦ Τύφωνος ἐσπαράχθαι φασὶ, καὶ μέγα πένθος γενέσθαι τοῖς αἰγυπτίοις, ὥστε ἐπὶ πάντα χρόνον μνήμην

ποιεῖσθαι τοῦ σπαραγμοῦ τοῦ Ὀσίριδος· ὥσπερ δὲ φασὶ τὸν Διόνυσον ὑπὸ τῶν Τιτάνων ἐσπαράχθαι, οὕτως καὶ Ὄσιριν ὑπὸ τοῦ Τύφωνος· δαίμων δὲ καὶ οὗτος ὁ Τύφων· μυκήματα δὲ φησὶ δακρύων ἄξια, τὸ τὴν Ἶσιν εἰς βοῦν μεταβληθῆναι καὶ μυκᾶσθαι, καὶ τὸν Ὄσιριν διεσπαράχθαι καὶ πενθεῖσθαι.

270. Καὶ Σάραπις ξύλον αὖεν ἔχων δηλήμενα μῦθον,

271. Καὶ μόσχος πολύσαρκος Ἄπις καὶ Μέμφις ἄνεια.

Τοῖς αἰγυπτίοις ὑπὲρ χρόνον τινὰ κατὰ περίοδον ἐγεννᾶτο βοῦς, ἐκ σέλατος σελήνης συλληφθεὶς ὁ βοῦς, ἐκαλεῖτο δὲ παρ' αὐτοῖς Ἄπις· ἔχει δὲ καὶ τινὰ σημεῖα περὶ τὴν οὐρὰν καὶ τὴν γλῶτταν, ἐξ ὧν σημείων ἐγνωρίζετο ὅτι ὁ Ἄπις ἐστί· τούτου οὖν τοῦ βοὸς γεννωμένου, ἑορτὴν ἐποίουν οἱ αἰγύπτιοι, ὡς θεοῦ αὐτοῖς ἐπιδημήσαντος, καὶ παρετίθεσαν τῷ βοῒ ἐν φάτνῃ πανδαισίαν πολλὴν εὐωχοῦντες τὸν θεὸν Ἄπιν.

Καὶ σὺ λάκαινα τάλαινα διαγαθὸν ἔνθα καὶ ἔνθα

272. Τερνυμένων μάστιξι νέων ἐπιβώμιος ἀλκή.

273. Λακεδαιμόνιοι πρὸς καρτερίαν γυμναζόμενοι, ἑορτὴν ἐποίουν ἐν ᾗ ἐμάστιζον ἀλλήλους καὶ ἀνδρείαν τινὰ ἐκ τούτου ἐπαιδεύοντο, ἵνα καρτερικῶς ἔχοιεν περὶ τοὺς πολέμους· ἐτίμων δὲ οἱ λάκωνες ἐν τῇ ἑορτῇ τῶν μαστιγίων τὴν Ἄρτεμιν· ταύτην γὰρ φασὶ παρθένον θεὸν, καρτερικὴ γὰρ ἡ παρθένος καὶ ὑπεράνω πάσης θειλίας καὶ ἐμπαθείας· μαλακίαν δὲ λέγει τετιμηκέναι τοὺς λάκωνας καὶ θρασύτητα, ἀλλαχοῦ τῶν ἑαυτοῦ λόγων ὁ θεολόγος ὧδε φάσκων, οἱ γὰρ αὐτοὶ, καὶ μαλακίαν ἐτίμησαν καὶ θρασύτητα ἐσεβάσθησαν· μαλακίαν μὲν ἢ ὅτι ἐποίουν καὶ τινὰ ἑορτὴν συσσιτίαν καλουμένην, ἐν ᾗ κοινῶς πάντες ἤσθιον καὶ εὐωχοῦντο καὶ ἐθηλύνοντο, ἢ ὅτι κἀκεῖ τὸ τῆς παιδεραστίας ἐπενέμετο πάθος, ὥσπερ ἔχομεν περὶ τοῦ Παυσανίου καὶ τοῦ Ἀργι-

λίου, ὅτι παιδικὰ ἦν ποτὲ Ἀχιλλέως τοῦ Πανσανίου· τὸ δὲ θρασύτητα σεβασθῆναι, περὶ τῆς καρτερίας καὶ τῆς ἀνδρείας ὁ λόγος ἦν· τῷ γὰρ πλέον καρτεροῦντι ἆθλον ἐδίδετο· ἡ μέν τοι θεὸς Ἄρτεμις παρθένος οὖσα καὶ σώφρων, ἅμως ἔχαιρε τοῖς ἐπιβωμίοις αἵμασι καὶ τοῖς τῆς ξενοκτονίας.

Καὶ γετικὸς Ζάμολξις ὀϊστεύων δι' ὁμίλου. 274.

Ἔστι δέ τις καὶ ἀλλαχοῦ τῶν ἑαυτοῦ λόγων, ἧς ἐπιμέμνηται ἱστορίας, τὸν Ἀβάριδος τοῦ ὑπερβοραίου οἰστόν· οὗτος δὲ ὁ Ἄβαρις, ὡς Ἡρόδοτος φησὶν, ἐξ ὑπερβοραίων ἦν ἄνθρωπος τις· οἱ δὲ ὑπερβοραῖοι ἀρκτικώτεροι εἰσὶ καὶ ἐνδότεροι τῶν σκυθῶν· οὗτος οὖν ὁ Ἄβαρις λέγεται ἔνθους γενόμενος, περιϊέναι τὴν Ἑλλάδα κύκλῳ μετὰ βέλους, καὶ χρησμοὺς τινὰς καὶ μαντείας λέγειν ὡς ἔνθους· Λυκοῦργος δὲ ὁ ῥήτωρ μέμνηται τοῦ Ἀβάριδος ἐν τῷ κατὰ Μενεσαίχμου λόγῳ λέγων, ὅτι λιμοῦ γενομένου ἐν τοῖς ὑπερβοραίοις, ἦλθεν ὁ Ἄβαρις ἐν τῇ Ἑλλάδι, καὶ ἐμισθώτευσε τῷ Ἀπόλλωνι, καὶ ἐδιδάχθη παρ' αὐτοῦ τὸ χρησμολογεῖν, καὶ οὕτως κρατῶν τὸ βέλος ὡς σύμβολον τοῦ Ἀπόλλωνος, τοξότης γὰρ οὗτος ὁ θεὸς, περιήει χρησμολογῶν ὅλην τὴν Ἑλλάδα.

Πάντα θεῶν ταύρων τε κακὴ ξείνοισι θυήλη. 275.

Ταῦροι ἔθνος ἐστὶ περὶ τὴν Σκυθίαν· ἐν τούτοις μετετέθη ὑπὸ τῆς Ἀρτέμιδος ἡ θυγάτηρ Ἀγαμέμνονος Ἰφιγένεια ἐν τῷ μέλλειν αὐτὴν θύεσθαι ὑπὲρ ἑλλήνων ἐν τῇ Αὐλίδι, ὑπὲρ ἧς ἔλαφον ἡ θεὸς ἀμείψασα δέδωκεν θῦσαι· αὕτη οὖν ἡ Ἰφιγένεια οὖσα ἐν τοῖς Ταύροις διὰ τὸ μὴ γνωσθῆναι παρὰ τῶν ἐπιξενομένων τίς ἐστιν, ἐπέτρεπεν αὐτοὺς θύειν τῇ Ἀρτέμιδι· καὶ αὕτη ἦν ἡ ξενοκτονία ἣν λέγει ὁ θεῖος Γρηγόριος ἀλλαχοῦ φάσκων ἐπὶ λέξεως, οὐ δὲ Ταύρων ξενοκτονίαι· καὶ αὖθις· καὶ τὴν ἀντιδοθεῖσαν ἔλα-

φεν τῆς παρθένου· ὕστερον δὲ Ὀρέστης, υἱὸς δὲ καὶ αὐτὸς Ἀγαμέμνονος, ἐλαυνόμενος ὑπὸ τῶν Ἐρινύων, καὶ ἐλθὼν παρὰ τοῖς Ταύροις καὶ συλληφθεὶς ὡς ξένος ἐπ' ἀναιρέσει, καὶ προσενεχθεὶς ὡς ἱερεία τῇ Ἰφιγενείᾳ, ἐπεγνώσθη διὰ τοῦ ἐλεφαντίνου ὤμου, καὶ ἀφείθη τῆς θυσίας· οὕτως λοιπὸν λαβὼν ὁ Ὀρέστης τὴν ἰδίαν ἀδελφήν, λέγω δὴ τὴν Ἰφιγένειαν, κομίζει εἰς τὴν Ἑλλάδα.

276. Καὶ Πολύμνιο (1) καλοῖς θεὸς φαλὸν ἀμφαγαπάζων

277. Δουράτεον.

Λέγεται μειράκιον ἐρασθῆναι τοῦ Διονύσου· εἶτα τοῦτο πρὶν ἐπιτύχῃ τῆς ἀσελγείας *etc. ut p.* 155-156. μέμνηται δὲ τούτων ὁ θεῖος Γρηγόριος καὶ ἀλλαχοῦ φάσκων, οὐδὲ φαλλοί τινες καὶ ἰθύφαλλοι αἰσχροὶ καὶ τοῖς σχήμασι καὶ τοῖς πράγμασιν· ἐν γὰρ τῇ τοῦ Διονύσου ἑορτῇ, φαλλοὺς δερματίνους *etc. ut loc. cit.* τοῦτο δὲ ἐποίουν τιμῶντες τὸν ἐραστὴν τοῦ Διονύσου· – οὗτος δὲ ὁ παῖς Πολύυμνος ἐκαλεῖτο.

Μάχλην τε Κύπριν τίουσα ἑορτή.

Τὴν Κύπριν εἶναι φασὶ τὴν Ἀφροδίτην, περὶ ἧς ἀλλαχοῦ φησὶν ὁ θεῖος Γρηγόριος, οὐ δι' Ἀφροδίτης πορνικὰ μυστήρια τῆς αἰσχρῶς ὡς αὐτοὶ λέγουσιν Ἕλληνες καὶ γεννωμένης καὶ τιμωρένης· αὕτη μὲν οὖν ἡ Ἀφροδίτη ἐκ τῶν αἰδοίων τοῦ Οὐρανοῦ τὴν γέννησιν μυθεύεται ἔχειν· ὁ γὰρ Κρόνος, φησὶν, ὁ υἱὸς τοῦ Οὐρανοῦ, λαβὼν τὸ δρέπανον ἀπέκοψε τοῦ ἰδίου πατρὸς τὰ αἰδοῖα καὶ ἔρριψεν εἰς τὴν θάλασσαν, καὶ ταῦτα τὰ αἰδοῖα πεσόντα καὶ ἀφρὸν συνάξαντα, ἀπεκύησαν τὴν Ἀφροδίτην· διὸ καὶ Ἀφροδίτη καλεῖται

(1) Cod. heic Προσύμνοιο ut in edd. Sed corrigitur infra Πολύυμνος.

ὡς ἐκ τοῦ ἀφροῦ καὶ τῆς καταδύσεως γενομένη· ταύτῃ τε καὶ τὴν γέννησιν αἰσχρὰν ἔχειν αὐτὴν καὶ τὴν τιμὴν ὁ μέγας ἀπεφήνατο θεολόγος· ὁμοίως γὰρ αἱ τιμαὶ αὐτῆς δι' αἰσχρουργίας καὶ αἱ ἑορταὶ δι' ἡδυπαθείας καὶ πορνείας ἐτελοῦντο· καὶ γὰρ καὶ τῆς πορνείας ταύτην ἔφορον εἶναι τὴν Ἀφροδίτην φασὶ· Κύπρις δὲ λέγεται πᾶν τὸ καθ' ἡδονὴν συνευσιαστικὸν, καὶ ἀφροδίσιον αὖθις. 278.

Κερδαλέη, καὶ Λίνδος ἐφυβρίζουσ' ἱερῆσι.

Κερδὼ καλεῖται ἡ ἀλώπηξ, ἔνθεν καὶ κερδαλὴ ἡ πονηρία καὶ ἡ δελιότης, δέλιον γὰρ καὶ πονηρὸν τὸ ζῶον τοῦτο ἡ ἀλώπηξ· πορνικὴν οὖν ἑορτὴν τιμᾶν τοὺς Ἕλληνας φησὶ πανοῦργος τὴν ἐπ' ὀνόματι Κύπριν· καὶ γὰρ αὐτὸ κυρίως τὸ πάθος τῆς πορνείας ἐτίμων· Λίνδος δὲ πόλις ἐστὶ παλαιὰ τῆς Ῥόδου· ἐν ταύτῃ ἱερεῖ τῷ θύοντι καὶ θοινωμένῳ τὸν βοῦν οἱ θύοντες κατηρῶντο καὶ διελοιδορεῦντο καὶ ὕβριζον ὕβρεις οὐχ' ὁσίας.

Ἐμπεδόκλεις, σὲ μὲν αὐτίκ' ἐτώσια φυσιόωντα, 281.
Καὶ βροτὸν αἰτναίσιο πυρὸς κρητῆρες ἔδειξαν 282.
Σάνδαλ' ἀποβράσσαντες ἐλαφρονόοιο θεοῖο 283.
Χάλκεα, καὶ σὲ βροτοῖσιν ἐπ' ἐπαίσχεα πᾶσιν ἔθηκαν. 284.

Οὗτος Ἐμπεδοκλῆς πυθαγόριος ἦν τὴν φιλοσοφίαν, σικελιώτης τὸ γένος· βουλόμενος δὲ κενοδοξῆσαι ὅτι δὴ ἀνιερώθη καὶ μετάρσιος γέγονεν εἰς οὐρανούς, ἔβαλεν ἑαυτὸν ἐν τῷ ἀναδιδομένῳ πυρὶ τῆς Αἴτνης, τοῦτο δὲ τὸ πῦρ ἔλεγον Ἕλληνες, οἱ τοῦ Ἡφαίστου κρατῆρες· καὶ αὐτὸς μὲν ἀπώλετο ὑπὸ τοῦ πυρὸς· ὁ δὲ θεὸς βουληθεὶς δημοσιεῦσαι αὐτοῦ τὴν κενοδοξίαν, τὸν σάνδαλον αὐτοῦ ἀποπτυσθῆναι σῶον ἐκ τοῦ πυρὸς ἐποίησε, καὶ οὕτως ἐγνώσθη ὅτι μετάρσιος μὲν οὐ γέγονε, κατεκάη δὲ ἀξίως τῆς οἰκείας κενοδοξίας.

(*)

Ἡρακλες, Ἐμπεδότιμε, Τροφώνιε, λήξατε μύθων.

Ἠδη μὲν ἡμῖν εἴρηται περὶ Νέσσου καὶ Ἡρακλέους ἐν τῷ ιέ λόγῳ ὅτι Δηϊανείρα Νέσσος ὁ ἱπποκένταυρος τοξευθεὶς τοῦ οἰκείου δέδωκεν αἵματος, ἐπειπὼν αὐτῇ τοῦτο κατέχειν, καὶ εἴ ποτε τὸν Ἡρακλῆν συμβῇ ἄλλης ἐρασθῆναι, τὸ ἱμάτιον αὐτοῦ χρίσαι τοῦ αἵματος, καὶ πρὸς τὸν ἑαυτῆς πόθον ἐπαναγαγεῖν, ὅπερ Δηϊάνειρα ποιήσασα, πυρίκαυστον τὸν Ἡρακλῆν πεποίηκε, καὶ γὰρ ὑφῆψεν ἐκ τοῦ Νέσσου αἵματος τὸ ἱμάτιον, καὶ οὕτως ἑαυτὸν εἰς ποταμὸν καιόμενον ἔβαλε· θερμανθέντος δὲ τοῦ ποταμίου ῥεύματος, οὕτως ἀπώλετο παρὰ τὰς καλουμένας Θερμοπύλας· ἔχει δὲ τὸ ἔπος ἐτὶ λέξεως ὧδε· – ἀμφιτρυωνίδαο μέγα κλέος, ἀλλὰ ἐδάμη – εἵματι σαρκοφάγῳ κεῖνος ὁ παντολέτης· – Τροφώνιος δὲ καὶ Ἐμπεδότιμος ὑπῆρχον μὲν ἐκ τῆς Βοιωτίας πόλεως Λεβαδίας, μάντεις δὲ τὰς τέχνας· καὶ οὗτοι δὲ βουλόμενοι κενοδοξῆσαι καὶ δεῖξαι ὅτι ἀνελήφθησαν, ἑαυτοὺς ἔν τισιν ὑπερῴοις ἔβαλον τόποις ἐπὶ τῷ τεθνᾶναι καὶ μὴ εὑρεθῆναι αὐτῶν τὰ λείψανα· ἐγνώσθησαν δὲ ὅτι ἐν σπηλαίοις ἀπέθανον, διὰ τὸ μαντεῖον φανῆναι τὸν τόπον· ἔστι δέ τις παροιμία ἡ λέγουσα, εἰς Τροφωνίου μεμάντευσαι· εἴρηται δὲ ἐπὶ τῶν ἀγελάστων καὶ ὠχριόντων· πᾶς γὰρ ὁ καταβαίνων εἰς τὸ μαντεῖον ἐκεῖνο, ἀγέλαστος ἀνήει καὶ ὠχριῶν διηνεκῶς· ἔλεγχος δὲ ἦν οὗτος αὐτῶν τούτων, ὅτι ὠχριεύσαντες καὶ μηδέ ποτε ἐν τῷ ὑπερῴῳ γελάσαντες τεθνήκασιν· ἠξιώθησαν δὲ Τροφώνιος καὶ Γαννυμήδης ὁ ἀδελφὸς αὐτοῦ μαντεύεσθαι διὰ τὸ κτίσαι αὐτοὺς τὸ ἐν Δελφοῖς ἱερὸν τοῦ Ἀπόλλωνος ἀπὸ οἰκείων χρη-

(*) Est initium epigrammatis LXXXVI. apud Muratorium.

μάτων, μέμνηται δὲ τούτων καὶ ἀλλαχοῦ Γραγέρις ὁ Θεῖος ὧδε φάσκων· καὶ Τροφωνίου κατὰ γῆς παίγνια καὶ μαντεύματα· ἐπείσυν δὲ τελετάς τινας εἰ κατιόντες ἐν τῷ Τροφωνίου σπηλαίῳ μαντεύεσθαι, καὶ ὡς χρησμῳδήσαντες ἀνήεσαν ὠχροὶ καὶ ἀγέλαστοι.

Καὶ σύ γ' Ἀριστάιου κενεαύχες ὁρμὰς ἄπιστε. 287.

Καὶ οὗτος Ἀριζαῖος βοιωτεὺς ἦν Λεβαδίας ἐμεῖος τῆς πόλεως, καὶ οὗτος τὸν ἔμοιον τῷ Τροφωνίῳ τρόπον ἀπώλετο κενοδοξήσας.

ΛΟΓΟΣ ΞΕ.

ΚΑΤΑ ΓΥΝΑΙΚΩΝ ΚΑΛΛΩΠΙΖΟΜΕΝΩΝ.

E. I. carm. LXIII.

Ἰσὸν Πηνελόπης, τὸν νυὸς λύεν, ἦμαρ ὕφαινεν, 41.
Ἔνθεθι τὴν Ἑκάβην, ἔκτοθι τὴν Ἑλένην. 42.

Πηνελόπη γυνὴ γέγονεν Ὀδυσσέως· Ὀδυσσεὺς δὲ μετὰ τὸν τρωϊκὸν πόλεμον λέγεται πολλὰ πλανηθῆναι ἐπὶ χρόνον πολὺν· συνήχθησαν οὖν μνηστῆρες ἐπὶ τὴν Πηνελόπην καὶ παρεκαθέζοντο ταύτῃ, ἤσθιον δὲ ἀπὸ τῶν Ὀδυσσέως κτημάτων· ἔλεγεν οὖν τῇ Πηνελόπῃ ἐπιλέξασθαι ὃν ἂν ἐθέλοι, καὶ τούτῳ συζυγῆναι· ἡ δὲ Πηνελόπη μαθοῦσα ζῇν τὸν Ὀδυσσέα καὶ προσδεχομένη αὐτὸν, χιτῶνα ποικίλον ὑφαίνουσα, τοὺς μνηστῆρας ὑπέκλεπτεν ἐπὶ χρόνον πολὺν· ἔφη γὰρ αὐτοῖς, ὅτι τὸν ἰσὸν ἀπαλλάσσουσα, μετὰ ταῦτα μνηστευθήσομαι· οἱ μὲν οὖν τοῦτον ὑπεκλέπτοντο τὸν τρόπον, τὴν ἡμέραν καθεζόμενοι καὶ ὁρῶντες ὑφαίνουσαν τὴν Πηνελόπην, αὕτη δὲ νυκτὸς ἀνισταμένη ἀνέλυεν ἅπερ ὕφαινεν ἐν ἡμέρᾳ· ἐπὶ πολὺ δὲ τοῦτο ποιοῦσα, φωραθῆναι λέγεται, καὶ τότε αὐτῇ πάντες ἐπιθέμενοι συνεγένοντο· ἔθεν

συλλαβοῦσα τίκτει τὸν Πᾶνα, διὸ καὶ Πᾶν ἐκλήθη· καθὼς ἐν τῷ ξγ' λόγῳ εἴρηται. Ἑλένη δέ ἐστι περὶ ἧς ὁ τρωϊκὸς συνεκροτήθη πόλεμος πρὸς τοὺς Ἕλληνας· πόρνη δὲ ἡ Ἑλένη, καὶ γὰρ Μενελάου σύμβιος οὖσα, τῷ Πάριδι Ἀλεξάνδρῳ ἐπιμανεῖσα, σὺν αὐτῷ εἰς Ἴλιον γενομένη, τὰ μυρία δεινὰ τοῖς Ἕλλησι καὶ τρωσὶ προεξένησεν· αὕτη δὲ πρὸς πόλεμον αὐτὸν Ἀλέξανδρον διεγείρει, καθὼς Ὅμηρος ὡς παρ'

Il. ζ. 333. ἐκείνης φησίν· – Ἕκτορ ἐπεί με κατ' αἶσαν ἐνείκεσας οὐδ' ὑπὲρ αἶσαν· – τοὔνεκά τοι ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον· – οὔτι ἐγὼ τρώων τόσσον χόλῳ οὐδὲ νεμέσσει – ἥμην ἐν θαλάμῳ, ἀλλ' ἔθελεν ἄχεϊ ωρτρατωέσθαι· – νῦν δέ με παρειποῦσ' ἄλοχος μαλακοῖς ἐπέεσσιν – ὥρμησ' ἐς πόλεμον· – Ἑκάβη δὲ μήτηρ μέν ἐστιν Ἕκτορος καὶ Ἀλεξάνδρου καὶ Πολυξένης, γυνὴ δὲ Πριάμου τοῦ τρώων βασιλέως· αὕτη δὲ σώφρων τὰ μάλιστα καὶ τῶν θηλειῶν θεῶν προσφιλής, ὡς αὐτοῦ λέγοντος ἀκούειν ἐστὶν Ὁμήρου δι' ἐπῶν·

Il. ζ. 288. – αὕτη δ' ἐς θάλαμον κατέβησετο κηώεντα – ἔνθ' ἔσαν εἱ πέπλοι παμποίκιλοι ἔργα γυναικῶν – σιδονίων, τὰς αὐτὸς Ἀλέξανδρος θεοειδὴς – ἤγαγε σιδονίηθεν ἐπισταμένως εὐρέα πόντον· – τὴν ὁδὸν ἣν Ἑλένην ἀνήγαγεν εὐπατέρειαν· – τῶν ἓν ἀειραμένη Ἑκάβη φέρε δῶρον Ἀθήνῃ – ὃς κάλλιστος ἔην ποικίλμασιν ἠδὲ μέγιστος – ἀστὴρ δ' ὡς ἀπέλαμπεν, ἔκειτο δὲ νείατος ἄλλων· – βῆ δ' ἰέναι πολλαὶ δὲ μετεσσεύοντο γεραιαί. – Τὸ δὲ λέγειν τὸν θεολόγον ταῖς καλλωπιζομέναις γυναιξὶν ὅτι ἔσωθεν τὴν Ἑκάβην, καὶ ἔξωθεν τὴν Ἑλένην, τοῦτό ἐστιν, ὅτι πορνικῶς τὰς καλλωπιζομένας ἀδύνατον ἐπαγγέλλεσθαι σωφροσύνην.

55. Κῆπος Ἀδώνιδος ἡ δὲ τεὴ χάρις ὠλεσίκαρπος.

Οὕτως Ἄδωνις ἐνομίσθη εἶναι θεὸς· τοῦτον Ἰουλιανὸς

ἔοικεν, ὡς ἐν τοῖς ζηλοτυπικοῖς λόγοις ὁ θεῖος Γρηγόριος ἔφη· ἄνθρωπος δὲ ὢν ἡράσθη ὑπὸ τῆς Ἀφροδίτης· ἐφθονεῖτο δὲ ὑπὸ τοῦ Ἄρεως, διὰ τὸ ἀντιρασθῆναι ὑπὸ τῆς Ἀφροδίτης τὸν Ἄρεα· εἴτε τινῶν εἰκείων ἔχοντα κάλλος τὸν Ἄδωνιν καὶ διὰ τοῦτο ἀπολέσθαι κατὰ τὸν ἀναβρηκτὰ λόγον φασὶν Ἕλληνες, οὐκ ἴσμεν· εἴτε καὶ κῆπον ἔχειν διελλύντα τοὺς οἰκείους καρποὺς, οὐκ ἔχομεν λέγειν· τὸ γὰρ ἐρασθέντα ζηλοτυπηθῆναι καὶ τοῦτον ἀπολέσθαι τὸν τρόπον, εἰς ὑπόνοιαν ἄγει τοιάνδε· καλὸν δὲ τῶν ζηλοτευτικῶν λόγων μνημονεύσαντες, τὴν δι' ἣν Ἄδωνις Ἰουλιανός, παραθέσθαι ὑπόθεσιν· οὗτος γὰρ ὁ μυσαρὸς εἰς γαλιλαίους τὸ τῶν χριστιανῶν μετέθηκεν ὄνομα διαπαίζων τὴν θρησκείαν· Γρηγόριος δὲ ὁ θεοφόρος ἀντιδιαπαίζων ἀξίως τὸν ἀνόητον, διαφόροις ὀνόμασιν ἀποκαλεῖ· λέγει μὲν αὐτὸν εἰδωλιανὸν, ὡς τοῖς εἰδώλοις προσανέχοντα· πισσῶν αὖθις, ὡς τὸν ἐν Πισιδίᾳ τιμῶντα, Ζεὺς γὰρ ἐν Πίσᾳ τῇ πόλει τῆς Ἤλιδος ἐξαιρέτως ἐτιμᾶτο· ἀδωναῖον δὲ διὰ τὸν Ἄδωνιν ὃν ἐτίμα καὶ ἔσεβε· καὶ σίταυρον ἐπὶ τούτοις τὸν Ἰουλιανὸν ὁ θεῖος Γρηγόριος ἐπωνόμασεν, ὡς ὁλοκλήρους ταύρους τῷ Διὶ θυσιάζοντα καὶ κατακαίοντα.

Πῶς δὲ σύ γ' εἶδος ἔχουσα κολοιΐων, εἶγε κολοιὸν 55.
Εὔπτερον ἀλλοτρίοις ἄνθεσι μῦθος ἔχων, 56.
Αὖθις γυμνὸν ἔθηκε γελοιΐων. 57.

Ἔστι τις μῦθος τοιόσδε· κρίσις ἦν φησὶ περὶ κάλλους ὀρνέων, Ζεὺς δὲ διαιτητὴς ὑπῆρχε τῆς κρίσεως· ἦν δὲ ὁρισθεῖσα ἡμέρα ἐν ᾗ ἔδει συναυλισθῆναι τὸν Δία τὰ ὄρνεα· τῇ προτέρᾳ δὲ τῆς ὁρισθείσης ἡμέρας, παρὰ τῷ ποταμῷ φοιτήσαντα τὰ ὄρνεα, τοῖς νάμασιν ἀπενίζοντο τὰ πτερὰ, ἵνα τὸ φυσικὸν ἑκάστῳ διαλάμψῃ κάλλος· ὁ δὲ κολοιὸς, ἔξι

δὲ τοῦτο τὸ ὄρνεον εὖ μάλα μικρὸν μὲν τὸ σῶμα, ἀκαλλὲς δὲ τὸ εἶδος, τῶν ἐκπεσόντων παρὰ τοῖς ὄθασι πτερῶν περιθεὶς ἑαυτῷ, ἦκε καὶ αὐτὸς παρὰ τὸν Δία, ὡς λῃψόμενος τοῦ κάλλους τὸ νικητήριον· ἀνέμου δὲ πνεύσαντος καὶ ἀποσκεπάσαντος τὰ ἀλλόφυλα τῶν πτερῶν, γυμνὸς εὑρέθη τοῦ κάλλους· ἔχων δὲ τὴν ἐκ φύσεως αὐτῷ περικειμένην ἀμορφίαν, οὕτως τῆς αἰσχύνης ἀπέλαυσεν.

Εἰ τάχα καὶ συφεῶσιν ἐνὶ σκοτίοισι πέσοιεν
Εἰρχθέντες Κίρκης χρίσμασι θηροτόκοις.

Αὐτίτου θυγάτηρ Κίρκη λέγεται· τοῖς δὲ ἰδίου πατρὸς ἅρμασιν ἐπ' ἔρημον μετενεχθῆναι νῆσον· αὕτη φαρμακὶς τυγχάνουσα, βρῶσιν τινὰ τοῖς παρεμπίπτουσι παρέχουσα, χείρους ὡς ὁ μῦθος ἀπετέλει· τῇδε καὶ Ὀδυσσεὺς ἐν τῇ πλάνῃ περιτυγχάνει, τοῖς δὲ χρίσμασιν οὐχ' ἑάλω τῆς Κίρκης, φάρμακον ἔχων Ἑρμοῦ τοῦ πομποῦ· τὰς τοίνυν καλλωπιζομένας γυναῖκας ὁ θεῖος Γρηγόριος τῇ Κίρκῃ ἀπεικάζει· ταῖς δὲ τούτων ἄρκυσι τοὺς ἐμπίπτοντας, χείρους ἀνομάζει· εἴργονται γὰρ ὡς τῆς Κίρκης τοῖς χρίσμασιν οἱ ταῖς γυναικείαις τερπόμενοι ζωγραφίαις ἐν συφεῶσιν.

Πανδώρην ἐνέπουσι πυρὸς μαλερῆιο κλαπέντος
Πεινὴν ἡμερίοις ἄντιτον ἐλθέμεναι,
Ἀντὶ πυρὸς, πῦρ ἄλλο κακοῦ κακὸν ὡς καὶ φλέγησι.

Τὴν Πανδώραν οἱ τῶν ἑλλήνων σοφοὶ, τὴν πρωτόπλαστον καλοῦσι γυναῖκα· Πανδώραν δὲ φασὶ διὰ τὸ πᾶσι δεδωρῆσθαι· ὥσπερ οὖν καὶ τὸν Νῶε λέγουσι Δευκαλίωνα, καὶ τὸν ἐπὶ τούτου κατακλυσμὸν μυθολογοῦντες παρεισάγουσιν· ἔθος γὰρ αὐτοῖς, ὡς φθάσαντες εἴπομεν, τῶν θεοπνεύστων βίβλων ἀποτέμνειν, τὰς ἱστορίας καὶ πρὸς τὸν οἰκεῖον καταπλάττειν μῦθον· φασὶν οὖν ὅτι πῦρ ἦν πρὸ τῆς γυναι-

κὰς, ἐξ οὗ τοὺς ἀνθρώπους οὐκ ἦν μετασχεῖν· ἐλθὸν οὖν τὸ πῦρ ὑπὸ Προμηθέως· οἱ οὖν Στοὶ, φησὶν, ἐποίησαν τὴν Πανδώραν γυναῖκα, καὶ παράσχον τοῖς ἀνθρώποις πῦρ ἄλλο ἀντὶ τοῦ κλαπέντος πυρὸς, ἵνα, φησὶν, τοὺς ἀνθρώπους ἐκκαίῃ, τιμωρίαν αὐτοῖς ἐπινεύσαντες ταύτην· οὐ μὴν ἀλλὰ καὶ καταπάρδιον ὑπέκκαυμα τὴν αὐτῆς φύσιν οὕτως ἐπινοήσαντες. Κεῖται πλατυτέρως ἀλλαχοῦ.

Οὐκ ἀΐεις καὶ πρόσθε τεὸν πατέρ' ὡς ἀπάτησεν 149.
Ἀνδρομέοιο φυτοῦ εὔχροος ἀγλαΐη. 150.

Μέμνηται τῆς κατὰ τὸν Ἀδὰμ παραβάσεως· ἔστι δὲ ἡ ἱστορία ἐν τῷ β' λόγῳ.

Τοῦτο δὲ καὶ πλέον ἐστὶ γελοῖϊον, εἶδεν ἄκοσμον 159.
Εἶδος ἔχευσα γυνὴ, καὶ πατέει Δανάην. 140.

Δανάη γυνή ἐστιν ἐρωμένη Διὸς, Ἀκρισίου μὲν θυγάτηρ, Περσέως δὲ μήτηρ· αὕτη δὲ τρόπεις ἐμηχανᾶτο στιβαζομένη, αἰσχροῖς δὲ σχήμασι κλειζομένη· διὸ ὁ Ζεὺς ὡς χρυσὸς αὐτῇ φαινόμενος συνεκάθευδεν αὐτῇ· περιτιθεμένη γὰρ ἑαυτῇ τὸ χρυσίον ἡ Δανάη, εἶδος ἐστὶν ἐν ᾧ μετεμορφοῦτο ὁ Ζεὺς οὕτως εὐσχήμονι, καὶ γὰρ διερρύη τὸ χρυσίον, καὶ συνεγένετο αὐτῇ· μιμεῖται τοίνυν τὴν Δανάην, φησὶν ὁ Θεῖος Γρηγόριος, γυνὴ καλλωπιζομένη, κἂν εὐσχήμον εἶδος ἔχῃ προσεπινοοῦσα χρωμάτια τινὰ δι' ὧν τοὺς ἀνθρώπους ἐφέλκεται, ὡς ἡ Δανάη.

Πυνθάνομ' ὡς κενεὴν καὶ ἀνείδεον ὑστερόφωνον, 153.
Ἠχώ τις ποθέων, πλάζεθ' ὑπὲρ σκοπιῶν. 154.

Ἤδη μὲν περὶ Πανὸς εἴρηται, ὡς αὐλητὴς ὢν τῶν ἐρέων τοῖς ἀντηχήμασιν ἐτέρπετο τῆς ἑαυτοῦ φωνῆς.

Καὶ μορφῆς ποτ' ἐῆς τίς ἐράσσατο, καὶ κατὰ πηγῆς 155.
Πλατ' ἐπ' εἰδώλῳ κάλλεος εὐλομένου. 156.

Κεῖται μὲν ἐν τῷ ξγ' λόγῳ. Νάρκισσος οὗτος ἦν ὁ κυνηγέτης, ὃς ὢν χαρίεις τὴν ὄψιν ὑπεράγαν, ἐργῶν τε τῇ Ἀφροδίτῃ, καὶ πιόμενος ἐπὶ πηγὴν ἔρχεται· τῆς οἰκείας δὲ μορφῆς ἐρασθεὶς τῆς πηγῆς κατεπήδησεν· ἐμοῦ τοῦ κάλλους τοῦ ἐλεθρίου τῷ εἰδώλῳ τὸν θάνατον ἐπισπασάμενος.

157. Ἄλλη δ' ἂν ποταμοῦ καλοῖς ἐπεμήνατο ῥείθροις
158. Μαίνετο οὐδ' ἔχθας ἤγ' ἀπέλειπε φίλας,
159. Λάπτεν ὕδωρ χείρεσσιν ἀφύσσετο, ἀφρὸν ἔμαρπτεν·
160. Ἀλλ' οὐδ' ὡς πυρόεις ὕδασι λῆγε πόθος.
161. Οὕτω τυφλὸν ἔρως καὶ ἀνάρσιον.

Ἥρα ποτὲ τοῖς ὕδασιν ἐπεμάνη· ἄλλαι δὲ τὴν Τυρὼ φασι τὸν ἐγχώριον ποταμὸν ἐρᾶν τὸν Ἐνιπέα, ἔνθα γενομένη, ταῖς ὄχθαις τοῦ ποταμοῦ παρεκαθέζετο· φλεγομένη δὲ ὑπὸ τοῦ πόθου, τὰ γέλωτος ἔπραττεν ἔργα, ἔπινεν ὕδωρ, ἤντλει ταῖς χερσὶν, ἐκράτει προσεγγίζουσα, τὸν ἀφρὸν ἐλούετο, θιηντλεῖτο καὶ τυχεῖν οὐκ ἠδύνατο τοῦ ποθουμένου, οὐ γὰρ οἷόν τε συγγενέσθαι αὐτῇ τὸ ὕδωρ· ὡς δὲ ταῦτα ἐποίει, πλέον ἐξήπτετο, καὶ ὁ πυρωθεὶς ἔρως ἐν τοῖς ὕδασιν οὐκ ἤθελε παύσασθαι· οὕτω, φησὶν ὁ θεῖος Γρηγόριος, τυφλόν τι καὶ ἄδικον ἔρως λίαν, καὶ τὸν ἔμφρονα πολλάκις ἔξω τοῦ νοῦ βάλλων· τοῦτο δὲ φησὶ κατὰ γυναικῶν καλλωπιζομένων, ὅτι διὰ πολλῶν τρόπων διστρλατοῦνται, σιβαζόμεναι, χρωματιζόμεναι, κοσμούμεναι, καὶ σωφροσύνην σχηματιζόμεναι, δι' αὐτῶν τῶν ἐπιτηδευμάτων τὸν ἐγκάρδιον ὑποφαίνουσιν ἔρωτα. Κεῖται ἐν τῷ ρυβ' λόγῳ.

165. Πείθομαι ὡς ποτὲ ταῦρον ἀνὴρ σοφὸς ἥπαφε τέχνῃ
166. Χρώμασι μορφώσας δουρατέην δάμαλιν·
167. Ξεῖνος ἔρως, ἀπόοισιν ἐπ' εἴδεσιν, ἔμπνοα βαίνει
168. Ὁππότε καὶ σὺ νέοις μήσαις τέλον ἄγος.

Λέγεις ἐστὶν ὅτι τῶν ἀρχαίων τίς σοφὸς ζωγράφος δάμαλιν ξυλίνην στήσας ἐζωγράφησεν, ὡς μήν τινες ὅτι ὑδάτων θαμάλεως τοῖς χρώμασιν ἐπιμίξας καὶ οὕτως σκευάσας ἔρησεν ὅμως τὴν δάμαλιν τὴν ξυλίνην· ταῦρος δὲ ἐνεχθεὶς καὶ παραστὰς ἐπεμαίνετο τῇ θαμάλει τῇ ξυλίνῃ ξίνον ἔρωτα ἐπιδεικνύμενος· φησὶν ὁ θεῖος Γρηγόριος, ὅτι αἱ ζωγραφούμεναι γυναῖκες ψιμυθίοις καὶ φαικαρίοις καὶ χρώμασιν ἄλλοις τοὺς ἄνδρας ἐπισπῶνται πρὸς ἔρωτα· εἰ γὰρ ἐπ' ἄψυχα μανίαν τῷ ταύρῳ τὰ τοιαῦτα πεποίηκεν, πόσῳ μᾶλλον ἐπ' ἀνθράσιν τῇ ἐμοὶ περιεχομένοις σαρκί;

Ὀρφεὺς θῆρας ἔπειθε, σὺ δ' ἄνερας εἷσιν ἐμεῖο. 169.
Θήρεσιν ἐστὶ νόος, θηλυμανὴς τε βίος. 170.

Κεῖται ἡ κατὰ τὸν Ὀρφέα διήγησις ἐν τῷ ξβ' λόγῳ.

Πῶς δὲ σὺ τόσσον ἔρωτος ἐπ' ἀνδράσι κεκὸν ἄγευσα 185.
Λυσιγάμοιο γύναι τῆλε μένεις κακίης; 186.

Τὴν Ἀφροδίτην εὔφορον εἶναι φασὶ τῆς παρειάς καὶ τῶν ἐρωτικῶν ἁπάντων καὶ πρὸς ἡδονὴν σαρκὸς ἐρώντων· ἔθεν ὡς Ὅμηρος φησὶ, τὴν Ἀφροδίτην ἔχειν τὰ πρὸς ἀπάτην ἐπιτήδεια πολλαχοῦ τίς ἂν ἴδοι, μάλιστα δὲ ἐκ τῶν κατὰ τὴν Ἴραν· μᾶλλον ὁ Ζεὺς Ὁμήρῳ μεμυθολόγηται τοῖς τρωσὶν ἐχαρίζετο καὶ τοὺς Ἕλληνας ἡττᾶσθαι παρεσκεύαζεν διὰ τὴν τῆς Θέτιδος ἱκετείαν ἕνεκεν Ἀχιλλέως, ἵνα ζητήσωσιν αὐτὸν Ἕλληνες ἡττώμενοι, καὶ γὰρ ἦν παροξυσμὸς μεταξὺ Ἀχιλλέως καὶ Ἀγαμέμνονος ἕνεκεν Χρυσηΐδος καὶ Βρισηΐδος· Χρύσης γὰρ ἱερεὺς ὢν Ἀπόλλωνος παρῆν ἐπὶ ναύσαθμον τῶν Ἑλλήνων Χρυσηΐδα τὴν ἰδίαν λυτρωσόμενος παῖδα, γέρας Ἀγαμέμνονι δοθεῖσαν ὑπ' Ἑλλήνων, αὐτὴ γὰρ καὶ Βρισηΐς ἡ τοῦ Ἀχιλλέως ἐξαίρετος τῆς αἰχμαλωσίας ὑπῆρχεν νεάνιδες· λύτρων δὲ πολλῶν ὑπὸ Χρύσου παρεχομένων,

Ἀγαμέμνων οὐ προσέσχεν, ἀλλὰ γὰρ ἠτίμησεν τὸν ἱερέα πρὸς τούτοις· ὁ δὲ τῷ Ἀπόλλωνι κατὰ τῶν ἑλλήνων ἐντυγχάνει, λοιμικῆς δὲ νόσου τὸ στρατόπεδον νεμομένης, Κάλχαντος ἀληθὲς διασαφήσαντος, Ἀγαμέμνων ἠναγκάζετο τὴν Χρυσηΐδα τῷ πατρὶ τῷ εἰκείῳ ἀποδοῦναι· διέστηκεν δὲ πρὸς Ἀχιλλέα ὡς ἅτε Κάλχαντα τὸν χρησμὸν ὧδε φῆναι παρεσκευασμένον· ἀφελεῖται οὖν τὴν Βρισηΐδα τοῦ Ἀχιλλέως, δι' ἣν εἰς λόγους κατασάντες διηνέχθησαν· Ἀχιλλέως δὲ κλαίοντος ἀντὶ τῆς κόρης, ἡ μήτηρ Θέτις ἀνελθεῖν λέγεται καὶ λόγοις αὐτὸν αἰμυλίοις μεταβαλεῖν· εἶθ' ἔπειτα εἰς Ὄλυμπον ἀφικομένη τῷ Διὶ προσαγγέλλει τοῖς τρωσὶν ἐπαμύναι, ὅπως ἕλληνες ἡττώμενοι θεηθῶσιν Ἀχιλλέως· Ζεὺς δὲ τῆς Θέτιδος τὴν ἱκετείαν δεξάμενος ἐπὶ μὲν τῇ ὑποσχέσει κεκίνηκε τὰς ὀφρύας, τὰς δὲ τρίχας τῆς κεφαλῆς σεῖσαι κατανεύσει λέγεται, συγκινῆσαι τε τὸν οὐρανὸν ὅλον τῶν τριχῶν αὐτοῦ κινουμένων· τῆς τοίνυν Θέτιδος τὴν ἱκετίαν πληρῶσαι θέλων ὁ Ζεὺς καὶ εἰς πέρας ἄγων, τοῖς μὲν τρωσὶν ἐβοήθη τοῖς δὲ ἕλλησι κακὰ ἐβουλεύετο· φροντίζουσα δὲ τῶν ἑλλήνων ἡ Ἥρα βουλεύεται πρὸς μίξιν ἀπατῆσαι τὸν Δία καὶ πρὸς ὕπνον καθελκύσαι, ὅπως καθεύδοντος τοῦ Διὸς ἀβοήθητοι γενόμενοι τρῶες τοῖς ἕλλησιν ἡττηθῶσιν· ταῦτα βουλευσαμένη λαμβάνει τὰ καλλωπίσματα ἐκ τοῦ κέστου τῆς Ἀφροδίτης· ὁ δὲ κέστος κάψιον ἐστί τι, ἱμὰς ποικίλος, ἐν ᾧ πάντα τὰ πρὸς κάλλος καὶ εὐμορφίαν καὶ χάριτας ἐναπόκεινται· εἶτα κοσμησαμένη ἄνεισιν παρὰ τὸν Δία καὶ κινεῖ αὐτὸν πρὸς ἡδονὴν καὶ λαγνείαν· καθέλκει οὖν αὐτὸν εἰς ὕπνον τριῶν ἡμερῶν· καθευδόντων δὲ, φησὶ, βοτάνας ἀνέδωκεν εὐώδους ἡ γῆ, κρόκον φημὶ καὶ λωτὸν καὶ ὑάκινθον· ἔχει δὲ τὸ ἔπος ὧδε· – τοῖσι

ὁ ὑπὸ χθὼν δὶς φύεν νεοθηλέϊ ποίην – λωτὸν δ' ἐρατεν- Il. ξ. 3
τα ἰδὲ κρόκον ἠδ' ὑάκινθον· – πυκνὸν καὶ μαλακὸν ὃς ἀπὸ χθονὸς ὕψοι ἔεργεν. – Φησὶν οὖν ὁ Θεσπίσιος Διηγητὴς, ὅτι τὸν κέστον τῆς Ἀφροδίτης ἐπιφέρεται γυνὴ τοιαύτης σχηματιζομένη καλλωπισμοῖς πρὸς ἀπάτην ἀνδρῶν καὶ λαγνείαν· ἡ δὲ τοιοῦτον κέστον φέρουσα πῶς δύναται σωφρονεῖν, κἂν τοῦτο πολλάκις οἰηθείη; λυσίγαμον δὲ τὸν κέστον καλεῖ, καὶ γὰρ τῶν πρὸς αἰσχρὰν μίξιν ὑπηρέτης ἐστὶν καὶ πρόξενος τὰ πρὸς ἀπάτην ἔχων κείμενα, ὡς φησὶν αὐτῇ Διομήδης τῇ Ἀφροδίτῃ· – εἶκε Διὸς θύγατερ πολέμου καὶ δηϊοτῆτος – ἦ οὐχ ἅλις ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις; – Γάμος δὲ οὐκ ἂν κληθείη τὸ δι' αἰσχρότητος τὴν σύστασιν ἔχων· λύει τοιγαροῦν γαμικὸν θεσμὸν ἡ τοιῶσδε κεχρημένη γυνή. Il. ν. 3

Κελτοὶ μὲν κρίνουσι γόνον Ῥήνοιο ῥεέθροις. 221.

Οἱ Κελτοὶ ἔθνος εἰσὶν· ποταμὸς δὲ τῆ τούτων προσπαράκειται χώρᾳ Ῥῆνος καλούμενος· ἐν τοῖς ὕδασι τοῦ Ῥήνου τὴν γονὴν διακρίνουσι, καὶ γὰρ παρὰ τὸν ποταμὸν πορευόμενοι, εἰ γνήσιος ἔσιν ὁ παῖς ἢ ἀλλότριος, τόδε ὕδωρ σαφηνίζει τούτοις τὴν γονὴν, καὶ εἰ μὲν νόθον ἐστὶ τὸ παιδίον . . . *

* Deest aliquid.

Ἐσθὴρ εἶδος ἔτευξεν ἐράσμιον, ἀλλά τι κείνης 291.

Ἔργον ἀριπρεπίης ἔθνος ἔμεινεν ὅλον. 292.

Ἐσθὴρ τῶν θυγατέρων ἦν Ἰσραὴλ ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος, αὐτὴ δὲ ὡραῖα ἦν τῷ εἴδει σφόδρα· Ἀταρξέρξης τοίνυν ὁ περσῶν βασιλεὺς ἐρασθεὶς αὐτῆς εἰς γυναῖκα ταύτην προσελάβετο· τῷ οὖν Ἀταρξέρξει δυναστεύων τίς ἦν Ἀμᾶν τοὔνομα, ὃς αὐτοῦ τῆς βασιλείας εἶχεν τὰ δεύτερα· ζήλῳ τοίνυν βαλλόμενος τῷ πρὸς ἰουδαίους Ἀμᾶν, πείθει τὸν

Ἀταρξέρξιν πάντας ἀναιρεθῆναι τοὺς ἰουδαίους· Μαρδοχαῖος τίς πρὸς γένος ἦν τῇ Ἐσθὴρ ἀνὴρ φρόνιμος καὶ σοφὸς καὶ πνεύματος ἔμπλεος θείου· τακτῆς δὲ οὔσης τῆς ἡμέρας καθ' ἣν τὸ πρόσταγμα πληροῦν ἅπαντας τοὺς ὑπ' αὐτῷ τεταγμένους ὁ βασιλεὺς διετάξατο, τὴν Ἐσθὴρ εἰς λόγους κινήσας ὁ Μαρδοχαῖος πείθει καλλωπισαμένην εἰς τὸν βασιλέα παρ' ἔθος αὐτομολῆσαι, οὐ γὰρ εἰ μὴ κέκλητο δυνατὸν ἦν αὐτὴν ἀφικέσθαι· ταύτην δὲ παικίλως ἐσβασμένην ὁ Ἀταρξέρξης θεασάμενος πρὸς αὐτὸν ἀφικομένην, ἔκλυτος ὑφ' ἡδονῆς γεγονὼς ἐξελίμπανεν· ἡ δὲ πλέον ἐξάπτειν αὐτὸν βουλομένη τοὐναντίον ἀντεξελύετο λυγιζομένη καὶ καταμαλακιζομένη· τούτου δὲ ταύτης ἐπειλημμένου καὶ μή ποτε διαφωνήσει δεδειττωμένου, φιλήμασί τε καὶ ψήγμασι καὶ ὅσοις ἐξὸν ἀνακτᾶσθαι τοὺς ἐκλιλυμένους σχηματιζομένους, τῆς Ἐσθῆρος τὸ ἀπόῤῥητον διασαφησάσης, αὐτίκα τὴν μὲν πρόσταξιν ἀκύρωσεν ὁ βασιλεὺς, μηδὲν τῶν δογματισθέντων ἰουδαίους πεπονθέναι προστάξας, τὸν δὲ ταύτης αὐτῷ τῆς συμβουλίας Ἀμᾶν αἴτιον ξύλῳ κρεμάσας ἀπώλεσεν, πᾶσαν τὴν ἐκείνου ἀρχὴν τῷ σοφῷ προσνείμας Μαρδοχαίῳ· φησὶν οὖν ὁ θεῖος Γρηγόριος ὅτι Ἐσθὴρ καλλωπισαμένη τὸ ἔθνος ἔσωσεν ἕλλην, οὐ γὰρ ἀπατῆσαι ἀλλὰ σῶσαι τὰς ψυχὰς ἠγωνίσατο· τοῦτο δὲ καὶ Ἰουδὶθ ἐπέτυχεν Ὀλοφέρνου πολιορκοῦντος μετὰ πολλῆς δυνάμεως, τῆς πόλεως ἐξελθοῦσα καὶ τοῖς πολεμίοις ἑαυτὴν ἐπιδοῦσα, καλλωπισαμένη τε καὶ Ὀλοφέρνην δι' ἀπάτης ἀνελοῦσα, καὶ τοῖς ἐμφύλοις εὑραμένη σωτηρίαν.

295. Γράψε ποτ' ἐμματα πόρνης Ἰεζάβελ ἀγριόθυμος,
294. Λοῦσε γε μὴν πόρνας αἵματι πορνιδίῳ.

Λύτη ἔστιν Ἰεζάβελ ἡ τοῦ Ἀχαὰβ γυνὴ, ἧς ἐμνήσθη-

μὲν ἐν τῷ κατὰ τὸν προφήτην Ἠλίαν διηγήματι· αὐτὴ μετὰ τὸ τὸν Ἀχαὰβ ἀποθανεῖν, καὶ Ἠλίαν μεταστῆναι, ἐβασίλευεν, υἱὸν ἔχουσα τὸν Ἰωρὰμ τοῦ Ἰσραὴλ βασιλέα· ἦν δὲ τὸ τηνικαῦτα προφητεύων Ἐλισσαῖος· συνέβη τοίνυν τοὺς ἄρχοντας συνηθροίσθαι ἐν Ῥεμμὼθ Γαλαὰδ ἐν οἷς ἦν Ἰοῦ τῶν ἀρχόντων εἷς καθεζόμενος· Ἐλισσαῖος τοίνυν ἀπέστειλεν τὸ παιδάριον αὐτοῦ χρῖσαι τὸν Ἰοῦ εἰς βασιλέα ἐν μέσῳ τῶν ἀρχόντων, ὃς ἐλθὼν λέγει αὐτῷ· λόγος κυρίου πρὸς σὲ ἄρχων τῆς δυνάμεως· ὁ δὲ ἐξανέστη καὶ κατ' ἰδίαν σὺν αὐτῷ πορεύεται· καὶ φησὶ, τάδε λέγει κύριος· ἔχρισά σε εἰς βασιλέα ἐπὶ τὸν Ἰσραήλ· καὶ τοῦτο εἰπὼν ᾤχετο· οἱ μὲν οὖν ἐπυνθάνοντο τί ποτε ἦν ὁ λόγος· Ἰοῦ δὲ φησὶν, ἀνὴρ ἐστὶν ἐξεστακώς, τά καὶ τά φησιν ἀπήγγελλέ μοι· οἱ δὲ συνεστράφησαν ἐν ἑαυτοῖς, κύριος γὰρ φησὶν ἠλλοίωσε τὰς καρδίας αὐτῶν, καὶ ἐβόησαν ἕκαστος, καὶ ἀναστάντες ἔχρισαν αὐτὸν· καὶ ἐβασίλευσεν Ἰοῦ ἐν Ῥεμμὼθ, καὶ πάντας ἀνεῖλεν παραχρῆμα τοὺς ἱερεῖς τοῦ Βάαλ, καὶ τὰ θυσιαστήρια καθεῖλεν· τοῦ δὲ Ἰωρὰμ ἀκούσαντος καὶ αὐτὸν ὁρῶντος ἐπὶ τοῦ ἅρματος παραγενόμενον, εἰς συνάντησίν τε παρατάξασθαι ἐξιόντος, πληγεὶς πέπτωκεν καὶ ἀπέθανεν· Ἰεζάβελ δὲ πόρνη οὖσα, τοὺς ὀφθαλμοὺς ἐστιβάσατο, καὶ τὴν στολὴν ἠλλάξατο, δι' ἐπόπτου παρέκυπτεν, θέλξαι τὸν Ἰοῦ βουλομένη· αὐτὸς δὲ παριὼν ἴδεν αὐτὴν, καὶ προσέταξεν κατεαγῆναι ὅθεν διέκυπτεν· καὶ οὕτως αὐτῆς διασκορπισθείσης τὸ μὲν αἷμα κύνες ἔλιξαν κατὰ τὴν Ἠλιοῦ προφητείαν ἐν μερίδι τοῦ ἀμπελῶνος Ναβουθὲ οὗ ἀπέκτεινεν· αἱ δὲ πόρναι τῷ τούτου αἵματι παρὰ τὴν κρήνην ἐλούσαντο.

ΛΟΓΟΣ Ξς.

l. carm. VI.

ΠΡΟΣ ΟΛΥΜΠΙΑΔΑ.

98. Παντός σοι μύθοιο καὶ ἔργματος ἔπνυσε εἰκών,
99. Θηλυτέρη Χειρωνὶς ὑπὸ προπάσσεσσι γάμοις,
100. Ἣ σ' ἐκ πατρὸς ἐδέκτο καὶ ἔπλασεν ἤθεσι κεδνοῖς·
101. Αὐτοκασιγνήτη μεγ' ἀμύνεσε ἀρχιερῆος
102. Ἀμφιλόχου, τὸν ἐπέμψα θεῷ θέκλῃ γε σὺν ἁγνῇ.

Αὕτη ἔστιν Ὀλυμπιὰς ἡ κατὰ τὸν χρυσόστομον Ἰωάννην, ἐπὶ μὲν τῶν χρόνων Γρηγορίου τοῦ θεολόγου κόρη τυγχάνουσα παρθένος ἔτι, καὶ τῶν λόγων αὐτοῦ ἐν ἀκροάσει γενέσθαι κατηξιωμένη· διόπερ καὶ εἰς τοσοῦτον ἀρετῆς ἐλήλακεν ὕψος ὡς τοιαύτη γενέσθαι οἷον ἂν αὐτὴν ὁ τῶν θεοφόρων χορὸς μεγαλαυχεῖ· καὶ γὰρ καὶ Βασίλειος ὁ θεῖος καὶ Γρηγόριος ὁ τούτου ἀδελφὸς τῆς Ὀλυμπιάδος μνήμην ποιοῦνται, πολλοῖς αὐτὴν ἐγκωμίοις ἐξαίροντες, ὡς αὐτοῦ Γρηγορίου τοῦ νυσαέως ἔστιν ἀκοῦσαι ἐν τῇ βίβλῳ τῶν εἰς τοὺς μακαρισμοὺς λόγων· αὕτη μὲν οὖν τῶν Γρηγορίου τοῦ μεγάλου θεολόγου λόγων ἠξιωμένη, μέλλουσα πρὸς γάμον συνάπτεσθαι ἀνδρὶ, τοῦτο γὰρ ὑπὸ τῶν γονέων ποιεῖν ἠναγκάζετο, καὶ γὰρ ἦσαν τῶν ἐν πάσῃ σχεδὸν τῇ ὑφ' ἥλίῳ πλούτῳ πρέχοντες καὶ ἀξιώμασιν, ὅμως τῶν θείων οὐκ ἐλιθάργησε διδασκαλιῶν· τοῦτον οὖν τὸν λόγον δι' ἐπῶν πρὸς αὐτὴν ὁ θεολόγος γεγράφηκεν· πάσης δὲ σοφίας ἔμπειρος ἡ Ὀλυμπιὰς, ὅπως χρὴ τῷ γάμῳ προσιέναι καὶ συζῆν τῷ ἀνδρὶ· ἱκανῶς οὖν καταρτίσας αὐτὴν ὑπόδειγμα, τὴν ἀδελφὴν Ἀμφιλοχίου τοῦ τῆς εἰκονιαίων ἐπισκόπου παράγει· αὕτη δὲ σοφὴ τὰ πάντα καὶ ταῖς κατὰ θεὸν ἀρεταῖς διαφάι-

νυσα, ἣ καὶ τὴν Ὀλυμπιάδα ἐξ ἀπαλῶν ὀνύχων ἤθεσι σεμνοῖς ὑποδεξαμένη διέπλασεν· θηλυτέραν δὲ Χειρώνην ταύτην φησὶν ἐκ τοῦ κατὰ τὸν Ἀχιλλέα παραδείγματος μεγαλαυχούμενος· οὗτος γὰρ τεχθεὶς, Χείρωνι τῷ ἱππικεντάυρῳ τροφεῖ ὁμοῦ καὶ διδασκάλῳ παραδίδοται ὑπὸ Θέτιδος τῆς μητρός· ὁ δὲ Χείρων λαβὼν τὸν Ἀχιλλέα τοῖς ἐπισθίοις αὐτοῦ μέρεσι κατὰ τὸ ἱππικὸν ἐπικαθίσας ὤδει, ἐγύμναζεν τὰ πολεμικὰ καὶ μάλιστα διδάσκων τὴν τοξείαν· ἐν καὶ διέτρεφεν ἐλάφων μυελοῖς καὶ ἄλλων ζώων· διὸ καὶ Ἀχιλλεὺς κέκληται μὴ μετασχὼν χείλους· χεῖλος γὰρ ἡ χορτώδης ὑπάρχει τροφή· τὴν τοίνυν ἀδελφὴν Ἀμφιλοχίου Χειρώνην θηλυτέραν φησὶν, ὅσον ἐν γυναιξὶν ὑπερέχουσαν, ἐκ τοῦ πατρὸς τὴν Ὀλυμπιάδα δεξαμένην καὶ σεμνοῖς ἤθεσι διαπλάσασαν· ὡς γὰρ ὁ Χείρων ἔμπειρος ὢν τῶν πολεμικῶν, τοιοῦτον ἀνέδειξε τὸν Ἀχιλλέα παιδεύσας οἷος ἦν, οὕτω δὴ καὶ αὐτὴ τῶν κατὰ Θεὸν ἀρετῶν ἐργάτις τε οὖσα καὶ διδάσκαλος, τοιαύτην ἀνέδειξε τὴν Ὀλυμπιάδα· τοσοῦτον μεγάλοις παιδοτρίβαις τὸ προσμένειν, μέγαν τὸν παιδαγωγούμενον ἀπεργάζεται· ὡς ἔστιν ἀρχαίας ἐπιμνησθῆναι φράσεως, ὅτι μεγάλων διδασκάλων μεγάλοι γενήσονται καὶ οἱ μαθηταί· ὥσπερ γὰρ ἀπαλὸς τυρὸς τοῦ καλάθου τὸν τύπον ἀναδέχεται, οὕτω δὴ τῶν διδασκάλων τοὺς τρόπους καὶ τὴν ἕξιν καθ' ἣν εἴτε νωθροὶ εἴτε διαγεγερμένοι τύχοιεν οἱ μαθητευόμενοι ἀνατυποῦνται· ταύτης δὲ τῆς Ὀλυμπιάδος ἀδελφιδοῦς Σέλευκος ἦν, πρὸς ὃν τὴν ἰαμβικὴν ἐπιστολὴν Ἀμφιλόχιος γεγράφηκεν (1) ὡς ἀπὸ συνηθείας ὢν, θαῤῥῶν

(1) Ergo etiam Cosmas iambicum illud tribuit Amphilochio; quod sententiae contradicit Billii tribuentis Gregorio nazianzeno.

τὲ καὶ τὸν νέον πρὸς λόγους διεγείρων, ἐν ᾗ πρὸς τὸ τέλει τῆς Ὀλυμπιάδος μέμνηται διὰ ἰάμβων λέγων ὧδε· – τὴν σεμνότητος ἁγνείας τ' ἀσκήσεως – ἔμψυχος εἰκόνα πίστεώς τε σφράγισμα – Ὀλυμπιάδα πρόσειπε τὴν σὴν τιτθίδα· – λέγει δὲ Γρηγόριος ὁ Θεῖος σὺν Θέκλῃ τῇ ἀοιδίμῳ τὸν Ἀμφιλόχιον προπέμψαι, καὶ γὰρ αὐτοῦ προτετελεύτηκεν πρὸς γένους ὑπάρχων αὐτῷ· ἦν δὲ τῆς εἰκονιαίων ἐπίσκοπος, ἔνθεν ἡ καλλίνικος ἁρμᾶτο μαθήτρια Παύλου λέγω δὲ Θέκλα ἡ φίλαγνος καὶ καλλιπάρθενος μάρτυς.

ΛΟΓΟΣ ΞΖ. ΛΟΓΟΣ ΞΗ.

Ed. carm. LVIII.

ΠΕΡΙ ΑΡΕΤΗΣ ΑΙ' ΕΠΩΝ.

22. Πυνθάνομ' Ἀλφειοῖο καλὸν ῥόον, ὡς διὰ πικρῆς
25. Ἔρχεθ' ἁλὸς, μέγα θαῦμα, γλυκὺς πόρος, οὐδ' ἐπίμικτος.

Ἀλφειὸς ποταμός ἐστιν τῆς Ἀρκαδίας, Ἀρκαδία δὲ πόλις (χώρα) Πελοποννήσου· ἔστι δὲ πηγὴ ἐν Σικελίᾳ τῇ νήσῳ Ἀρεθούσῃ τοὔνομα· λέγεται οὖν ὅτι ὁ ποταμὸς ἠράσθη τῆς πηγῆς τῆς Ἀρεθούσης, καὶ ἐρασθεὶς διαδὺς τὸ πέλαγος ἀναδίδεται ἐν Σικελίᾳ παρὰ τὴν πηγήν, μὴ συναναμιχθεὶς τῇ ἁλμυρίδι τῆς θαλάσσης, ἀλλὰ καθαρὸν τὸ νᾶμα διαφυλάττων πρὸς τὴν ἐρωμένην· ἐπειδὴ δὲ τῆς Ἀρκαδίας ἐμνήσθημεν, καλὸν καὶ τὸ κατὰ τὸν Ὅμηρον παραθέσθαι ἀρκαδικὸν ζήτημα· καὶ γὰρ τούτου μέμνηται ἐν τοῖς κατὰ Ἰουλιανοῦ συλλογιστικοῖς ὁ Θεῖος Γρηγόριος· Ὅμηρος ὁ ποιητὴς περὶ τὴν Ἀρκαδίαν γεγονὼς ἁλιεῦσι φθειριζομένοις περιέτυχεν, καὶ ἠρώτησεν αὐτοὺς οὕτως· – ἄνδρες ἀπ' Ἀρκαδίης ἁλιῆτορες ἦ ῥ' ἔχομέν τι; – ἔστι δὲ ὁ νοῦς τῆς ἐρωτήσεως οὗτος· ὦ Ἀρκάδες ἄνδρες ἁλιεῖς τὴν τέχνην ἆρα ἐθη-

ράσαμέν τι; εἰ δὲ ἁλιεῖς ἀπεκρίναντο τοῦτο τὸ ἔπος· ἦν δὲ παρὰ Ὁμήρου τὰς ὄψεις· καὶ φασὶν οἱ ἁλιεῖς – ὅσσ' ἔχομεν λιπόμεσθα, τὰ δ' οὐχ ἕλομεν φερόμεσθα· – ὁ δὲ νοῦς τοῦ ἔπους οὗτός ἐστιν· οὓς μὲν φθείρας ἐθηράσαμεν, οὐκ ἔχομεν· οὓς δὲ οὐκ ἰσχύσαμεν θηράσαι, φέρομεν ἐν τοῖς ἱματίοις· οὐκ ἐνόησεν δὲ τὸ λεγόμενον ὁ Ὅμηρος, καὶ μικρὸν ἐκεῖσε γενόμενος ἀπὸ λύπης ἀπέθανεν· φασὶ δὲ καὶ τὸν χρησμὸν αὐτοῦ πρὸ τούτου δεδόσθαι, ὁπότ' ἂν αὐτῷ προταθείη ζήτημα, καὶ μὴ εὕρει, τεθνήξεσθαι τότε. Φασὶ δὲ καὶ περὶ Ἀριστοτέλους ὅτι μαθητὴς γέγονεν Πλάτωνος, εἰ καὶ τὰ μάλιστα περὶ τὸ φυσικὸν μέρος τῆς φιλοσοφίας ἐπιδοὺς ἐσπούδασε πάντων τῶν μετὰ τὰ οὐράνια σώματα τὰς αἰτίας εἰπεῖν καὶ τὰς φύσεις, εἶεν γῆς θαλάττης ἀέρος αἰθέρος ζώων φυτῶν ὑετῶν χιόνος σεισμῶν κομητῶν πάντων ἁπλῶς· οὗτος οὖν τὴν πάντων διερευνησάμενος φύσιν ἐβουλήθη καὶ τὴν τοῦ Εὐρίπου φυσιολογῆσαι φύσιν· καὶ μὴ ἰσχύσας καταλαβεῖν, ἔρριψεν ἑαυτὸν ἐν τούτῳ τῷ μέρει τῆς θαλάσσης, τοῦτο ἐπιφθεγξάμενος· ἐπειδὴ Ἀριστοτέλης οὐχ εἷλεν τὸν Εὔριπον, Εὔριπος ἐχέτω τὸν Ἀριστοτέλην, καὶ τέθνηκεν οὕτως ὁ Ἀριστοτέλης· ὁ δὲ Εὔριπος τόσος ἐστὶ τῆς θαλάσσης μεταξὺ τῆς Εὐβοίας νήσου καὶ τῆς Ἀττικῆς, ὃς ἑπτάκις τρέπεται τῆς ἡμέρας· τρέπεται δὲ τὸ ὕδωρ τὸ ἐν τούτῳ τῷ μέρει τῷ ὑποφεύγειν καὶ εἰσνεὶ ἀναρροεῖσθαι καὶ πάλιν ἐξερεύγεσθαι καὶ ἀναπληροῦσθαι τὸ ὕδωρ πάλιν ὡς ἦν· τοῦτο δὲ γίνεται ὡς εἶπον ἑπτάκις τῆς ἡμέρας· φησὶν οὖν ὁ θεῖος Γρηγόριος ἐν τοῖς στηλιτευτικοῖς ὡς ἄμφω τεθνήκασιν ἀπὸ κοινοῦ Ὁμήρου καὶ Ἀριστοτέλης, ὁ μὲν γὰρ Ὅμηρος διὰ τὸ ἀρκαδικὸν τέθνηκεν ζήτημα, ὁ δὲ Ἀριστοτέλης διὰ τὸ τοῦ Εὐρίπου ἄπορημα.

ΛΟΓΟΣ ΞΘ. ΛΟΓΟΣ Ο.

. carm. III.

ΕΙΣ ΕΜΑΥΤΟΝ.

21. Καὶ πόρνει κραταίευσι λόγοι, τὸ δὲ φάσγανον, αἰ, αἰ
22. Τίς πήξει Φινεὲς πορνοφόνῳ παλάμῃ;
23. Ζηλήμων ψυχήν τε καὶ σῶμα.

Ἤδη μὲν περὶ τῶν μωαβιτῶν καὶ ἀμμανιτῶν ἐν τῷ δωδεκάτῳ εἴρηται ἡμῖν λόγῳ ἐν ᾧ τὴν κατὰ τὸν νεκρομάντην Βαλαὰμ καὶ τὴν τοῦ Βεὼρ Βαλὰκ παρηγάγομεν ἱστορίαν, μνήμην τοῦ Φινεὲς ποιησάμενοι ζήλου· νῦν δὲ πλατυτέρως περὶ τούτου εὐκαιρον ἐκθέσθαι· τὰς θυγατέρας οἱ μωαβῖται τοῖς υἱοῖς Ἰσραὴλ ἀνιοῦσιν ἐξ Αἰγύπτου κατὰ τὴν αὐτῶν γενομένοις χῶραν εἰς ἀπάτην προβάλλονται κεκαλλωπισμένας· ὁ δὲ λαὸς ἐξεχύθη καὶ ἐπόρνευεν μετ' αὐτῶν, καὶ ἐτελοῦντο τῷ Βεελφεγὼρ θεῷ αὐτῶν· γέγονεν οὖν θραῦσις ἐν τῷ λαῷ μεγάλη, καὶ τῆς ὀργῆς ἀναρθείσης ὁ λαὸς ἀοράτως πληττόμενος ἔπιπτεν· Φινεὲς οὖν υἱὸς Ἐλεάζαρ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως κατά τινα λόχον εἰσδύντας θεασάμενος ἰσραηλίτην, Ζαμβρὴ ἦν τοὔνομα, καὶ τὴν τοῦ ἄρχοντος Μαδιὰμ θυγατέρα, ζηλώσας τὸν σιρομάσην ἐλὼν ἀμφοτέρους ἐπαλλήλους ὄντας διέπειρεν κατὰ γαστρὸς τὸν σιρμάστην διαμπερὲς, ὃ δὴ λέγεται, διελάσας· οὕτω δὲ τὴν θραῦσιν κοπάσαι συμβέβηκεν, τοῦ Φινεὲς ἐξιλασαμένου, καθὼς ψάλλει Δαβίδ· καὶ ἔστη Φινεὲς καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· τοῦ θεοῦ τῷ ζήλῳ τοῦ Φινεὲς ἐξιλεώσασθαι μεμαρτυρηκότος· φησὶν οὖν ὁ θεῖος Γρηγόριος· αἰ, αἰ, θρηνητικῶς ἔτι δὴ πόρνει κρατοῦσι λόγοι τῶν τεμνόντων τὴν τριάδα Ἀρειανῶν καὶ σὺ-

δεις ἐστὶ Φινεὲς τὴν πορνείαν ἐξελεθρεῦσαι τῷ πορνοφόνῳ τῆς εὐσεβείας λόγῳ· καὶ γὰρ αὐτοῦ τῆς βασιλίδος ἐξελθόντος ὀφρὺν ἐπαίρετο δυσσεβής.

Ἢ τίς ἀρήξει

Δόγμασιν ἑβραίοις πλησσομένοις ἀδίκως 24.
Μωσῆς ἐκ δ' ὀλέσας αἰγύπτιον αὐτίκα μεῖθεν; 25.

Μωϋσέως χάριν ἡμῖν πλατέως ἐν τῷ β' εἴρηται λόγῳ· Μωϋσῆς δὲ τῶν ἰδίων ἀδελφῶν τῶν υἱῶν Ἰσραὴλ ὑπ' αἰγυπτίου τυπτόμενόν τινα θεασάμενος, ζηλώσας τὸν μὲν αἰγύπτιον ἐπάταξεν, πέρας αὐτῷ τῆς κακίστης αὐθωρὸν παρασχόμενος, καὶ τοῖς ἐφεξῆς ὑπ' αὐτοῦ τὸν ὅμοιον μέλλουσι καταπονεῖσθαι τρόπον, τὴν ἐκείνου ταχίστην ἀπαλλαγὴν λύτρωσιν εὑράμενος· ὁ μὲν οὖν θεοφάντωρ Γρηγόριος, ὡς φθάσαντες ἔφημεν, τῆς Κωνσταντινουπόλεως ἐκδημήσας, μαθὼν τοὺς τῆς ἀσεβείας ὑπασπιστὰς τονθορύζοντας αὖθις καὶ τῶν εὐσεβῶν κατορχουμένους δογμάτων, ἐκ παραγώγου φησὶν, τίς Φινεὲς τὸν πόρνον διολέσειε λόγον; τίς κατὰ Μωϋσέα τοῖς ἑβραίοις δόγμασι, τοὐτ' ἔστι τοῖς εὐσέβεσι καὶ γνησίοις βοηθήσει, τὸν αἰγύπτιον λόγον, τοὐτέστι τὸν σκοτινὸν καὶ συνεσκιασμένον καὶ πόῤῥω τυγχάνοντα τοῦ θείου φωτὸς ἐξαφανίσας; οὐ γὰρ Γρηγόριος ἐγώ φησι πάρειμι ὅς τις μόνος τοῦτο πράττειν, θεόθεν εἰληφὼς τὸ δύνασθαι κέκτημαι, οὐδέ τις φησὶ τοσαύτην δόξαν δύναται κτήσασθαι παρὰ τῷ μεγάλῳ λαῷ· τοσοῦτον ἡ τοῦ ἀνδρὸς δύναμις καὶ παῤῥησία, τῷ μὲν λόγῳ βροντῶσα, ταῖς δὲ πράξεσιν ἐξαστράπτουσα· οὐ γὰρ διὰ κενῆς αὐτῷ ταῦθ' εἴρηται· καὶ γὰρ ὁσημέραι κατὰ γενεὰν καὶ γενεὰν Μωϋσῆς μὲν ἐπὶ ζήλῳ καὶ Φινεὲς καὶ Ἠλίας μεγαλαυχοῦνται τῇ γραφῇ δακτυλοδεικτούμενοι, καὶ Γρηγόριος μόνος πάντων τῷ λόγῳ προ-

λάμπων δόξαν ἔχει μεγάλην παρὰ πάντας ἐν ἐκκλησίᾳ θεοῦ θαυμαζόμενος.

33. Μηδ' ὡς Εὐρίποιο πολυπλάγκτοιο ῥέεθρον
34. Τήνδε μετακλίνοι ἔνθα καὶ ἔνθα ῥέων.

Τίς φησὶ τὴν πίστιν ἀμετάτρεπτον φυλάξει, μηδαμῶς αὐτὸς κατὰ τὸν Εὔριπον πολυπλανητοῖς ῥεύμασι ταύτην μετατρέπων ὧδε κἀκεῖσε; ὁ γὰρ Εὔριπος τόπος ἐστὶ τῆς θαλάσσης μεταξὺ τῆς Εὐβοίας καὶ τῆς Ἀττικῆς *etc. ut p.* 199. τίς οὖν, φησὶν ὁ θεῖος Γρηγόριος, τὴν πίστιν δύναιτ' ἂν ἄτρεπτον κατασχεῖν, μὴ τῷ Εὐρίπῳ ἐξομοιούμενος;

(*)

Ed. carm. LX.

Καὶ γὰρ πρόσθ' ἐπέδησας Ἰὼβ μέγαν, ἀλλ' ἐδαμάσθης·
63. Ὥς μιν ἀεθλοθέτης ἐστεφάνωσε μέγας,
64. Καὶ θῆκεν περίβωτον ἑῷ κηρύγματι νίκην,
65. Πάντα δ' ἔδωκεν ἔχειν διπλᾶ τὰ οἱ κέδασας.

Ἰὼβ ἦν τίς δίκαιος ἀνὴρ πλούσιος, ὃν ὁ διάβολος εἰς πειρασμὸν ἐξαιτήσας, τὰ μὲν ὑπάρχοντα αὐτοῦ καὶ τοὺς υἱοὺς ἀπώλεσεν διὰ κενῆς, αὐτὸν δὲ νόσῳ περιέβαλε δεινοτάτῃ· τοῦ γε μὴν εὐχαρίστως φέροντος, ὁ μὲν διάβολος ἡττήθη· περιβόητον δὲ τὴν νίκην ὁ θεὸς ποιησάμενος διπλοῖς ἐτίμησεν ἅπασι τὸν οἰκεῖον θεράποντα.

69. Λάζαρος ἐν νεκύεσσιν ἐγὼ νέος, ἀλλὰ βόησον,
70. Ἔγρεο, καὶ ζήτω σοῖσι λόγοισι νέκυς.

Κεῖται περὶ τοῦ Λαζάρου ἐν τῷ α' λόγῳ.

71. Λυσιμελὴς νέος εἰμὶ ὀλέκτριος, ἀλλὰ βόησον,
72. Πήγνυσο, καὶ κλίνην βήσομαι ὕψι φέρων.

(*) Sequentia continuatim leguntur in codice.

Κεῖται ἐν τῷ ϛ΄ λόγῳ.

Σῶν κλέπτω θυσάνων παλάμαις ἄκος, ἀλλὰ ῥέεθρον 73.
Αἵματος ἴσχε τάχος σαρξὶ μαραινομέναις. 74.

Ὁμοίως ἐν τῷ α΄ λόγῳ κεῖται περὶ τῆς αἱμοῤῥοούσης.

Σοὶ δ' ὑποκάμπτομ' ἐγώ γε τεὸν λάχος ὡς Χαναναία 75.
Γυρὸν ἔχουσα δέμας, ἀλλ' ἀναειρέ μ' ἄναξ. 76.

Χαναναία τίς ἦν γυνὴ, ἧς ἡ θυγάτηρ κακῶς ἐδαιμονίζετο· ἣ προσελθοῦσα Χριϛῷ, καὶ σωτηρίαν αἰτοῦσα, τὴν δωρεὰν εἰσαναβάλλεται, μὴ δεῖν εἰπὼν, τοὺς παῖδας ἀφέντα, τὸν ἄρτον διδόναι τοῖς κυναρίοις· τῆς δὲ τοῖς ποσὶ προκυλινδουμένης Χριστοῦ, πειθανόν τε καὶ πίστεως γέμον, ὅτι δὴ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν ἀπολαύουσι καὶ κύνες εἰπούσης, μὴ τοσαύτην ἐν Ἰσραὴλ πίστιν ὅσην ἐν αὐτῇ μαρτυρήσας Ἰησοῦς εὑρηκέναι, τὴν χάριν κατανεύει, μὴ μόνον τῆς δαιμονικῆς λύμης τὸ θυγάτριον ἀπαλλάξας, ἀλλὰ καὶ αὐτὴν τοῖς δαίμοσι φοβερὰν καταστήσας.

Σοὶ δ' ὕπνος ἐπεὶ γλυκὺς· ἀλλὰ τάχιστα 77.
Ἔγρεο καὶ στήτω σοῖσι λόγοισι σάλος. 78.

Χριστὸς πλεόντων τῶν μαθητῶν ὑπνώσας ἐν τῷ πλοίῳ ἐκάθευδεν· πνεύματων δὲ βιαίων καὶ θαλαττίων κυμάτων τῇ σκάφῃ προσρηγνυμένων, οἱ μαθηταὶ περιστάντες Ἰησοῦν ἀφυπνίζουσιν, ὃς ἀναστὰς τοῖς ἀνέμοις ἐπετίμησεν καὶ τῇ θαλάσσῃ· ἦν δὲ παραυτίκα γαλήνη.

(*)

Οὐδὲ τρίχες ἰσχὺν ἔχουσ' ὀλίγην. Ed. carm. LIX. 36.

Τοὺς βαθεῖς ἕλκοντας πόγωνας καὶ τοὺς χιτῶνας σύ-

(*) Continuatim item sequentia in codice.

ροντας καὶ σχήματι ταπεινῷ ἐνθυμάτων διαῤῥυπτομένους, Γρηγόριος ὁ Θεῖος διασύρων φησὶν, εἰ πόγωνα κτήσαιο μέγαν, ὦ οὗτος, καὶ σελικίζεις καὶ λίαν ἰδιώτης ὑπάρχεις, ἀλλ' οὖν τοῖς ὁρῶσιν ἄγγελος εἶ· τοῦτο δὲ φησὶ πρὸς ἀρετὴν ἐπάρκιον ἔστω κτῆμα τῷ βουλομένῳ· καὶ τριχῶν δύναμις λέγεται μεγάλη ὡς ἡ τοῦ Σαμψών, ὃς λέων ὡσεὶ ἔριφον διεσπᾶτο, καὶ χιλιάδες ἦσαν ἁλώσιμοι τῆς αὐτοῦ χειρὸς τὴν ἰσχὺν οὐχ ὑφιστάμεναι, καὶ πύλαι πόλεως ἀνερριπίζοντο νωτοφερούμεναι, καὶ μοχλοὶ διεῤῥύπτοντο, καὶ περίβολοι καθείλκοντο βίαν χειρῶν οὐ τετληκότες, δεσμά τε καὶ χάλκιοι διελύοντο πάσσαλοι· καὶ τῷ μὲν ναζιραίῳ Σαμψὼν τοσαῦτα κόμη κεχάριστο· τῷ δὲ βουλομένῳ καὶ προστασίας λαοῦ καὶ δόξης τῆς παρὰ πολλῶν τετυχηκέναι, πόγων ἀρκέσει βαθὺς, ἐξωμὶς τὲ σύρουσα, καὶ χιτὼν τῆς ζώνης διαῤῥέων, ὠχρότης ὀλίγη παρειᾶς, καὶ πλάγιος αὐχὴν, καὶ κλεπτομένη φωνὴ, καὶ σκυλάκιον σαίνισμα, καὶ τοῖς παραδυναστεύουσι λόγος ὅτι μάλιστα θωπευτικὸς, καὶ τρόπος ὑφήμερος, καὶ βραχέα λογύδρια τῆς γραφῆς ἀποτμήματα· προσθήσομεν δὲ τέρψεως χάριν καὶ ὀλιγοστὰ τροπάρια λιγυρώτατα· τὸν γὰρ τοιούτοις θαύμασι προβεβλημένον τίς ταραστήσει λόγος; ὧν τὰ πάντα κεκενιαμένος τάφος καὶ πλήρης μυδαλέων νεκρῶν· τοῖς ἀβλέπτοις βιοτικοῖς ἀστερμοῦσος οὐρανὸς κατοπτεύεται, καὶ γε σχηματιζόμενος ἀφελότητα, τηνικαῦτα μέγιστος ἀναγορεύεται τῶν ἀσωμάτων ἀρχάγγελος.

ΛΟΓΟΣ Ο΄.

ΕΙΣ ΑΓΑΠΗΤΟΥΣ

Apud Muratorium epigramma CCV.

Τίς θήσει φλογίνην ῥομφαίαν ἐμῷ παραδείσῳ;
Τίς δώσει μεγάλης παρθενίης φύλακα;

Φλογίνην ῥομφαίαν ὁ Θεὸς ἔταξε στρεφομένην φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς, τοῦ τῆς τρυφῆς κτήματος τοῦ προπάτορος ἀπωσάμενος· καὶ τὴν μὲν ἱστορίαν ἐν τῷ β΄ λόγῳ κειμένην εὑρήσεις· τὴν δὲ παρθενίαν θείῳ παραδείσῳ ἀπεικασμένην φησὶν ὁ Θεῖος Γρηγόριος· τίς θήσει φυλακὴν τῷ ἐμῷ παραδείσῳ; τοῦτ' ἔστι τῇ θεοειδεῖ παρθενίᾳ, ὡς ἂν μή τις δραμὼν τὸν καρπὸν προώριον ἀποσυλήσει.

Murator. epigr. CCXI.

Ἄρσενα πάντ' ἀλέεινε, συνείσακτον δὲ μάλιζα,
Μερρᾶς πικρὸν ὕδωρ, παρθένε, πειθόμενος.

Τὸν συνείσακτον βίον τῷ πικρῷ τῆς Μερρᾶς ὕδατι Γρηγόριος ὁ Θεῖος παραβάλλει· Μερρᾶς δὲ πηγὴ πικρὸν τὸ ῥεῖθρον ἀνεδίδου. Κεῖται δὲ ἡ παροῦσα ἱστορία ἐν τῷ γ΄ λόγῳ.

ΛΟΓΟΣ ΟΖ. ΛΟΓΟΣ ΟΗ.

ΟΤΙ ΚΑΙ ΠΑΙΖΕΙΝ ΕΣΤΙ ΣΕΜΝΩΣ.

Murator. epigr. CCXVII.

Οἱ δ' Ἑλικῶνες
Ἐρρέτε, καὶ θάφναι, καὶ τριπόδων μανίαι.

Τὸ μὲν πρόχειρον τῆς ἐννοίας τοὺς Ἑλικῶνας νοεῖν ὑποτίθεται, τοὺς στρογγυλιστάς· καὶ γὰρ ἐν τῷ γελᾶν ἀτάκτως καμαροῦνταί τινες, καὶ ἐν τῷ παίζειν ἀσέμνως ἐξάλ-

λονται, καὶ ὀρχούμενοι γυρίζονται· καὶ Ἑλικὴ δὲ πόλις ἐστὶ τῆς Βοιωτίας ἐν ᾗ πολλὴ τίς ἀσεμνότης ὑπῆρχεν· δάφνας δὲ φησὶν ὡς ἀπὸ τῆς ἐρασθείσης κόρης ὑπὸ τοῦ Ἀπόλλωνος, τὴν ἀπὸ τοῦ γέλωτος τοῦ ἀσέμνου σημαίνων εἶμαι διάχυσιν, καὶ τὸν ἔκτοπον εἶσρον· τριπόδων δὲ μανίας πάντως τὸ κατὰ τὸν τρίποδα ἐξάλλεσθαι· καὶ γὰρ ἐν τῷ τρίποδι τὰς μαντικὰς ἐξάλλεσθαι ψήφους ὁ λόγος ἔχει.

ΛΟΓΟΣ ΟΘ.

Murator. epigr. CXCVI.

ΕΙΣ ΦΙΛΑΓΡΙΟΝ ΚΑΙ ΠΡΟΣ ΥΠΟΜΟΝΗΝ.

Ἔστιν Ἐπικτήτοιο μέγα κλέος ἐν προτέροισιν,
Ἔστιν Ἀναξάρχου· ὧν ὁ μὲν ἀγνύμενος
Τὸ σκέλος οὐκ ἀλέγιζεν, ὁ δ' ὅλμου χείρας ἐχόντος
Κοπτόμενός γ' ἐβόα πτίσσετε τὸν Θύλακον.

Ἐπίκτητος φιλόσοφος ἦν· οὗτος ἐδέθη τὸ σκέλος ὑπὸ τοῦ τυράννου Λακεδαίμονος καὶ διερρήγνυτο τὸ σκέλος· ὕστερον δὲ ἠβουλήθη ὁ τύραννος λύσαι αὐτόν· ἤρετο οὖν αὐτὸν οὕτως· θέλεις ὦ Ἐπίκτητε λύσω σε; ὁ δὲ ἀπεκρίνατο· τί γὰρ δέδεμαι; ὡς τῆς ψυχῆς αὐτοῦ δῆθεν μὴ δεδεμένης· διὸ λέγεται μὴ τὸ σῶμα ὁ ἄνθρωπος ὑπάρχειν, ἀλλὰ ἡ ψυχή. Ὁμοίως Ἀνάξαρχος φιλόσοφος ἦν· οὗτος συσχεθεὶς ὑπὸ Ἀρχελάου τοῦ τυράννου, καὶ βληθεὶς ἐν ὅλμῳ, ἐπτίσσετο μοχλῷ ξυλίνῳ· πτίσσεσθαι δὲ ἐστὶ, τὸ θίκην πτισάνης τύπτεσθαι· ἔνθεν καὶ πτισάνη εἴρηται παρὰ τὸ τύπτεσθαι· πτισσόμενος δὲ τοῦτο ἔφη· πτίσσε τὸν Ἀναξάρχου Θύλακον, οὐ γὰρ πτίσσεις Ἀνάξαρχον, αἰνιττόμενος, ὅτι φιλόσοφος δῆθεν, τοῦ σώματος μηδένα λόγον ποιεῖσθαι· ὁ τοίνυν θεῖος Γρηγόριος τῷ Φιλαγρίῳ κάμνοντι δεινῶς ἐπὶ

χρένον πολὺν τὸ σῶμα, καὶ μηδὲν τούτου φροντίζοντι, χάριν τὰς παρούσας παρήγαγεν ἱστορίας, δεικνὺς τοῦ Φιλαγρίου τὸ τῆς ψυχῆς εὐγενὲς, ὃς κάμνων καὶ νόσῳ τρυχόμενος, καὶ τὸ σῶμα ἀχρειωθεὶς, ὅμως κατὰ ψυχὴν ἀνδρεῖος ἦν καὶ ἐῤῥωμένος.

ΛΟΓΟΣ Π. ΛΟΓΟΣ ΠΑ. ΛΟΓΟΣ ΠΒ.

Murator. epigr. CCXXV.

ΕΙΣ ΓΙΓΑΝΤΙΟΝ ΟΙΚΟΔΟΜΟΝ.

Ἄλλος μὲν Βαβυλῶνος ἐπίδρομον ἅρμασι τεῖχος,
Ἄλλος δ' Αἰγύπτου δείματο πυραμίδας.
Καὶ πόντον πεζὸς τίς ἐπήλασε, καὶ διὰ γαίης
Νῆας ἐϋσσέλμους ἤγαγε θρηϊκίης.

Μέμνηται τούτων ὁ θεῖος Γρηγόριος ἐν τῷ εἰς Βασίλειον τὸν θεῖον ἐπιταφίῳ φάσκων ἐπὶ λέξεως οὕτως· τί μοι πρὸς τὸ ἔργον τοῦτο ἑπτάπυλαι Θῆβαι, καὶ αἰγυπτίαι πυραμίδες, καὶ Μαυσώλου καρικὸς τάφος, καὶ Κολοσσοῦ χαλκὸς ἄμετρος, καὶ ναῶν μεγέθη καὶ κάλλη τὰ μηδὲν ὄντα; περὶ μὲν οὖν τοῦ Μαυσώλου τάφου καὶ τῶν ναῶν εἰρησέται προϊόντος τοῦ λόγου· καὶ γὰρ ἐπὶ λέξεως μέμνηται τούτων τοῖς ἐφεξῆς κατὰ τυμβορύχων· περὶ δὲ τῶν ἑπταπύλων καὶ Θηβῶν καὶ πυραμίδων, καὶ τείχεων, λεκτέον ἡμῖν· ἑπτάπυλοί εἰσιν αἱ τῆς Ἑλλάδος αἱ ὑπὸ Ἀμφίονος καὶ Ζήθου κτισθεῖσαι διὰ κιθάρας· αἱ δὲ αἰγυπτίαι Θῆβαι εἰσὶν ἑκατοντάπυλοι· μεγίστη δὲ πάλαι γέγονε, καὶ οὕτως μεγίστη ὥςε ἑκατὸν ἔχειν τὰς πύλας. Τὰ δὲ βαβυλώνια τείχη λέγεται εἶναι ἰσχυρώτατα· ἀπὸ γὰρ πλίνθου ὀπτῆς καὶ ἀσφάλτου λυομένης ἐκτίσθησαν· καὶ τὸ πλάτος ἔχοντα πολὺ τοσοῦτον ὡς δύνασθαι ἐπ' αὐτοῦ τρέχειν καὶ ἅρματα δι' ὀχη-

μάτων· καὶ τὸ μῆκος δὲ πολὺ καὶ τὴν περιφέρειαν ἔχουσι πολλήν. Αἱ δὲ πυραμίδες καὶ αὗται θεάματος εἰσὶν ἄξιαι ἐν τῇ Αἰγύπτῳ ἐκτισμέναι, ἅς τινας πυραμίδας οἱ μὲν χριστιανοὶ λέγομεν εἶναι τὰ ὁρεῖα τοῦ Ἰωσὴφ ἔνθα τὸν σῖτον ἀπέθετο τῶν ἑπτὰ ἐτῶν τῆς εὐθηνίας· οἶκοι γὰρ εἰσὶν ὑπερμεγέθεις, περιβόλοις ἀξιαγάστοις πεποικωμένοι· Ἕλληνες δὲ τάφους τῶν βασιλέων εἶναι φασὶν, ὧν ἐστὶν καὶ Ἡρόδοτος. Ὁ δὲ Κολοσσὸς ἔστιν ὁ ἐν Ῥόδῳ ἀνακείμενος τότε ἀνδριὰς χαλκοῦς λίαν θαυμαστὸς ὑπερμέγεθες, ὡς τινὲς φασὶν ὀγδοήκοντα πηχέων ἔχων τὸ ὕψος, ιβ' δὲ τὸ πλάτος· τοῦτον δὲ καθεῖλον Ἀγαρηνοὶ τὸν ἀνδριάντα λιθίζόμενοι τὴν Ῥωμανίαν, κατὰ τοὺς χρόνους Κωνσταντίνου τοῦ ἐν Συρακούσαις τῆς Σικελίας ἀναιρεθέντος. Πεζὸς μὲν τὴν θάλασσαν οὐδείς πως λέγεται σὺν ἀληθείᾳ διελάσαι, πλὴν Μωϋσέως καὶ τῶν υἱῶν Ἰσραὴλ, καὶ ταῦτα τμηθείσης εἰς δύο· Χριστὸς δὲ, καὶ Χριστοῦ θελήσαντος Πέτρος, ἦλθον διὰ κυμάτων περιπατοῦντες. Τὸ δὲ διὰ ξηρᾶς ναῦς ἀγαγεῖν τῆς Θράκης, πολλοὶ μὲν πρότερον πεποιήκασιν, ἀλλὰ καὶ Κωνσταντῖνος πεποίηκεν ὁ νέος διὰ ξηρᾶς ἐλάσας τὰς ναῦς· ἔστιν γὰρ περὶ τὴν Θράκην τόπος ἐξ μιλίων διάστημα ξηρᾶς ἔχων, καὶ τῶν θαλασσῶν μεταξὺ διϊστῶν· ὅθεν εὐεπίβατος ἡ Θράκη τοῖς Γόθθοις· Γοθθία δὲ τοῖς θραξὶ [ὅμορος·] καὶ Γόθθαι μὲν ἐπιόντες τὰς οἰκείας ναῦς, αὗται δὲ μονόξυλοι, διαπερῶσι πρὸς θράκας, θράκες δὲ πολλάκις ἐντεῦθεν ἐπὶ Γοτθίαν διὰ ξηρᾶς τὰς οἰκείας καθέλκουσι ναῦς· κύκλος ἐστὶ πολὺς τῆς διὰ τῆς στενῆς θαλάσσης εἴτε ἀνιοῦσιν ἢ κατιοῦσιν μέχρις αὐτόσε· θάλασσα δὲ σενὴ ἔσιν ἡ διὰ τῆς Ἀβύδου, πόλεως δὲ τῆς τρωάδος αὕτη, ἐπὶ τὴν Κωνσταντινουπόλιν φέρουσα, κἀκεῖθεν

ἐπὶ τὴν πεντικὴν παραπέμπουσα θάλασσαν μιλίων ἔχουσα διάστημα μικρῷ πρὸς τριακοσίων· οὕτω μὲν οὖν, φησὶν ὁ θεῖος Γρηγόριος, τοσαῦτα Γιγάντιος δὴ λιθοξόος ὑπάρχων ὄρη τινάξας κῆπον μοι κατεσκεύασεν ἐκτὸς ὑδάτων ἀρδευόμενον, λέγει δὲ τὸ τῆς ἀρετῆς εὔτροπον ὑπόδειγμα.

ΛΟΓΟΣ ΗΓ.

ΕΙΣ ΠΡΟΑΙΡΕΣΙΟΝ ΣΟΦΙΣΤΗΝ.]

Apud Murator. epigr. I.

Βροντὴν Ἀτθὶς ἔνεικε νεόκτυπον.

Οἱ τῶν ἑλλήνων σοφοὶ τὴν βροντὴν εἶναι φασὶν ἀπὸ τῶν κυκλώπων· λέγονται δὲ γενέσθαι οἱ κύκλωπες ἐν τῇ Σικελίᾳ νήσῳ περὶ τὰ ὀρινὰ ταύτης, ποιμενικὸν βίον ἐπιτηδεύοντες βιαιότερον· λέγονται δὲ οὗτοι ἀνθρωποφάγοι τινὲς· τούτων δὲ τρεῖς εἶναι φασὶν τοὺς ἐξοχωτάτους, τὸν Βρόντην, τὸν Ἀστερόπην, τὸν Ἄργην· οὗτοι δὲ φασὶ χαλκεῖς ὄντες τὴν τέχνην, διὰ τῆς οἰκείας τέχνης τὴν βροντὴν κατεσκεύασαν τῷ Διὶ καὶ τὴν ἀςραπὴν· κύκλωπες δὲ ἐλέγοντο, ὡς μὲν Ἡσίοδος, ὅτι ἕνα μόνον εἶχον κυκλοτερῆ ὀφθαλμὸν· ὢψ γὰρ ἐστὶν ὁ ὀφθαλμὸς, διὸ καὶ κύκλωψ, τοῦτ' ἔστι κυκλοτερῆ τὸν ὀφθαλμὸν ἔχων· Παλαίφατος δὲ κύκλωπας αὐτοὺς καλεῖ, ὅτι κυκλοτερῆ τινὰ νῆσον ᾤκουν· οὗτοι μὲν οὖν καὶ τοὺς Ὀδυσσέως κατεδίωξαν ἑταίρους· γενόμενος δὲ κατ' ἐκεῖνον τὸν χῶρον Ὀδυσσεὺς ἐν τῇ πλάνῃ, κύκλωπι περιτυχὼν, εἴργεται σὺν τοῖς ἑταίροις εἰς ἄντρον· ἐν ᾧ τὴν μὲν νύκτα ὁ κύκλωψ σὺν τοῖς προβάτοις ηὐλίζετο, τὴν ἡμέραν δὲ λίθῳ μεγίστῳ φράττων τὰ πρόβατα ἔβοσκεν· τῶν οὖν ἅμα τῷ Ὀδυσσεῖ καθειργμένων, καθημέραν ἤσθιεν ἕνα, τὸν Ὀδυσσέα καταλιπὼν ἔσχατον, ἅτε δὴ χαριῆ καὶ προσηνέστερον·

αὐτὸς μὲν οὖν βακτηρίαν ὁ κύκλωψ προσφάτως αὐτῷ τοῦ δρυμοῦ τμηθεῖσαν ἐν τῷ σπηλαίῳ ἀποθέμενος, ἧς τὸ μεγέθος ὡς ἰσὸς νηὸς, ᾤχετο· καὶ δὴ ταύτην Ὀδυσσεὺς ὀξύνας τὸν κύκλωπα ἀπετύφλωσεν· τοιῶσδε κύκλωψ Ὀδυσσέως ἤρετο τοὔνομα, Ὀδυσσεὺς δὲ, Οὖτις λέγεται, ἀπεκρίνατο· μέλλοντος δὲ τοῦ κύκλωπος τὸν Ὀδυσσέα φαγεῖν, λαβὼν οἶνον Ὀδυσσεὺς προσφέρει τῷ κύκλωπι ἐπειπών, κύκλωψ λάβε καὶ πίε οἶνον· κύκλωψ οὖν δεξάμενος παρ' ἔθος πιὼν ἐμεθύσθη· τῷ δὲ καθεύδοντι βαθὺ τὸ ξύλον ἐπιβαλὼν ἀπετύφλωσεν ὁ Ὀδυσσεὺς· κύκλωψ οὖν ἀνανήψας καὶ μὴ βλέπων, ἀνὰ τὸ ἄντρον ταῖς χερσὶ τὸν Ὀδυσσέα ζητῶν οὐκ εἶλεν, ἀμφὶ τὰ μῆλα τούτου κρυπτομένου· ὡς δὲ κύκλωψ πρὸς τῇ θύρᾳ τοῦ σπηλαίου τὸν λίθον ἀπωσάμενος, καθ' ἓν ταῖς χερσὶν ἐξιοῦσι τοῖς προβάτοις ἐπιτιθεὶς τὰς χεῖρας ἐπιμελῶς ἠρεύνᾶτω· κριοῦ δὲ μεγίστου τῆς ἀγέλης προηγουμένου τοῖς ἐρίοις Ὀδυσσεὺς ὑπὸ τὴν κοιλίαν προσθήσας ἑαυτὸν, οὕτω λαθὼν ἔξεισι τοῦ σπηλαίου· πολλὰ τοῦ κύκλωπος ὕστερον καταγελάσας· κύκλωψ δὲ τῇ σκάφῃ τὸν Ὀδυσσέα γνοὺς ἐπιβάντα, πέτρας ἀποκινήσας ἐπ' αὐτὸν ἀφῆκεν, καὶ τὴν θάλασσαν διαναστήσας τῇ τῶν λίθων ὁρμῇ, σάλον αὐτοῖς ἐξετάραξεν· Ὀδυσσεὺς οὖν χάριν τῷ κύπλωπι καταθέμενος ὡς εἰ σφενδόνων ἐπιμείνει, θᾶττον εἰς Ἰθάκην ἐπειγόμενος ἐκπέμψειεν, τοῦ βάλλειν ὁ κύκλωψ ἐπαύσατο, μᾶλλον εὐεργετεῖν ἢ ἀμύνασθαι τὸν ἐχθρὸν ὑποτοπάσας· φωνήσας δὲ φοβερὸν μετ' οἰμωγῆς, ἅπαντας θᾶττον τοὺς κύκλωπας συνειλεγμένους καὶ τίς πυνθανομένους ἡ συμφορὰ καὶ πόθεν, Οὖτις με φονεύει ὁ κύκλωψ ἀπεκρίνατο· εἰ οὖν οὖτις ὁ φονεὺς ἐστὶν, θεόθεν εἶναι τούτῳ τὴν ὀργὴν οἱ κύκλωπες ἐπειπόντες ᾤχοντο· φησὶν οὖν ὁ θεῖος Γρηγόριος ὅτι νεόκτυπον

βρεντὴν ἤγαγεν Ἀτδὶς, εἴτε τὴν μοῦσαν τὴν ξένης γλώττης Ἀτδίδος, καὶ τὸ αὐτῆς σημαίνων πρὸς τὴν κολλίπειαν καὶ τέχνην ἐναρμόνιον· εἶτε τοὺς λόγους τοῦ εἰκαίου σοφιστοῦ Πρσαιρεσίου νεύκτυπεν ὡς βρεντὴν κατὰ τὴν Ἑλλάδα φερομένους, καὶ νέον τι βρεντῶντας ἀποσκιπτήσας ταῦτα φησί.

ΛΟΓΟΣ ΠΔ. ΛΟΓΟΣ ΠΕ.

ΕΙΣ ΜΑΡΤΙΝΙΑΝΟΝ.

Apud Murator. carm. III.

Εἴ τις Τάνταλός ἐσιν ἐν ὕδασιν αὖος ἀπίσεις,
Εἴ τις ὑπὲρ κεφαλῆς πέτρος ἀεὶ φοβέων.

Τάνταλος υἱὸς ἦν τοῦ Διός· οὗτος, ὡς Ἕλληνες φασὶν, ἠξιώθη τῆς τραπέζης τῶν θεῶν, καὶ ἀξιωθεὶς ἐθημοσίευσεν τὰ μυστήρια αὐτῶν, καὶ κολάζεται κόλασιν διὰ τοῦτο τοιάνδε· ἐν τοῖς ὑπὸ γῆν δικαιστηρίοις ἐστὶν ἔχων πέτραν ἐπάνω αὐτοῦ, καὶ κάτω ὕδωρ πολὺ καὶ βλαστήματα καρποφόρα, καὶ ἥρται ὁ λίθος κατ' αὐτοῦ· ἐὰν οὖν θέλει πιεῖν ἐκ τοῦ παρακειμένου ὕδατος πίπτει ἡ πέτρα ἐπάνω αὐτοῦ, καὶ τιμωρεῖται· οὕτως οὖν λιμῷ καὶ δίψει τήκεται, ὁρῶν μὲν ἀφ' ὧν ἔδει φαγεῖν καὶ πιεῖν, μὴ δυνάμενος δὲ διὰ τὴν ἐπηρτημένην αὐτῷ πέτραν· μέμνηται δὲ τούτων καὶ ἀλλαχοῦ Γρηγόριος ὁ θεῖος λέγων, ἢ τὸ τοῦ μύθου πείσεσθαι ἀνυδρίᾳ ξηραίνεσθαι ἐν μέσῳ τοῦ ὕδατος.

Δαπτόμενον τ' ὄρνισιν ἀγήρων ἧπαρ ἀλιτροῦ.

Μέμνηται τούτου καὶ ἀλλαχοῦ κείρεσθαι λέγων τὸ ἧπαρ ὑπὸ τῶν ὀρνίθων· ἔστι δὲ ἡ κατὰ τὸν Προμηθέα ἱστορία. Προμηθεὺς οὗτος λέγεται κλέψαι τὸ πῦρ παρὰ τῶν θεῶν, καὶ ἐνεγκεῖν εἰς ἀνθρώπους, καὶ ὅτι περὶ τὰ κρέα

τῆς θυσίας ἀπατήσας τὸν Δία, εἰς ἐργὰς ἐκίνησεν διττάς· Ζεὺς οὖν βουλόμενος αὐτὸν τιμωρήσασθαι, ἐπέτηδεν ἀετὸν κατεσθίειν αὐτοῦ τὸ ἧπαρ, καὶ τὴν μὲν ἡμέραν κατήσθιε τὸ ἧπαρ, τὴν δὲ νύκτα πάλιν ἀνεπληροῦτο, καὶ πάλιν ἤρχετο ὁ ἀετὸς καὶ ἤσθιεν αὐτό, ἕως οὗ ὁ Ἡρακλῆς ἐλθὼν ἐτόξευσεν τοῦτο τὸ ὄρνεον· ἀγήρων δὲ φησὶ κατεσθίεσθαι δι' ἣν ἔφαμεν τρόπον, ὅτι κατὰ πᾶσαν νύκτα πληρούμενον, καθ' ἑκάστην ἡμέραν τοῦ Προμηθέως τὸ ἧπαρ ἤσθιετο· τούτων τεσσάρων ἱστοριῶν ὑφ' ἓν μέμνηται Γρηγόριος ὁ θεῖος ἐν τῷ δευτέρῳ τῶν συλλογικῶν αὐτοῦ λόγων· φημὶ δὴ τῆς κατὰ τὸν Τάνταλον, ἐν οἷς αὐτὸν καὶ ἐπιγενείοις τοῖς ὕδασιν οὖσιν ξηραίνεσθαι φησὶν, ὅτι τῆς γενειάδος μὲν ἅπτεται τοῦ ὕδατος, δίψει δὲ φλεγόμενος πιεῖν οὐ δύναται διὰ τὸν τῆς ἐπηρτημένης πέτρας φόβον· ὡσαύτως τῆς Ἰξίονος περιφορᾶς, περὶ ἧς ἡμῖν εἴρηται ἐν τῷ περὶ ψυχῆς λόγῳ, ὅτι τῆς Ἥρας ὁ Ἰξίων ἐρασθεὶς, τροχῷ δεσμεῖται ὑπὸ Διὸς διηνεκῶς ῥαιζούμενος, καὶ τοῦτον κολαζόμενος τὸν τρόπον· εἶτα δὲ καὶ περὶ Προμηθέως, ὅτι τὸ πῦρ κλέψας καὶ τὸν Δία περὶ τὰ κρέα τῆς θυσίας ἀπατήσας, διηνεκῶς τὸ ἧπαρ ὑπ' ἀετοῦ κατεσθίεται.

Καὶ πυρόεις ποταμὸς καὶ ζόφος ἀθάνατος,
Τάρταρέοι τε μυχοὶ καὶ δαίμονες ἀγριόθυμοι.

Κεῖται περὶ Φλεγέθοντος καὶ ζόφου καὶ Ταρτάρου καὶ Κωκύτου καὶ Ἀχερουσίας ἐν τῷ ιδ' λόγῳ. Πλάτων γὰρ ὁ φιλόσοφος ἐν τῷ Φαιδῶνι περὶ τούτων διεξῆλθεν.

Ἄλλαι τε φθιμένων τίσιες εἰν ἀΐδῃ.

Τῆς Λητοῦς ἐρασθῆναι λέγεται Τιτυὸς, καὶ ἐρασθεὶς αὐτῆς ἐκράτησεν αὐτὴν ἀπὸ τοῦ κρηδέμνου· Ἄρτεμις δὲ καὶ Ἀπόλλων παῖδες ὄντες τῆς Λητοῦς κατετόξευσαν αὐτὸν καὶ

ἀνεῖλεν· καὶ νῦν φησὶν ἐν τῷ ᾅδῃ ἔχει τὰ βέλη ἐμπεπαρμένα καὶ κολάζεται· καὶ τοῦτο ἐστὶν ὃ φησὶν ὁ θεῖος Γρηγόριος, ἄλλαι τὲ φθιμένων τίσιες εἰν ἀΐδῃ.

(*)

Apud Murator. epigr. IX.

Ὡς φοβεραὶ ψυχῶν μάστιγες οὐχ' ὁσίων·
Οὗτος ἐμοῖσι λίθοισι φέρει στονοέντα σίδηρον,
Οὗτος ἐμοὶ, φεῦ φεῦ, ποῦ δὲ λίθος Σισύφου;

Πανοῦργος ὁ Σίσυφος καὶ πολλὰ εἰς τὸν Δία ἁμαρτὼν, ὡς ὁ μῦθος, τῷ μὲν Αἰσώπῳ ποταμῷ τὴν ἥνπερ αὐτοῦ Ζεὺς ἥρπασε θυγατέρα δείξας, χρόνοις ε' δεσμεύει τὸν θάνατον· μηδενὸς δὲ τοσοῦτον ἐπὶ χρόνον τελευτῶντος, λυθεὶς ὁ θάνατος αὐτὸν ἀφαιρεῖται· γενόμενος ἐν τοῖς ᾅδου δὲ ταύτην ἔσχε τὴν τιμωρίαν· λίθον αὐτὸν μέγαν ἀνακυλίειν ὁ Ζεὺς προσέταξεν ἐπί τι γεώλοφον· ὁ δὲ λίθος ἐπ' ἄκρῳ γενόμενος τῷ βουνῷ, αὖθις κατεκυλινδύετο, ἕως οὗ τὸ πεδίον κατελάμβανεν· ὁ δὲ Σίσυφος τοῦτον πάλιν ἀνάγων, μόχθῳ πολλῷ διηνεκῆ τιμωρίαν ὑπέμεινεν.

ΛΟΓΟΣ ΠΖ. ΛΟΓΟΣ ΠΗ.

Apud Murator. epigr. XXVII.

ΕΙΣ ΕΥΦΗΜΙΟΝ.

Αἱ χάριτες μούσῃσι· τί ῥέξομεν; οὔκετ' ἄγαλμα
Χειρῶν ἡμετέρων Εὐφήμιος ἐν μερόπεσσι;
Χ' αἱ μοῦσαι χαριτέσσιν· ἐπεὶ φθόνος ἐςὶν ἀλιτρός.

Χάριτες εἰσὶ τρεῖς, Πασιθέα, ἡ Πειθὼ, καὶ Εἰρήνη (1) Μοῦσαι δὲ ἐκ Διὸς καὶ Μνημοσύνης ἐννέα, Κλειὼ, Εὐτέρπη, Θάλεια, Μελπομένη, Τερψιχόρη, Ἐρατὼ, Πο-

(1) Cod. Πασιθέα, exin lacuna, in qua recentior manus scripsit ἡ Πειθὼ καὶ Εἰρήνη.

λυμνία, Οὐρανίη, Καλλιόπη, ἥτις καὶ προέχει πασῶν· ταύτης υἱὸν φημίζουσιν Ὄμηρον τὸν ποιητὴν ἑλλήνων, ὃς τῶν ἄλλων παρ' αὐτοῖς ἐστὶν ἐπίσημος· ταύτας δὲ πάντας μουσικοῦ τυγχάνειν ἐφόρους φασὶ· ταύτῃ καὶ μουσικὴν ἅπαν, τὸ τερπνὸν νομιζόμενον· καὶ μουσόπνευστος ὁ περί τι τῶν τοιούτων δεξιὸς· μουσότευκτος δὲ ἄγαν ὁ εὔμορφος.

Apud Murator. epigr. XXVIII.

(*)

Κάλλιμος ἠΐθεων Εὐφημιάς, ὥς σε θανὼν περ
Καλλίμορος ἐν χώρις χῶρος ἔδ' ἠλύσιος.

Μέμνηται τῶν ἠλυσίων πεδίων ὁ θεῖος Γρηγόριος ἐν τῷ εἰς Βασίλειον τὸν θεῖον λόγῳ φάσκων ἐπὶ λέξεως ὧδε· οὐδὲν ὁ Μίνως ἐκεῖνος καὶ ὁ Ῥαδάμανθυς, οὓς ἀσφοδέλων λειμώνων καὶ ἠλυσίων πεδίων ἐτίμησαν Ἕλληνες. Πλάτων μὲν οὖν ὁ φιλόσοφος, ἐν τῷ Φαιδῶνι περὶ Ταρτάρου καὶ Πυριφλεγέθοντος Κωκυτοῦ τε καὶ Ἀχερουσίας εἰπών, καὶ ὅτι τοὺς κακοὺς ἐκεῖσε δεῖ κολάζεσθαι, φησὶ καὶ περὶ τῶν ἀσφοδέλων λειμώνων, καὶ ἠλυσίων πεδίων, ὅτι δὴ τοὺς ἀρετῇ βεβιωκότας τοιοῦτος ὑποδέξεται χῶρος· τὸ μὲν οὖν ἠλύσιον ἔστιν ὄνομα τοῦ τόπου, οἱονεὶ ἀλύσιον καὶ ἀπολύσιον· τὸ δὲ τοῦ ἀσφοδέλου καὶ τοῦτο φυτοῦ τινός ἐστιν ἔνερα ὀσμὴν ἔχοντος οὐ φαύλην καὶ τὸ ἄνθος ἐπιτερπές· Ἕλληνες οὖν φασίν, ὅτι ὁ Μίνως καὶ ὁ Ῥαδαμάνθυς εἰς τοῦτον μετετέθησαν τὸν χῶρον, ὡς εὐσεβεῖς· λέγονται γὰρ οὗτοι Διὸς υἱοί, ὧν ὁ μὲν Μίνως νομοθέτης ἦν, παρὰ τοῦ πατρὸς δεξάμενος τὴν νομοθετικήν· ὁ δὲ Ῥαδαμάνθυς δίκαιος δικαστής, ὡς παρὰ τοῦ πατρὸς τὴν δικαιοσύνην μαθών· διὸ τοιούτοις αὐτοὺς μετὰ θάνατον τιμῶσι χώρις· Γρηγόριος δὲ ὁ θεῖος Βασίλειον τὸν μέγαν, ταῖς ἔντως ἀρεταῖς ἀπασράψαντα βουλόμενος ὑπερεξάραι καὶ ἐκ τῶν ἔξωθεν, οὐδὲν,

φησὶ, πρὸς τοῦτον ὁ Μίνως ἐκεῖνος καὶ ὁ Ῥαδαμάνθυς, οὓς τοσοῦτον ἐθαύμασαν ἕλληνες ἐπ' εὐσεβείᾳ, ὡς καὶ τοιοῦτον αὐτοῖς μυθολογῆσαι χῶρον, φημὶ δὴ τὸν ἠλύσιον καὶ ἀσφόδελον λειμῶνα· καὶ μέν τοι Εὐφήμιον νέον ἔντα καὶ πολλαῖς ἀρεταῖς διαπρέψαντα κάλλιστον ἐν χώροις φησὶν ὁ θεῖος Γρηγόριος· ὁ δὲ χῶρος ἠλύσιος τοῦτ' ἔστι τερπνὸς τε ὁμοῦ καὶ τῶν πώποτε θαυμαζομένων οὐ δεύτερος.

ΛΟΓΟΙ ΠΘ. ϟ. ϟΑ. ϟΒ. ϟΓ. ϟΔ. ϟΕ. ϟϛ. ϟΖ. ϟΗ.

ΕΙΣ ΚΑΙΣΑΡΙΟΝ ΤΟΝ ΑΔΕΛΦΟΝ.

Apud Murator. epigr. LXIV

Εἴ τινα δένδρον ἔθηκε γόος καὶ εἴ τινα πέτρην,
Εἴ τις καὶ πηγὴ ῥεῦσεν ὀδυρομένη,
Πέτραι καὶ ποταμοὶ καὶ δένδρεα λυπρὰ πέλοισθε
Πάντες Καισαρίῳ γείτονες ἠδὲ φίλοι.

Δένδρα μὲν ἔθηκεν ὁ θρῆνος τὰς τοῦ Φαέθοντος ἀδελφὰς, ὃς υἱὸς ὢν τοῦ ἡλίου, ὡς ὁ μῦθος, θνητὸς, νήπιος ὢν ᾔτει τὸν πατέρα τὸ πύρινον ἡνιοχῆσαι ἅρμα, καὶ λάμψαι τοῖς ἀνθρώποις· οὐκ ἰσχύσας δὲ οὐδὲ τὴν κατὰ τάξιν εὑρηκὼς ἐξανύσαι πορείαν, ὡς ἔνιοι, κεραυνωθεὶς ὑπὸ τοῦ Διὸς ἐῤῥίφη, ὡς δὲ ἕτεροι, ὑπὸ τῆς ἀμέτρου φλογὸς τοῦ πυρίνου ἅρματος κατεκάη· τούτον αἱ ἀδελφαὶ ἐπένθουν οἰκτρῶς· ἃς ἐλεήσας ὁ Ζεὺς εἰς αἰγείρους μετέβαλεν· αὗται λέγονται καὶ μετὰ τὸ ἀποδενδρωθῆναι δακρύειν ἤλεκτρον ἐν τῷ Πακτώλῳ * ποταμῷ. Ἡ δὲ Νιόβη ἓξ υἱοὺς καὶ ἓξ θυγατέρας ἐσχηκυῖα κατεκαυχᾶτο τῆς Λητοῦς ὡς αὕτη μὲν δύο τέτοκεν τῷ Διὶ, αὐτὴ δὲ δώδεκα· ἀνθ' ὧν οἱ τῆς Λητοῦς ὀξυνθέντες Ἀπόλλων καὶ Ἄρτεμις ἀπέκτειναν τοὺς ἐξ

* ita cod.

αὐτῆς· ἡ δὲ τῷ πένθει κατείχετο· ταύτην ὁ Ζεὺς οἰκτείρας, ἐκείνους μὲν ἔθαψεν, αὐτὴν δὲ εἰς λίθον μετέβαλεν, ἀφ' ἧς τῶν ὀφθαλμῶν πηγὰς δακρύων ἐκρέειν φασὶν καὶ μέχρι τοῦ νῦν.

ΛΟΓΟΣ ϕΘ. ΛΟΓΟΣ P.

ΕΙΣ ΤΟΝ ΠΑΤΕΡΑ.

Apud Murator. epigr. LXXIII. XXVIII. LXXXI.

Μέμνηται Μωϋσέως καὶ τῆς Βηθλεὲμ καὶ τῆς Χριστοῦ μεταμορφώσεως. Κεῖνται δὲ ἱστορίαι ἐν τοῖς ἤδη προλεχθεῖσιν.

ΛΟΓΟΣ ΡΑ.

ΕΙΣ ΤΗΝ ΜΗΤΕΡΑ.

Apud Murator. epigr. XXXIV.

Σάῤῥα σοφὴ τίουσα φίλον πόσιν.

Σάῤῥα μεμαρτύρηται τὸν Ἀβραὰμ τετιμηκέναι, καθὼς Πέτρος φησὶν ὁ ἀπόστολος, ὡς Σάῤῥα τῷ Ἀβραὰμ ὑπήκουσεν κύριον αὐτὸν καλοῦσα· καὶ γὰρ ὅτε πρὸς αὐτὴν περὶ τοῦ Ἰσαὰκ γέγονεν ἐπαγγελία ὑπὸ τὴν σκηνὴν οὖσα λεγόντων ἀκούσασα πρὸς Ἀβραὰμ τῶν ξενωθέντων αὐτοῖς ἀγγέλων περὶ τῆς συλλήψεως αὐτῆς, ἐγέλασεν καὶ φησιν, εἰ οὔπω μέν μοι γέγονεν ἄχρι τοῦ νῦν, ὁ δὲ κύριός μου πρεσβύτης· διὸ καὶ ἠρνήσατο μετέπειτα φοβηθεῖσα καὶ ὡς οὐκ ἐγέλασα λέγουσα· ὅμως κατὰ τὸν καιρὸν εἰς ὥρας τὸν Ἰσαὰκ τέτοκεν.

Ἄννα σὺ δ' υἷα φιλὸν καὶ τέκες εὐξαμένη,
Καὶ νηῷ μιν ἔδωκας ἁγνὸν θεράποντα Σαμουήλ.

Ἡ μὲν τοῦ Σαμουὴλ μήτηρ Ἄννα τὸν Σαμουὴλ εὐξαμένη τῷ θεῷ καὶ τεκοῦσα προσήνεγκεν· ἡ δὲ Νόννα τοῦ

Θεοῦ Γρηγορίου ἡ μήτηρ καὶ τίκτουσα τεκοῦσαν, καὶ τῷ θεῷ τουτονὶ τὸν μέγαν παρέσχηκε ἀρχιερέα.

Ἡ δ' ἑτέρη κόλποις Χριστὸν ἐδέξατο μέγαν.

Ἑτέρα ἔστιν Ἄννα τῆς θεοτόκου ἡ μήτηρ (1), ἥτις τὴν Μαριὰμ διὰ τῆς πρεσβυχῆς κυήσασα, Χριστὸν δι' αὐτῆς τὸν ὄντως μέγαν θεὸν ἀνθρωπίνως τοῖς κόλποις ὑπεδέξατο· μήτηρ μὲν οὖν Χριστοῦ Μαρία ἡ θεοτόκος, Μαρίας δὲ μήτηρ Ἄννα, καὶ πατὴρ Ἰωακείμ.

(*)

Apud Murator. epigr. LXXXV.

Ἐμπεδόκλεις σὲ μὲν αὐτὶκ' ἐνώτισα φυσιόωντα,
Καὶ βροτὸν αἰτναίσιο πυρὸς κρητῆρες ἔδειξαν.

Ὁ Ἐμπεδοκλῆς βουλόμενος ἑαυτῷ θεοῦ δόξαν περιποιήσασθαι, ἐν τῷ ἀναδιδομένῳ πυρὶ τῆς Αἴτνης βαλὼν ἑαυτὸν ἀνηρέθη. Κεῖται ἡ ἱστορία ἐν τῷ ξθ' λόγῳ.

Νόννη δ' οὐ κρητῆρας ἐσιλάτο, πρὸς δὲ τραπέζῃ
Τῇδέ ποτ' εὐχομένη καθαρὸν θύος ἔνθεν ἀέρθη.
Καὶ νῦν θηλυτέρῃσι μεταπρέπει εὐσεβέεσσι
Σουσάννῃ Μαριάμ τε καὶ Ἄνναις ἔρμα γυναικῶν.

Σουσάννα σώφρων οὖσα χεῖρας ἀθεμιτάτας ἐξέφυγεν ἱερέων ἀκολάστων. Κεῖται ἐν τῷ γ' λόγῳ. Μαριὰμ δὲ ἐστὶν ἡ Μωϋσέως ἀδελφὴ καὶ Ἀαρών, ἥτις μετὰ τὴν διάβασιν τῆς ἐρυθρᾶς θαλάσσης καὶ τὴν παντελῆ τῶν αἰγυπτίων καθαίρεσιν, λαβοῦσα τὸ τύμπανον, πασῶν ἐξῆρχεν τῶν ἰσραηλιτίδων, χορεύουσα καὶ τὴν ἐπινίκιον ᾠδὴν ᾄδουσα, ᾄσωμεν τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται. Ἄννα δέ ἐστιν ἡ

(1) Ergo videtur corrigendus Muratorius, qui Annam heic intelligit illam piam vetulam, quae Iesum parvulum in templo cum Simeone excepit. Certe hoc Cosmae priscum testimonium pro Anna divae Virginis genitrice non est negligendum.

τοῦ Σαμουὴλ μήτηρ, ἥτις τεκοῦσα, τῷ κυρίῳ ἐξωμολογήσατο, ἐςερεώθη λέγουσα ἡ καρδία μου ἐν κυρίῳ· αἷς τὴν ἰδίαν συγκρίνει μητέρα Γρηγόριος, ἐπείπερ εὐχομένη παρὰ τῇ θείᾳ τραπέζῃ, τῆς ζωῆς ἐλύθη τῆς ἐπικαίρου.

Apud Murator. epigr. LXXXVI.

(*)

Ἥρακλες, Ἐμπεδότιμε, Τροφώνιε, λήξατε μύθων (1)
Καὶ σύ γ' Ἀριςαίου κενεαύχεος ὀφρὺς ἄπιστε.

Κεῖνται αἱ παροῦσαι ἱστορίαι ἐν τῷ ξδ' λόγῳ.

Apud Murator. epigr. XCII.

(*)

Οὐ μόσχων θυσίην σκιοειδέα οὐδὲ χειμάῤῥων,
Οὐδὲ πρωτοτόκων Νόννα ἔθηκε θεῷ,
Ταῦτα νόμοις προτέροισιν ὅτ' εἰκόνες, ἥ δ' ἀρ' ἑαυτὴν
Δῶκεν ὅλην βιοτῷ μάνθανε καὶ θανάτῳ.

Μόσχων θυσίαν καὶ χιμάῤῥων καὶ πρωτοτόκων λύτρα τῷ Μωϋσῇ προσέταξεν ὁ θεὸς νομοθετῶν διδόναι θεῷ· Γρηγόριος δὲ φησὶν, ὅτι τοῖς σκιώδεσι ταῦτα ἀναγκαία ἦν· νυνὶ δὲ οἷον Νόννα πεποίηκεν ἑαυτήν τε καὶ τὸν ἄνδρα καὶ τὸν παῖδα καθιερώσασα τῷ θεῷ.

Apud Murator epigr. CVIII.

Πίστις Ἐνὼχ μετέθηκε καὶ Ἠλίαν.

Κεῖται ἐν τῷ β' λόγῳ.

Apud Murator. epigr. CX.

Δῶκε θεῷ θυσίην Ἀβραὰμ πάϊν, ὡς δὲ θύγατρα
Κλεινὸς Ἰεφθάε, ἀμφοτέροι μεγάλην.

Ἡ μὲν ἱστορία τῆς Ἀβραὰμ θυσίας ἐν τῷ α' λόγῳ κεῖται. Ἡ δὲ τῆς Ἰεφθάε θυσίας ἐξήγησις ἔςιν αὕτη. Τίκτεται δὲ αὐτῷ καὶ Ἰεφθάε ἀπὸ παλλακῆς, ἀνὴρ ἀμφοτεροδέξιος, σοφός τε καὶ θείου πνεύματος καὶ δυνάμεως πλή-

(1) Male μύθους apud Muratorium, cuius vide adn. Secundum casum more graeco posuit etiam Horatius II. od. 9. 17. *desine mollium querelarum.*

ρας· τοῦτον εἰ ἀδελφοὶ ζηλώσαντες ἀτίμως, αὐτὸν ὡς παλλακὴς υἱὸν ἐξαπεστέλλουσι, πατρῴας αὐτὸν ἀποστέρουσι κληρονομίας· ὁ δὲ ἀναστὰς ἐπ' ἀλλοδαπῆ μετώκησεν· οὐκ εἰς μακρὰν δὲ πόλεμος ἐφύετο τῶν Ἀμμανιτῶν, παρῆσαν τε τὸν Ἰσραὴλ κακωσόμενοι· πτοηθέντες δὲ καὶ γνόμενοι ἔντρομοι, τὸν Ἰεφθάε συμμαχῆσαι σφίσιν ἐξελιπάρουν· αὐτὸς μὲν οὖν εὖ εἰδὼς τῇ μὲν κακίᾳ πρεσανέχειν, τοῖς ἀτίμοις δὲ μὴ προχείρως συνέπεσθαι, πρεπόντως καὶ ὡς θέμις ἦν ἀπεκρίνατο, ὑμεῖς γάρ με φησὶν μεμισήκατε καὶ παρ' ὑμῶν ἐξαπεστάλκατε, καὶ νῦν ἐν τῷ καιρῷ τῆς ἀνάγκης ὑμῶν ἐρεῖτε θεῦρο καὶ πολέμησον τὸν πόλεμον ἡμῶν· εἰ δὲ τοῖς ῥήμασιν καταιδισθέντες αὐτοῦ, συνιέντες τε καὶ μέν τι πρὸς τὸν πόλεμον ἱκανὸν ὑπάρχοντα προγινώσκοντες, ὅμως ἠπίοις ῥήμασιν κατεμάλασσεν, αὐτὸν ἄρχειν μετὰ τὸν πόλεμον παντὸς Ἰσραὴλ ὑπισχόμενοι· πεισθέντες γοῦν καὶ πρὸς τὴν μάχην ἀφικομένου, εἰ μὲν πολέμιοι κατὰ κράτος ἐτρέποντο· τούτῳ δὲ δι' εὐχῆς ἦν, τὸν πρώτως αὐτῷ συναντήσοντα τῶν οἰκείων ἐπανιόντα καθιερεῦν τῷ θεῷ· μονόπαις δὲ τούτῳ παρθένος ἦν ὅτι λίαν καλή, ἣ προσυπαντήσασα τῷ πατρὶ μετὰ χαρμοσύνης καὶ τυμπάνων, τῶν ἄλλων προηγεῖτο· βαρὺ δὲ καὶ λίαν στενάξας ἐκ βάθους ὀδυνηρὸν, οἴμοι φησὶ θύγατερ, ἔμπους ἔστηκάς μοι, τὸ γὰρ στόμα μου περὶ σοῦ πρὸς τὸν θεὸν ἤνοιξα, καὶ νῦν σκόλωψ γέγονας ἐν ὀφθαλμοῖς μου· οὐ γὰρ δυνήσομαι τὴν εὐχὴν παραβῆναι· ἡ δὲ νεάνις ἀλύπῳ τε προθέσει καὶ ψυχῆς ἀνδρειότητι, πληρώσαις ἔφη πάτερ τὴν ὑπόσχεσιν οὗ χάριν συνέτριψεν κύριος τοὺς ἐχθρούς ὑπὸ χεῖρας σου· μικρον δὲ ταῖς συνεταίραις ταύτην συνεῖναι φήσασα συγχωρῆσαι, τὴν παρθενίαν ἀνὰ τὰ ὄρη τεσσάρακοντα ἡμερῶν

κλαύσασα μετὰ τῶν παρθένων Ἰσραὴλ, πατρικῆς ὑπὸ χειρὸς ἐργασθεῖσα τῷ θεῷ καθιερώθη.

Apud Muratator. epigr. CVI.

Σάῤῥα φίλη πῶς τὸν σὸν Ἰσαὰκ λίπες ἡ ποθέουσα
Τῶν Ἀβραὰμ κόλπων ὡς τάχος ἀντιάσαι;

Σάῤῥαν τὴν ἰδίαν ἀπεκαλεῖ μητέρα, διὰ τὸ αὐτὸν ἐξ ἐπαγγελίας κατὰ τὸν Ἰσαὰκ τεχθῆναι, καὶ τῷ θεῷ καθιερωθῆναι· κόλπους δὲ φησὶν Ἀβραὰμ οἷς ὁ πτωχὸς ἐπαναπαύσασθαι λέγεται. Κεῖται περὶ τῶν κόλπων τοῦ Ἀβραὰμ ἱστορία ἐν τῷ α΄ λόγῳ.

Apud Murator. epigr. CXVI. 9.

Στήλη σοι θανάτου μελιηδέος ἥδε τράπεζα,
Νόννα παρ' ἣ ἐλύθης εὐχομένη πύματα.

Χρὴ εἰδέναι ὅτι ὁ ψόγος διὰ τῶν ἐγκωμιαστικῶν προέρχεται, οἷον γένους παιδεύσεως καὶ πράξεων· εἰ γὰρ μή τις εὐγενὴς ἢ φρόνιμος ἢ εὔτροπος εἴη, ψεκτὸς τοῖς πᾶσι καθέστηκεν· στήλη δὲ διηνεκὲς ἐστὶ κατηγόρημα ἐπί τε τῶν εὖ ἐχόντων καὶ τῶν ἐναντίων, οἷον ὡς Ἀθηναῖοι τὸν Ἀρίθμιον ἐξελίτην στηλιτεύουσιν ὅτι διέφθειρεν τοὺς Ἕλληνας χρήμασιν ἐπὶ τὸ μᾶλλον ὑπακοῦσαι τῷ Πέρσῃ, ἀτιμώσαντες καὶ αὐτὸν καὶ ἅπαν αὐτοῦ τὸ γένος, ἄθειαν θεδωκότες ἐν τοῖς γράμμασι τῷ βουλομένῳ ἀνελεῖν αὐτὸν, ἐπιγράψαντες καὶ τὴν αἰτίαν ἐν στήλῃ ἥτις ἦν αὐτῷ ψόγος, ὅτι φησὶ τὸν χρυσὸν τῶν ρ΄ μήδων εἰς Πελοπόννησον ἤγαγεν· ὡσαύτως καὶ τῶν εὐεργετῶν ἀνεγράφησαν αἱ εὐεργεσίαι στηλωθεῖσαι, ὡς περὶ τοῦ βοσπερίτου Λεύκωνος τοῦ ἄρχοντος εὐεργεσία ἐν Ἀθήναις ἀνεγράφη· στήλης δὲ ἄξιον τῆς ἰδίας μητρὸς τὸ τέλος φησὶν ὁ θεῖος Γρηγόριος, οὐχ ὡς ἂν τίς ὑπολάβοι τὴν στήλην ἐπὶ ψόγῳ, ἀλλ' ὥστε τὸν ἔπαινον εἰς τὸ διηνεκὲς ἀνακεῖσθαι· στήλη δὲ ἐστὶν ἢ λίθος ἢ χαλκὸς ἐπὶ μήκη τετράγωνος ἐν ᾧ στηλιτεύεται ὁ γραφόμενος, καθὼς

ἐν τῷ κατὰ τυμβωρύχων λόγῳ φησὶν, στήλῃ γράψατε νεκροφόνον τοὔμπαλιν· ἢ τὸ καλῶς ἐνταῦθα σημαίνων γραφῆναι.

ΛΟΓΟΙ ΡΒ. ΡΓ. ΡΔ. ΡΓ. Ρϛ. ΡΖ. ΡΗ. ΡΘ. ΡΙ. ΡΙΑ. ΡΙΒ. ΡΙΓ. ΡΙΔ.

Apud Muratori epigr. CXL.

ΚΑΤΑ ΤΥΜΒΩΡΥΧΩΝ ΔΙ' ΕΠΩΝ.

Ἑπτὰ βίοιο πέλει τάδε θαύματα, τεῖχος, ἄγαλμα,
Κῆποι, πυραμίδες, νηὸς, ἄγαλμα, τάφος.

Τεῖχος ἐστὶν τὸ Βαβυλῶνος ὅπερ ἔφημεν ἐπίδρομον τοῖς ἅρμασι· οἱ δὲ φασὶ τὸ Ῥώμης Καπετώλιον· ἔστι γὰρ κτίσμα μέγα περιβόλοις συνεχόμενον ἐν ᾧ πλήθη ζωδίων ἐστὶν, καὶ σημεῖον ἑκάστῳ τούτων ἦν ποτὲ· καὶ γὰρ φασὶ κώδονας ἐκ χειρὸς ἀποκρεμασθῆναι τούτων· ζωδίον δὲ κατ' ἔθνος ἦν ἅπαν, ὅπερ φησὶν ἐσήμαινεν διὰ τοῦ κώδονος τὴν οὕπερ εἰκονίζει κίνησιν ἐσθ' ὅτε πολεμικὴν ἔθνους· πολλὰ δὲ καὶ ἄλλα θαύματα ἄξια κατὰ Ῥώμην ἐστίν. Ἄλλοι δὲ φασὶν ἐν Ἡρακλείᾳ τυγχάνειν ἥδρυμά τι κατὰ ἀμφιθεάτρου, ἐν ᾧ καλλίστη μὲν καὶ θαυμασία τίς ἐστὶν οἰκοδομὴ· ἔχει δέ τι καὶ πλέον· κατὰ γὰρ τὸ ἀκρότατον τῆς οἱασοῦν γωνίας τοῦ τείχους εἴ τις καθ' ἑαυτὸν τῷ λίθῳ μυστικῶς λόγον ἐπαφῇ, τὸν ἑτέρωθεν ἱστάμενον τηλαυγῶς ῥήματος ἀκροᾶσθαι φασίν. Ἄγαλμα δὲ ἐστὶν ὁ ἐν Κολοσσαῖς τῇ λεγομένῃ Ῥόδῳ χαλκὸς ἀνδριὰς ὃν ὑπερμεγέθη τυγχάνοντα καθεῖλον Ἀγαρηνοὶ γεγονότες αὐτοῦ· οὗτος δὲ ὀγδοηκονταπήχυς ἐλέγετο εἶναι. Κῆποι δὲ εἰσὶν Ἀλκινόου καὶ Ἀδώνιδος· Ἀλκινόος δὲ τῶν Φαιάκων γέγονεν βασιλεὺς, φιλόξενος καὶ λαμπρὸς τίς τούς τε οἴκους καὶ κήπους καὶ τὰς εὐωχίας· ἡ γὰρ Ἀλκινόου πλουσία μάλιστα καὶ φιλότιμος

τράπεζα. Πυραμίδες δὲ αἱ παρ' ἡμῶν λεγόμεναι τοῦ Ἰωσὴφ σιτοβολῶνες τῆς κατ' Αἴγυπτον Βαβυλῶνος μικροῦ διεσκηκότες. Ναὸς δὲ ὁ ἐν Κυζίκοις τῇ πόλει· μέγας γὰρ οὗτος καὶ θαύματος ἄξιος, ὃς τῷ μὲν Ἀπόλλωνι πρότερον ἵδρυτο, ὑπ' αὐτοῦ δὲ προκεχρησμῴδηται Μοιρίας ἔσεσθαι μετὰ ταῦτα, ἧς κέκληται καὶ ἐστίν· ἠξίωσε δ' ἄν τις, εἰ μὴ νεώτερον εἴηται, τὸν ἐν Κωνσταντινουπόλεως ναὸν τὸν πάλαι θαυμασώτερον ὄντα θεαμάτων. Ἄγαλμα πάλιν ἐστὶν τὸ ἐν Σμύρνῃ τοῦ Βελλεροφόντου, ὅπερ ἐστὶν ἐπ' ὀχήματος ἐπὶ τὴν θάλασσαν προκύπτων τοῦ τείχους, ὅ τε Πήγασος ἵππος μικρὸν ὄπισθεν τοῦ ποδὸς κατεχόμενος, πολλάκις μὲν ἄρεμα σαλευούσης συνεπόμενος χειρὸς, προθυμούμενος δὲ σὺν βίᾳ μένων παγεῖς καὶ ἀκράδαντος. Τάφος δὲ ἐστὶν ὁ τοῦ Μαυσώλου ἐν Κάραις, περὶ οὗ νῦν εἰρήσεται πλατυτέρως. Πολλὰ δὲ καὶ ἄλλα νεώτερα καθέστηκεν, ἅ τινα θαύματος ἀξιοῦσιν ἄνθρωποι· τάς τε Ἑπταπύλους τῆς Ἑλλάδος ἃς Ἀμφίων καὶ Ζῆθος ᾠκοδόμησαν διὰ κιθάρας, καὶ τὰς Θήβας ἑκατονταπύλους, καὶ τὸν Ἀλεξανδρείας Φάρον ἐπὶ τεσσάρων φάσκοντες ὑελίνων ἐστηρίχθαι παγούρων εἴ γε ἀληθῶς, καὶ τούτων ἄλλα τινὰ νεότερα γέγονεν ἔν τε δομήσεσι καὶ ναοῖς ἀγάλμασι καὶ περιβόλοις καὶ λοετροῖς καὶ φορεσίοις καὶ πράγμασι διαφόροις.

Apud Murator. epigr. CXLVII.

Μαυσώλου τάφος ἐστὶ πελώριος, ἀλλὰ Κάρεσσι
Τίμιος, οὐ τίς ἐκεῖ τυμβολέτης παλάμη.

Ὁ Μαυσώλου τοῦ κάρος τάφος μέγιστος ἐστὶ· Μαύσωλος γὰρ Καρίας γέγονε τύραννος· Καρία δὲ πρὸς τῇ ἀσιανῇ χώρᾳ καὶ αὕτη μεγίστη τίς ἐστιν ἐπαρχία ἕως Τρωάδος διατείνουσα· οὗτος οὖν ὁ Μαύσωλος τάφον ᾠκοδόμησεν ἑαυτῷ πολυανάλωτον ἐν χώματι τινὶ καὶ λιμναζούσῃ λίμ-

νη, ἔνδον κειμένου τοῦ τάφου· γράφεται δὲ καὶ καρικὸς τάφος, ἵνα ᾖ κτητικὸς· γράφεται δὲ καὶ κάρος, ἵνα ᾖ ἐθνικὸν τοῦ Μαυσώλου τοῦ κάρος ὁ καρικὸς τάφος· οὕτω γὰρ ὁ Θεῖος Γρηγόριος ἐν τῷ εἰς Βασίλειον τὸν μέγαν λόγῳ, κτητικὸς φησὶ καὶ Μαυσώλου καρικὸς τάφος· ἐν Κνίδι * δὲ ἄλλος τάφος ἐστὶν Τίμωνος προσαγορευόμενος· οὗτος πλούσιος μὲν ἦν ἐκ προγόνων, βραχὺς δὲ καὶ νέος τὴν ἡλικίαν ὀρφανισθεὶς τὸν προγονικὸν πλοῦτον διεσκόρπισεν συναναστρεφόμενος λύσαξιν· ὕστερον μέν τι σωνεθεὶς, ὑπ' αὐτῶν κατεγελᾶτο τῶν τὴν αὐτοῦ καταναλωσάντων περιουσίαν· εἶτα πάλιν πλουτήσας, κἀκείνων, οἰομένων κατ' ἔθος αὐτῷ κολλᾶσθαι, καὶ λόγοις ἐξαιρόντων εὐφήμοις, καὶ φιλικὰ τῷ δοκεῖν ἐπιβοώντων, χαῖρε κύρι Τίμων, αὐτὸς ἑαυτῷ προσλαβὼν ἀπεκρίνατο, χαῖρε Τίμων, χαῖρε κύρι Τίμων, χαῖρε κύρι πολὺ Τίμων, χαῖρε τὸ ἐρὸν βαλάντιον, διὰ τούτου σημαίνων τῆς εὐπερίας εἶναι καὶ φρονήσεως τὴν τιμὴν ἁρμοδίαν, εἰδώς τε τοὺς κόλακας μέχρι τότε κολακεύειν ἕως ὁ πλοῦτος ῥεῖ, καὶ τρυφὴν αὐτοῖς ἐμποιεῖ· πτωχεύσαντες γὰρ τοῦ πρὶν εὐεργετοῦντος, αὐτοὶ πρῶτοι τῶν συμφορῶν αὐτῷ παραίτιοι γίνονται· τούτου δὲ τοίνυν τοῦ Τίμωνος τάφος ἐστὶν ἐν Κνίδι, τῆς αὐτοῦ μνημόσυνον ἀρετῆς· ἔστι δὲ καὶ ἕτερος τάφος ἐν Καλαβρίᾳ τοῦ καρατομηθέντος ναυάρχου· τοῦτον δὲ φασὶ σημᾶναι πρῶτον τὴν φαρίαν πάροδον ἐν Κατάναις, διὰ τοῦ μεταξὺ Σικελίας καὶ Καλαβρίας διαῤῥέοντος πόρου· τούτου δὲ τὸν τάφον ἐφ' ὕψους ἀνακείμενον, τιμῶσιν οἱ ναυτικοὶ, λυχναψίας τινὰς ἀμφ' αὐτὸν ἐπιτελοῦντες, καὶ μάλα γε γανυμένως εὐωχούμενοι.

* ita cod.

Στῆλαι καὶ πλοκόεντες ἐν οὔρεσιν, ἔργα γιγάντων. Apud Murator. epigr. CLXIII.

Πρὸς τοὺς τυμβωρύχους ὁ Θεῖος Γρηγόριος ἀποτεινόμε-

νος, τὰ θαυμαστὰ προβάλλεται ἔργα, ὅτι δὴ ταῦτα μὲν ἐπὶ θαύμασιν ἄδονται, οὐδεὶς δὲ πώποτε θαύματος ἔργον ἐπεδείξατο, τάφον τινὰ καθελών· ὡς εἶναι νέον τὸ θαῦμα τοῖς κακῶς ἐπιτηδεύουσιν· προσίθησιν οὖν τοῖς τοῦ βίου θαύμασιν καὶ τὰς στήλας, καὶ τῶν γιγάντων τὰ ἐν ὄρεσιν ἔργα, καὶ τούτων μὲν εἰ καὶ τὰ μάλιστα τὸν λόγον προκαταβεβλήμεθα, καὶ πάλιν εἰπεῖν οὐκ ἀνητέον· στῆλαι μὲν οὖν εἰσὶν ἃς Ἡρακλῆς εἵλκυσεν παρὰ τῶν τὰ Γάδειρα κατοικούντων, θαυμαστὸν τί τὸ μὴ πέρα τῶν Ἡρακλέους στηλῶν τοῦτ' ἔστι Γαδείρων περατὸν εἶναι· γιγάντων ἔργα δὲ τὰ κατὰ τοὺς Μοδιονίδας· τῆς γὰρ Μοδιόνης δύο υἱοὺς Ὦτον, καὶ Ἐφιάλτην τεκούσης, οἳ κατ' ἐνιαυτὸν ηὔξανον κατὰ μὲν τὸ μῆκος πῆχυν ἕνα, κατὰ δὲ τὸ πλάτος σπιθαμήν· λέγεται τούτους ὑβριστὰς γεγονέναι καὶ λίαν ὑπερηφάνους, οἳ τὴν Ὄσσαν τῷ Ἄθῳ βουλευσάμενοι ἐπιθῆναι, τοῖς θεοῖς ἀντᾶραι κατ' οὐρανὸν γενόμενοι προὐθυμήθησαν· ἡ οὖν Ὄσσα καὶ ἡ Ἄθως δύο εἰσὶν ὄρη περὶ τὴν Θράκην, ἅ τινα ἀλλήλοις ἐπιθῆναι σκεψαμένους, καὶ δι' αὐτῶν εἰς οὐρανοὺς ἀνελθεῖν εἰπόντας, κεραυνωθέντας ἀπολέσθαι τούτους ὁ μῦθος διαγορεύει· ταῦτα φησὶν ἔργα πεπληρωμένα τῶν γιγάντων ἐν ὄρεσιν ὁ θεῖος Γρηγόριος· ἀλλ' ἐκείνοις μὲν ὁ σκηπτὸς ἀντὶ τοῦ τολμήματος, ὡς εἰθὲ καὶ τοῖς τυμβωρύχοις ἡ ὁμοία ὑπήρχθη δίκη.

Apud Murator. epigr. CLXXIII.

Δήποτε Κῦρος ἄναξ βασιλήϊον ὡς ἀνέωξε
Τύμβον, ἐπὶ χρυσῷ γράμμα τόδ' εὗρε μόνον.
Οἴγειν ἀπλήστοιο τάφους χερός.

Τῶν ἀρχαιοτέρων τίς βασιλέων τάφον ἑαυτῷ δειμάμενος, πολλοῖς ἐπισώσατο τρόποις πλήρη τοῦτον ὑπάρχειν χρυσίου· τῷ δὲ σκοπὸς ἦν τὴν ἀπληστίαν στηλιτεῦσαι τοῦ μέλ-

λοντος αὐτὸν ἐπ' ἐλπίδι χρυσοῦ διανοίγειν· οὐδὲν ἐκαρπώσατο δὲ τῷ τάφῳ πλὴν ἐπιγράμματος· ἐγγέγραπτο δὲ ἁπλῶς τὸν χειρὸς τάφους ἀνοίγειν· Κῦρος οὖν ὁ βασιλεὺς διελεγχθεὶς τῇ περιφανείᾳ τῆς ἔξωθεν τοῦ τάφου θεωρίας, ὡς ἐπὶ χρήμασι τὸν τάφον ἀνέῳξεν· εὑρὼν δὲ τῶν ἐλπισθέντων οὐδέν, τῆς οἰκείας πλεονεξίας ἔλεγχον τὴν ἐπιγραφὴν εὑράμενος διὰ στόματος γέγονε πάντων ἐπ' ἀπληστείᾳ.

Ὡς ἐπὶ βευκτασίῃ γαῖαν ἀφεῖσα θάκη.

Apud Murator. epigr. CLXXVI.

Ταύτην ἐν τῷ τρίτῳ λόγῳ ἱστορίαν παρεθέμεθα· ἔστιν δὲ ἡ κατὰ τὸν βουθοῖνα Ἡρακλῆν καὶ Θεισθάμαντα τὸν ἀρετῆρα καὶ τοὺς Δρύοπας.

Ἦλυθεν εἰς ἄϊδην τίς, ὁ δ' ἑπτάτο, ἄλλος ὀλέσσε
Θῆρας· ὁ δὲ πλεκτὸν υἱεῖ τεῦξε δόμον.

Apud Murator. epigr. CLXXVII.

Μέμνηται πάλιν τῶν θεσπισθέντων εἶναι θαυμαζῶν παρὰ ἀνθρώποις, ὅτι δὴ τοιοῦτον πεπόνηκεν, ὁ τὸν τάφον ἀναῤῥήξας, εἰ καὶ τὰ μάλιστα διὰ στόματος πάντων ἐστὶν ἐπὶ λώβῃ· ὁ μὲν οὖν εἰς ᾅδην ἐλθὼν ἔστιν ὁ Πειρίθους, ὃς ἄπυγος ἐκλήθη, κατελθὼν γὰρ εἰς τὸν ᾅδην διὰ τὸ ἁρπάξαι τοῦ Πλούτωνος τὴν Περσεφόνην, ἐδέθη κάτω παρὰ πέτραις τισίν· ὁ δὲ Ἡρακλῆς κατελθὼν θέλων λαβεῖν τὸν Πειρίθουν, αὐτὸν μὲν ἀνείλκυσεν, αἱ δὲ πυγαὶ αὐτοῦ προσέμειναν τῇ πέτρᾳ· ἐκλήθη οὖν ὁ Πειρίθους ἄπυγος· αὐτὸς μὲν οὖν ὡς ὁ μῦθος κατήλθεν εἰς τὸν ᾅδην, καὶ αὐτὸς ἐπετάσθη τοῦτον τὸν τρόπον, ἑλκύσαντος αὐτὸν τοῦ Ἡρακλέους· μυθεύεται δὲ κύων τίς εἶναι παρὰ τὰς πύλας τοῦ ᾅδου, τρεῖς ἔχων κεφαλὰς, ὃς καὶ τρίκρανος καλεῖται καὶ τρικέρβερος· οὗτος τοὺς μὲν κατιόντας ἐν τῷ ᾅδῃ σαίνει κολακεύων, τοὺς ἀνιόντας δὲ δεινῶς κατεσθίει· φύλαξ γὰρ τῶν πυλῶν εἶναι λέγεται τοῦ ᾅδου· ὁ οὖν Ἡρακλῆς κατελθὼν

τῷ Πειρίθῳ τὴν Περσεφόνην συναρπάσαι, ἀνιὼν ἀπέκτεινεν αὐτόν· ἐπειδὴ δὲ τοῦ Πειρίθου μνήμην ἠγάγομεν ἄπυγον αὐτὸν εἰρηκότες· ἔστιν δὲ ἐν τῷ πρώτῳ στηλιτευτικῷ λόγῳ περί τε τῶν ἀπύγων καὶ μελανπύγων τῷ θείῳ λόγος Γρηγορίῳ, τὸν μὲν ἄπυγον τὸν Πειρίθουν εἶναι ἰσέον, μελάνπυγον δὲ τὸν Ἡρακλῆν αὐτόν· δύο γάρ εἶναι τινὰς ἀδελφοὺς ὁ λόγος διαγορεύει κατὰ γῆν πᾶσαν ἐπιδεικνυμένους ἀδικίαν, ὁ μὲν γὰρ αὐτῶν ἐλέγετο Πάσσαλος, ὁ δὲ ἕτερος Ἀκλήμων· ἐλέγοντο δὲ καὶ Κέκροπες διὰ τὴν τῶν ἔργων δριμύτητα, ὡς φησὶ Δῖος ὁ ὑπομνηματιστής· τούτοις δὲ ἡ μήτηρ Τεμνονὶς τοὔνομα ἑωρακυῖα κατὰ γῆν πολλὰ δεινὰ ἐργαζομένους, εἶπεν μὴ περιτυχεῖν Μελανπύγῳ· καὶ ποτὲ τοῦ Ἡρακλέους ὑπὸ δένδρεν κοιμωμένου καὶ τῶν αὐτοῦ ὅπλων ἐπικεκλιμένων τῷ φυτῷ, πλησιάσαντες οὗτοι τοῖς ὅπλοις ἐπιχειρῆσαι ἠβουλήθησαν· εὐθὺς δὲ ὁ Ἡρακλῆς αἰσθόμενος λαβὼν αὐτοὺς κατὰ κέφαλα ἐπὶ ξύλῳ δεσμεύσας ἐβάσασεν· τότε οὖν ἐκεῖνοι τῆς ἐντολῆς ἐμνήσθησαν τῆς ἑαυτῶν μητρὸς ἑωρακότες κρεμάμενοι τοῦ Ἡρακλέους τὴν πυγὴν μελαίναν ἐκ τῆς τῶν τριχῶν δασύτητος, καὶ πρὸς ἀλλήλους αὐτὸ τοῦτο διαλεγόμενοι, γέλωτα πολὺν προσῆψαν τῷ Ἡρακλεῖ, καὶ εὐθὺς αὐτοὺς καὶ τῶν δεσμῶν ἐλυτρώσατο καὶ ἀπέλυσεν. Ὁ δὲ κατασκευάσας τῷ υἱῷ πλεκτὸν εἶκον * . . .

* Deest aliquid.

Ὁ δὲ τοὺς θῆρας ὠλέσας αὐτός ἐστιν Ἡρακλῆς, ὡς δοκεῖ τῷ μύθῳ· θῆρας διέσωσε Σαμψὼν ὁ τοῦ θεοῦ ναζιραῖος· τὸν γὰρ λέοντα ταῖς χερσὶ διεῖλεν ὡσεὶ ἔριφον· καὶ Δαβὶδ ἔτυπτεν τὸν λέοντα καὶ τοῦ φάρυγγος κατέχων ἀπέπνιξεν ἐν τῷ ποιμνίῳ τοῦ πατρὸς αὐτοῦ παιδάριον ὤν, καὶ τὴν ἄρκον ἔτυπτεν καὶ ἀπέπνιγεν καὶ τῶν σωμάτων ἐκ μέσων αὐτῶν ἀπέσπα τὴν θῆραν· καὶ Βαναΐας ὁ καβασαη-

λίτης ὁ παῖς Δαβὶδ καὶ αὐτὸς ἐν ἡμέραις χιόνος ἐν λάκκῳ καταβὰς τὸν λέοντα γυμνὸς ὢν ἀπέπνιξεν.

Χρυσὸς μὲν Λυδίεσιν (1) ἐπίκλυσεν.

Apud Muratori. tom. CLXXIX.

Κεῖται ἡ παροῦσα ἱστορία ἐν τῷ νθ' λόγῳ, καὶ ἔσα μὲν ἄλλα περὶ τῶν ἐν ᾅδου κολάσεων ὁ παρὼν μέμνηται λόγος τῶν τυμβωρύχων κατευχόμενος ἐν τοῖς ἤδη προλεχθεῖσι λόγοις εὑρήσεις ἅπαντα.

ΛΟΓΟΣ ΡΙΕ. ΛΟΓΟΣ ΡΙς.

ΠΕΡΙ ΕΝΑΝΘΡΩΠΗΣΕΩΣ ΧΡΙΣΤΟΥ ΚΑΤΑ ΑΠΟΛΙΝΑΡΙΟΥ.

Iambicum XXIV.

Ὁ παρὼν λόγος δογματικός ἐστιν· μέμνηται δὲ τῆς Ἀδὰμ διαπλάσεως καὶ παραβάσεως, καὶ τῆς Χριστοῦ ἐνανθρωπήσεως, καὶ τῶν εἰς καινὴν τοῦ γένους σωτηρίαν αὐτοῦ παθημάτων. Κεῖνται δὲ ἐν τοῖς προκειμένοις λόγοις ταῦτα διαφόρως.

ΛΟΓΟΣ ΡΙΖ.

ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ.

Iambicum II.

Χρὴ εἰδέναι ὡς Ἐπίκουρος ὁ φιλόσοφος μὴ προνοεῖσθαι τὸν θεὸν τῶν τῇδε πραγμάτων ἐδόξασεν· οὗτος δὲ τέλος παντὸς ἀγαθοῦ τὴν ἡδονὴν ἐτίθετο· καὶ οἱ μὲν νῦν ἐξηγηταὶ λέγουσι τίθεσθαι τὴν ἡδονὴν οὐ τὴν ἀκάθαρτον ἀλλὰ τὴν φυσικωτάτην κατάστασιν, καὶ τοῦτον οἱ φιλόσοφοι ἀποσκορακίζουσιν καὶ ὡς μὴ λέγοντα πρόνοιαν, καὶ ὡς τὴν ἡδονὴν τέλος ὁριζόμενον τοῦ καλοῦ, ἀλλ' οὐχὶ τὸ πρῶτον

(1) Male apud Muratorium Ῥοδίοισι. Et quidem in loco mox citato νθ p. 141. sermo est de aurifluo Lydiae Pactolo.

καὶ μόνον καλὸν ὅπερ ἐστὶ θεός· χρὴ σημειώσασθαι ὡς ὁ θεῖος Γρηγόριος τὸν θεὸν πρῶτον καλὸν καὶ ἔσχατον ὀρεκτὸν ἀποκαλεῖ καὶ θυσόρεκτον· τὴν δὲ πρόνοιαν ἑλλήνων παῖδες ἐξαίρουσιν, τῇ φορᾷ τὸ πᾶν ἐπιτρέποντες καὶ τοῖς ἄστροις καὶ τοῖς ἀποτελεσματικοῖς προσανέχοντες, τύχας καὶ γενέσεις καὶ εἱμαρμένας παρεισάγουσιν· Γρηγόριος οὖν ὁ θεῖος τὴν τῆς προνοίας ἄρσιν ἄνταρσιν ἰσχυριζόμενος εἶναι θεὸν, τὸν Δαβὶδ παρεισάγει καὶ Μωϋσῆν καὶ Ἐλισσαῖον, ὧδε φάσκων δι' ἰάμβων.

62. Δαυεὶδ δέ σε πειθέτω καὶ Μωϋσῆς ταῦτα,
63. Ἐλισσεός τε, οὗ τρέμω μεμνημένος·
64. Ὁ μὲν κολασθεὶς ἐνθεῶς τεῖς πταίσμασιν,
65. Ὁ δ' ἀντὶ μικρῶν καὶ θεοῦ λαβὼν θέαν,
66. Νόμον τε, καὶ τοσοῦτον ἐκσῶσαι στρατόν.
67. Ὁ δ' ἐκ βραχείας ὕβρεως καὶ νηπίοις
Πληγὴν τοσαύτην ἀντιδοὺς παρ' ἐλπίδα.

Ὁ μὲν Δαβὶδ μερικῶς ἐκολάσθη τεῖς πταίσμασιν, ἡνίκα τὴν Οὐρίου γυναῖκα μοιχεύσας τὸν Οὐρίαν ἐφόνευσεν, τὸν ὅμοιον παθὼν τρόπον ὑπὸ τοῦ Ἀβεσσαλὼμ τοῦ ἰδίου υἱοῦ· οὗτος γὰρ τὰς παλλακὰς αὐτοῦ ἐταπείνωσεν, καὶ τοῦτον πρὸς βραχὺ τῆς βασιλείας ἀπέστησεν, ἐπ' ἀλλοδαπῆς αὐτὸν ἀπελάσας, ὡς ἐν τῷ ξγ' διεξήλθομεν λόγῳ· πάλιν τε κολάζεται τὸν λαὸν Ἰσραὴλ ἀριθμήσας· καὶ γὰρ ἄγγελος παρὰ τοῦ θεοῦ ἐξῆλθεν θραῦσαι ἐν τῷ λαῷ· τριῶν γὰρ αὐτῷ προταθέντων παρὰ τοῦ θεοῦ, ἢ λιμῷ διαφθαρῆναι τὴν γῆν, ἢ χερσὶν ἐχθρῶν καταπονεῖσθαι διωκόμενον, ἢ θανάτῳ τριῶν ὑποβληθήσεσθαι ἡμερῶν· εἰς χεῖρας θεοῦ παραδοὺς ἑαυτὸν, ἴδεν ἄγγελον ἐσπασμένον ῥομφαίᾳ καὶ θραύοντα· ἐξ ὡρῶν δὲ πάρεργον ἦν ἑβδομήκοντα χιλιάδες ἀπὸ Δᾶν

πεπτωκυῖαι καὶ ἕως Βηρσαβεὲ· μικροῦ δὲ τὸν λεὼν εἰκὸς συντριβῆναι εἰ μὴ σπεύτας Δαβὶδ ἐξωμολογήσατο, τὴν ὀργὴν ἐμπλακυσάμενος· ὡς αὐτοῦ μὲν ἁμαρτόντος μὴ δεῖν ἐπὶ τὸν λαὸν τὴν θείαν ἐπινεχθήσεσθαι μῆνιν· οὕτω δὲ καὶ θυσίαις τὸν θεὸν ἐξιλεώσασθαι ταῖς ἐκ Σιὼν ἐξενεχθείσαις λέγεται παρὰ τὴν ἅλω τοῦ Ὀρνᾶ, δι' ὧν ἁπάντων ἵλεω τὸν θεὸν πεισάμενος, τὴν ὀργὴν ἀνεχέτισεν παραυτίκα· Μωϋσῆς δὲ μικρὰς ἀντιτιμᾶται προθέσεως τοσοῦτον, ὡς καὶ θεὸν αὐτὸν φανερῆς κατιδεῖν ὀφθαλμοῖς, καὶ τοσούτου προστασίαν δέξασθαι πλήθους καὶ τῶν μεγάλων τεράτων ὑπηρετῆσαι θεῷ, καὶ θεὸν ὅμως Φαραὼ χρηματίσαι· οὐ γὰρ ἦ ζῆλον ἐνδιάθετον ἐπεδείξατο πατάξας τὸν αἰγύπτιον, καὶ τῷ λαῷ τοῦ θεοῦ συγκακουχεῖσθαι τοῦ συμβασιλεύειν προκρίνας τοῖς αἰγυπτίοις· οὕτως Ἐλισσαῖος μικρᾶς χάριν ὕβρεως, καὶ ἔτι λίαν εὐτελοῦς τοῖς νηπίοις ἀντιμετρήσας τοσαύτην ἀπανθρωπίαν, ἄρκους τοῦ θρυμοῦ τῷ λόγῳ προσάξας ἐξελθούσας ἀνελεῶς τοὺς ἀθλίους σπαράξαι· οὐ γὰρ πλὴν ἐκερτόμησαν αὐτὸν ἢ βοήσαντες, ἀνάβαινε φαλακρὲ ἀνάβαινε, ὅπερ ἦν τῇ νηπιαζούσῃ σύγγνωστον ἀθείᾳ, καὶ μέν τοι τοσαύτης ἐπειράθησαν αὐτίκα τῆς ἀπανθρωπίας, οὐχ ὡς τοῦ προφήτου ταῖς λοιδωρίαις τῶν παίδων προσεσχηκότος, ἀλλὰ τῆς μελλούσης αὐτοῖς ἐπιφύεσθαι πονηρίας πρὸ τοῦ βλαστῆσαι ῥιζόθεν τὸν καρπὸν ἀπεκείραντος, ὅπερ αὐτοῖς καὶ ψυχικὴς αἴτιον ὑπῆρχεν σωτήριας· οὐ γὰρ δὴ τίς εἴποι ταῦτα συγκρίνων τὴν κατὰ τινὰ γέννησιν ἐμοὶ ἢ εἱμαρμένην συμβῆναι, οὐδὲ τῇ φορᾷ καὶ τοῖς ἄστροις ἐπισρέψει τοὺς εἵακας τοῦ παντὸς, ἀλλ' ὡς ὁ θεῖος ἀπέδειξεν Γρηγόριος τῷ θεῷ τὴν πρόνοιαν παραχωρήσοι, πιστεύσῃ τὲ τοῖς τῶν θείων κριμάτων πεδαλίοις εἱακίζεσθαι καὶ περισρεφέσθαι δὴ τὸ πᾶν.

ΛΟΓΟΣ ΡΙΙΙ.

Iambicum XV.

ΟΡΟΙ ΠΑΧΥΜΕΡΕΙΣ.

Ὁ παρὼν λόγος ὁρίζεται πάντα τὰ ὄντα, σημαῖνον ἑκάστου τὴν ποιότητα· θηλεῖ δὲ δι' ἣν αἰτίαν ἔκαστον τῆς οἴας ἔτυχεν κατατωνμάσθη προσηγορίας· περὶ δὲ τὰ τέλη μέμνηται τῆς Χριστοῦ ἐνανθρωπήσεως, ἀρχόμενος ἀπὸ τῆς ἐκ παρθένου γεννήσεως, καθ' ἓν ἕκαστον ὧν ἔθρακε καθ' ἡμᾶς γεγονὼς, μέχρις αὐτοῦ τῆς δευτέρας ἐνδόξου παρουσίας. Καὶ κεῖνται ἐν τοῖς ἤθη προλεχθεῖσιν αἱ ἱστορίαι.

ΛΟΓΟΣ ΡΙΘ.

Iambicum XVIII.

ΠΕΡΙ ΑΡΕΤΗΣ.

206. Ἐξ ὧν στοαί τε προσώπων ὀφρύες,
207. Ἀκαδημίαι τε καὶ πλεκαὶ πυῤῥωνίων,
208. Σκέψις ἐφεξῆς τεχνιτῶν ῥημάτα.

Ξενοκράτης καὶ Ἀριστέλης Πλάτωνος γεγόνασι μαθηταὶ, οἵ τινες αὐτοῦ καὶ τὴν διατριβὴν διεδέξαντο· καὶ ὁ μὲν Ξενοκράτης ἐποίησε τὴν στοϊκὴν αἵρεσιν, Ἀριστέλης δὲ τὴν περιπατητικὴν αἵρεσιν· εἰσὶ δὲ τῆς φιλοσοφίας οἱ ὁρισμοὶ, εἶον, ἐξ ὑποκειμένου, ἐκ τέλους, ἐξ ὑπεροχῆς, ἐξ ἐτυμολογίας, καὶ τὰ ἑξῆς· αὖθις τε οἱ φερόμενοι εἴρεται τῶν ὁρισμῶν τῆς φιλοσοφίας, καὶ ὡς εἰς θεωρητικὸν καὶ πρακτικὸν διαιρεῖται, καὶ τὸ μὲν ὡς εἰς φυσιολογικὸν καὶ μαθηματικὸν καὶ θεωρητικὸν· τὸ δὲ εἰς ἠθικὸν καὶ πολιτικὸν καὶ οἰκονομικὸν· καὶ τὸ μὲν τούτων αὖθις εἰς ἀριθμητικὴν καὶ μουσικὴν καὶ γεωμετρικὴν καὶ ἀστρονομίαν, εἶον

τὸ μαθηματικὸν, τὸ δὲ εἰς νομοθετικὸν καὶ διαιρετικὸν εἶναι τὸ πολιτικὸν καὶ ὅσα καθεξῆς ἑαυτοὺς συνιστῶντες ἐπεισήγαγον· αἱ δὲ ἀκαδημίαι καὶ πυρρώνιαι πλοκαὶ εἰσὶν αὗται· λέγονται τινὲς πυρρώνιαι ὑποτυπώσεις περὶ τῆς σκέψεως, εἶναι περὶ τῶν λόγων τῆς σκέψεως ἐνεργειῶν αὐτῆς καὶ ἐννοιῶν καὶ ἀρχῶν αὐτῆς, εἰ δογματίζει ὁ ἐπίσκεπτος, εἰ αἵρεσιν ἔχει, εἰ φυσιολογεῖ, εἰ ἀναιρεῖ τὰ φαινόμενα, τί τὸ κριτήριον τῆς σκέψεως, τί τὸ τέλος, τίνες αἱ ὁλοσχερεῖς τρόποι τῆς ἐποχῆς, τίνες αἱ δέκα τρόποι καὶ τίνες αἱ πέντε, τίνες αἱ σκεπτικαὶ φωναὶ, τίς ἡ οὐδὲν, τίς ἡ μᾶλλον, τίς ἡ ἀσάφεια, τί τὸ ἔξεσιν, καὶ τὸ τάχα, καὶ τὸ πέχω, καὶ οὐδὲν ὁρίζω, τί τὸ πάντα ἀκαταλείπτως ὅτι παντὶ λόγῳ λόγος ἴσος ἀντίκειται, τίς ἡ ἐπισκεπτικὴ ὁδὸς τὴν ἐπὶ τὴν Ἡρακλείτου φιλοσοφίαν, εἰ διαφέρει τί ἡ Δημοκρίτου τῆς σκέψεως, εἰ διαφέρει τί τῶν ἀκαδημίων ἡ σκέψις, εἰ ἡ κατὰ ἰατρικὴν ἐμπειρία, εἰ αὐτὴ ἐστὶν τῇ σκέψει, πόθεν ἀκταῖσιν τῆς πρὸς τοὺς δογματικοὺς ζητήσεως, τί τὸ κριτήριον, εἰ ἔστι κριτήριον ἀληθείας, τί τὸ ὑφ' οὗ, τί τὸ δι' ὅ, τί τὸ καθὸ, περὶ ἀληθοῦς καὶ ἀληθείας, εἰ τί ἀληθὲς, τί τὸ σημεῖον, ἢ εἰ τίς σημεῖον ἐνδεικτικὸν, τίς ἡ ἀπόδειξις, τίνες αἱ δραστικαὶ ἀρχαὶ, τί θεὸς, τί τὸ αἴτιον, καὶ ἡ περὶ τὸν βίον τέχνη, τίνες αἱ ὑλικαὶ ἀρχαὶ, εἰ καταληπτὰ τὰ σώματα, τίς ἡ κρᾶσις, τίς ἡ κίνησις, περὶ τῆς μεταβλητικῆς κινήσεως, περὶ αὐξήσεως καὶ μειώσεως, περὶ ἀφαιρέσεως καὶ προσθέσεως, περὶ μεταθέσεως, περὶ ὅλου καὶ μέρους, περὶ φυσικῆς μεταβολῆς, περὶ γενέσεως καὶ φθορᾶς, περὶ τόπου, περὶ χρόνου, τί τὸ ἡθικὸν μέρος, εἰ ἔστιν τι τοῦτο φύσει, εἰ ἔστιν τίς περὶ τὸν βίον τέχνη, εἰ ὠφελεῖ τὸν ἔχοντα αὐτὴν, περὶ ἀριθμοῦ,

τί ἐστι φύσει ἀγαθὸν καὶ κακὸν διάφορον· αὗται μὲν αἱ τῶν πυῤῥωνίων ὑποτυπώσεων πλεκαί· λῆρον δὲ ταύτας φησὶν ὁ Θεῖος Γρηγόριος, παρεισάγουσι γὰρ Ἀριστοτέλην καὶ Ἐπίκουρον καὶ ἄλλους τῶν στοϊκῶν ὡς ἀπεφήναντο περὶ ἀκαταλήπτων· αὖθις Κλειτόμαχον καὶ Καρνεάδην καὶ λοιπῶν αἱ ζητήσεις τῶν ἀκαδημιακῶν· αἱ τῶν σκεπτικῶν ἐφεξῆς, περὶ τῶν ἀνωτάτω τριῶν φιλοσοφιῶν, τῆς δογματικῆς, τῆς ἀκαδημιακῆς, καὶ τῆς σκεπτικῆς, καὶ ἀπὸ τοῦ φαίνεσθαι τὸν Πυῤῥωνα περὶ τὴν σκεπτικὴν τῶν πρὸ αὐτοῦ σωματικώτερον καὶ ἐπιφανέστερον προσεληλυθέναι τῇ σκέψει, ἥν τινα καὶ δύναμιν ὁρίζονται καὶ πάθος, περὶ τῶν σκεπτομένων· καὶ πολὺς ἂν εἴη λόγος τὰ ἐφεξῆς ἐν πλάτει ληρήματα διεξιέναι, ὅσα τε ἀπορεῖν ἔοικε τὲ καὶ ἀμηχανεῖν καὶ ἐνθουσιᾷν καὶ ἐξεσακέναι· ἅ τινα πάντα τεχνιτῶν ὁ Θεῖος Γρηγόριος λῆρήματα ἐπεφήνατο.

218. Τίς οὐκ ἀκούει τὸν σινωπέα τὸν κῦνα;

Φιλόσοφος μὲν οὗτος ὑπῆρχεν κυνικὸς· κυνικοὶ λέγονται ὡς ἐκ μεταφορᾶς τοῦ κυνός· ἔχουσι γὰρ τὸ πρὸς τοὺς οἰκείους καὶ τοὺς ἔξω διακριτικὸν· οὗτος ἀκτησίαν εἰς ὁ ἀκρότατον ἀσπαζόμενος, οὐ γὰρ ἢ μόνον βακτηρίαν ἐκέκτητο, εἶκον δὲ ὕπαιθρον ἐν μέσῳ τῆς πόλεως στρεπτὸν πίθον, καὶ τροφὴ αὐτῷ ἦν αὐτοσχέδιος· εἴτε τοίνυν οὖς εἴτε τῶν ἀρχαίων κυνῶν τίς βασιλεῖ προσελθὼν ἠξίου τροφῆς λαβεῖν τί· δίδωσι δὲ ὁ βασιλεὺς, εἴτε τιμῶν εἴτε δοκιμάζων ὅμως χρυσίου τάλαντον· ὁ δὲ δεξάμενος ἄρτον ὠνησάμενος περισσὸν ἔῤῥιψεν ἐπειπών, λαβεῖν ἔχρηζεν οὐ τὸν ἄβρωτον τύφον· οὗτος μὲν οὖν εἴτε Διογένης ἐστὶν εἴτε ἄλλος οὐκ ἴσμεν· ὅμως καὶ Διογένης τοίθον ᾤκει διὰ τὸ κρῦος, ἡμέρας δὲ ἐξιὼν προσήει τῷ ἡλίῳ· ποτὲ γ' οὖν θερμαινομένου αὐτοῦ,

ἐπίσχη Ἀλέξανδρος ὁ μακεδὼν ἀποσκοτῶν αὐτῷ τὸν μὴ θερμαίνεσθαι· εἶπεν δὲ τί βούλει σοι χαρίσωμαι ὦ Διόγενες; ὁ δὲ εἶπεν, τὸ μικρὸν ὑπεκστῆναι μου ἵνα θερμανθῶ· καὶ τίς ἄλλος Σωκράτης ἐπὶ τῶν Πτολεμαίων φιλόσοφος ἵκετο φθειριζόμενος ἔν τινι τόπῳ ἐν ἡλίῳ· ὁ δὲ Πτολεμαῖος ἄνωθεν ἀπό τινος ἀπόπτου θεασάμενος κατῆλθεν ἵνα αὐτὸν εἰς τὰ βασίλεια λάβοι, ὁ δὲ Σωκράτης ἰδὼν αὐτὸν εἰσῆλθεν εἰς κλάσμια πίθου κειμένου καὶ ὑπεκρύβη τὸν Πτολεμαῖον· ὕστερον δὲ τοῦτον τινὲς ὡς ἀτυχῆ διέβαλλον· ἄλλοι δὲ φασὶν ὅτι αὐτὸς ὁ Πτολεμαῖος ἐπεφθέγξατο τὸ ἰάμβειον τοῦτο· – θέλω τύχης σαλαγμὸν ἢ φρενῶν πίθον· – αἰνιττόμενος ὅτι ὁ πίθος ἐκεῖνος μεστὸς ἐστὶ φρενῶν, καὶ ὅμως διὰ τὸ εἶναι αὐτὸν ἀτυχῆ οὐδὲν ὠφέλησεν αὐτὸν ἡ πληθὺς τῶν φρενῶν· οὐκ ὀρθῶς δὲ ταῦτ' ὑπειλήφασιν· φιλοσοφία γάρ ἐστὶ τὸ πάντων ἀνώτερον τῶν ὁρωμένων κεκτῆσθαι τὸ φρόνημα· καὶ Γρηγόριος ὁ θεῖος ἀμέλει ταύτῃ τὸ φιλόσοφον ἐπαινεῖ τὸ καὶ βασιλείας αὐτῆς ὑπεραναστακέναι τῷ λογισμῷ.

Κράτης δ' ὁμοίως χρημάτων ὑπερτιθεὶς, 228.
Αὐτὸν μεθεὶς τε μηλόβοτον τὴν οὐσίαν. 229.

Κράτης Θηβαῖος ἦν τῆς Βοιωτίας τὸ γένος· οὗτος φιλοσοφῆσαι θέλων τὴν κυνικὴν φιλοσοφίαν, λαβὼν τὰ ὑπάρχοντα αὐτοῦ ἔρριψεν τῷ δήμῳ κηρύξας οὕτως, Κράτης ἀπολύει τὰ Κράτητος, ἵνα μὴ τὰ Κράτητος κρατήσει τὸν Κράτητα, καὶ τὰ χωρία αὐτοῦ εἴασεν γενέσθαι μηλόβοτα· μηλόβοτον δὲ ἐστὶ χωρίον ἐν ᾧ ἀπολύονται τὰ πρόβατα εἰς τὸ βόσκεσθαι· μῆλα γὰρ τὰ πρόβατα καλοῦνται, ἔθεν καὶ μηλανόμαι οἱ ποιμένες, καὶ μηλωτὴ ἡ δορὰ τοῦ προβάτου.

Φασὶν τὸν αὐτὸν ὥς τινες δ' ἄλλον τινὰ 236.
Τῶν φιλοσοφούντων ἐξ ἴσου φρονήματος 237.

238. Πλέοντα τοῦ κλύδωνος ἀγριευμένου·
239. Ἔπειτα φόρτῳ τῆς νεὼς βαρυμένης,
240. Ῥίπτειν προθύμως εἰς βυθὸν τὰ χρήματα·
241. Τούτου δ' ἐπειπεῖν ἄξιον μνήμης λόγον·
242. Εὖ γ' ὦ τύχη μοι τῶν καλῶν διδάσκαλε,
243. Ὡς εἰς τρίβωνα ῥᾳδίως συστέλλομαι.

Τὸν αὐτὸν Κράτητα φασὶν, ὡς δέ τινες Ἀντισθένην, ἄλλοι δὲ Ζήνωνα, κυνικοὶ δὲ φιλόσοφοι καὶ οὗτοι, ὅμως τούτων εἷς πλέων καὶ χειμῶνος συμβάντος καὶ ναυαγίου γενομένου, εὐχαρίστως φέρων τὴν ἐσομένην αὐτῷ πενίαν, πρὸς τὴν τύχην ἐφθέγξατο, εὖ γε ὦ τύχη, χάριν σοι ὁμολογῶ ὅτι τὴν ἐμὴν οὐσίαν ἄχρι τοῦ τριβωνίου περιέστησας, ὥς τινων τῶν ἐκ τῆς οὐσίας αὐτοῦ ἐμπεφορτισμένων τῇ νηΐ.

244. Ἄλλος παρῆκεν οὐσίαν τοῖς ἐκ γένους.

Τὸ μὲν τοῖς συγγενεῦσι τὴν οὐσίαν παραχωρῆσαι μικρὸν εἶναι δοκεῖ τοῖς πολλοῖς, καὶ περ ὂν μέγιστον· καὶ γὰρ ὁ θεῖος Γρηγόριος ὡς ἐπὶ μεγάλῳ τὸν τοῦτο πεποιηκότα θαυμάζει, ὡς ἐξ αὐτῆς τῶν πραγμάτων τῆς ἀκολουθείας ἔξι καταστοχάσασθαι· οἱ γὰρ πλείους τὸν ἐμφιλόσοφον οὐκ εἰδότες βίον, ὡς πάντων ἐστὶ τῶν ὁρωμένων ὑπερανέχων, τοῖς δοκοῦσι κατὰ τὸν βίον εὐθαίμοσιν ὑποσύρονται, ἀμέλει παρ' αὐτὰ τοῦ βίου ὑψηλὸν ἐπανελέσθαι τῶν τίνα συμβαίη πάντων, οἱ συγγενεῖς τυραννίδι τῆς ἐκείνου κρατεῖν οὐσίας ἁμιλλῶνται, μὴ θεῖν φάσκοντες τὸν φιλόσοφον χρημάτων ἀντιποιεῖσθαι, καὶ συνηγόρους τῆς ἀνοίας οὐκ ὀλίγους εὑρίσκουσιν· οὐ τῆς τυχούσης οὖν ἀρετῆς ἔστιν ὑπερφρονεῖν τυραννούμενον, εἴγε μάλιστα καὶ τοὺς τυραννεῖσθαι δύναιτ' ἂν πολλάκις ἰσχυρότερος εἶναι· τοῦτο δὲ καὶ αὐτὸς ὁ θεῖος Γρηγόριος αἰνίττεται πεπονθέναι φάσκων· πρὶν

τί λαβεῖν τίουσιν, ἀτὰρ στυγέουσι λαβέντες· καὶ πάλιν· ἁρπάλσαις παλάμαις ἤρκεσα δυσμενέων· — καὶ αὖθις· τὰ δ' ἀλίτρων παλάμῃσιν ἑλώρια θήκατο δαίμων· — ὁ μὲν οὖν φιλόσοφος οὐκ ἂν ποτὲ παρὰ τῶν μὴ τῶν αὐτῶν αὐτῷ τῆς φιλοσοφίας ἐπανῃρημένων βίον νουθετούμενος πεισθείη, κἂν ὅτι καλῶς ὑπέχειν δοκοίη τὸ προφερόμενον· ὕβρις γὰρ παρὰ τῶν ἐμπαθεστέρων νουθετεῖσθαι· εἰ γὰρ καλὸν ἐστὶ τὸ λεγόμενον, ἐχρῆν ἑαυτοῖς ἐπιλέγειν τὸ χρήσιμον· ἀνοίας γὰρ τῆς ἀνωτάτω τυφλόττωντας, περὶ φωταυγίας ἑτέροις διαλέγεσθαι· καὶ πρὸς ἀνάβλεψιν προτρεπομένους ἄλλους, σφᾶς ἐν τυφλώτητι διαμένειν.

Ἄλλος δ' ὑπερβὰς ταῦτα ὡς ἀνθρώπινα 245.
Ἅπανθ' ὅσ' εἶχεν εἰς μίαν βῶλον τινὰ, 246.
Χρυσῆν συνελὼν, ἔπειτ' ἀναχθεὶς εἰς βάθος 247.
Βυθῷ δίδωσι τὴν ἀλαζόνα πλάνην, 248.
Μὴ δεῖν γὰρ ἄλλῳ προξενεῖν τὸ μὴ καλόν. 249.

Οὗτος τὴν πᾶσαν ὕπαρξιν αὐτοῦ πιπράσας, καὶ συναγαγὼν τὸ χρυσίον εἰς μίαν βῶλον, ἀναχθεὶς κατὰ μέσης τῆς θαλάσσης, τῷ βυθῷ προσρίπτει τὴν βῶλον τοῦ χρυσίου, μὴ κρίνας ἄλλῳ παρασχεῖν, ὡς ἂν μὴ τοῦ κακοῦ πρόξενος ἄλλοις γένηται· ἀλαζωνίαν γὰρ ἔφασκεν τὴν ἀπὸ τοῦ πλούτου πλάνην ὑπάρχειν.

Δηλοῦσι σησαμοῦσιν ἄρτοι κρίθινοι 276.
Ὑπεξιόντες, καὶ τραγῳδίας ἔπη, 277.
Ὡς ἕν τι καὶ τόδ' εὐστόχως εἰρημένον· 278.
Ὦ ξένε τυράννοις ἐκ ποδῶν μεθίστασο. 279.

Τυράννους οἶδεν ὁ θεολόγος τοὺς θρασεῖς λόγους, ὡς ἐκ τῆς τραγῳδίας· μάλιστα γὰρ οἱ τραγικοὶ τῇ τοιαύτῃ κέχρηνται τροπῇ· σησαμοῦσι δέ φησι κρίθινοι ἄρτοι, τοῦτ' ἔστιν

εὐτελεῖς· τοῦτο δὲ παράδοσις ἐστὶν· τοιοῦτον μὲν ἐστὶν το παρὰ τραγικοῖς μᾶλλον δὲ κωμικοῖς λεγόμενον, ὅτι διὰ τῶν ἡδυτέρων ἄρτων τοὺς εὐτελεῖς ἀποφαυλίζουσιν ἄρτους· καταπαίζει οὖν ὁ Θεῖος Γρηγόριος τῇ παραδόσει χρώμενος τῷ διὰ τῆς στομυλίας τῆς ἡδυνούσης ἐν τῷ φθέγγεσθαι ἀποφαυλίζειν τοὺς παρατυγχάνοντας διελέγχων αὐτούς· τοιοῦτος δὲ ἦν ὁ Διογένης· αὐτὸς γὰρ τοὺς ξένους ὑπεξήστησεν, ἵνα εἴ τι Διογένης διὰ τῆς στομυλίας ἐποίει ἀποχωρεῖν τοὺς τὴν σκιὰν αὐτῷ ἐμποιοῦντας· τοῖς τυράννοις δὲ ἀντὶ τοῦ τοῖς λόγοις τοῖς τυραννικοῖς, πειῶν ἀναχωρεῖν τοὺς ἐντυγχάνοντας· σκοπὸς δὲ τῷ Θείῳ Γρηγορίῳ ἀποδεῖξαι μὴ κατ' ἀρετὴν τοὺς ἑλλήνων σοφοὺς ταῦτα πεποιηκέναι, ἀλλὰ κατ' ἐπίδειξιν· τί γὰρ ἔδει φησὶ βωμῶν τε καὶ κηρυγμάτων ἐπὶ τούτοις, εἰ κατ' ἀρετῆς πόθον ἀλλὰ μὴ φαντιῶντες ἔπραττον;

280. Σέριν τε φεύγουσ' ἐκ μέσων ἡδυσμάτων,
281. Ὄψον πενήτων· ἀφθονός τε γῆς χάρις.
286. Καλὸν Κλεάνθους τὸ φρέαρ· καὶ Σωκράτους
287. Τὸ ζῆν πενιχρῶς, τ' ἄλλα δ' ὡς ἀσχήμονα
288. Οἱ Χαρμίδαι τε καὶ σκέπη τριβωνίων,
289. Ὑφ' οἷς τὰ θεῖα τοῖς νεοῖς ὁ γεννάδας
290. Συνῆν· μόνοι γὰρ οἱ καλοὶ νοήμονες.

Κλέανθος καὶ αὐτὸς εἷς τῶν κυνικῶν φιλοσόφων· οὗτος ἔν τινι φρέατι στήσας ἑαυτὸν ἰδρύετο τοῖς παροῦσιν ὕδωρ, καὶ διδοὺς πιεῖν ἐλάμβανεν παρ' αὐτῶν ἄρτον καὶ ἤσθιεν· θαυμάζεται δὲ παρὰ τῶν φιλοσόφων καὶ αὐτὸς ὡς καρτερικός. Ὁ δὲ Σωκράτης φιλόσοφος ὢν περιῆγεν τὴν ἀγοράν, καὶ μειράκια προετρέπετο ἐπὶ φιλοσοφίαν, καὶ μάλιστα πρὸς φιλοσοφίαν ἐνόμιζεν εἶναι ἐπιτήδεια τὰ περικαλλῆ μειράκια·

τοὺς γὰρ εὐμόρφους εἰ φιλόσοφοι λέγουσιν εἶναι καὶ εὐφυεῖς· ἦν οὖν δόξα παρὰ Ἀθηναίοις ὅτι παιδεραστὴς ἦν ὁ Σωκράτης, διὰ τὸ ἐπιλέγεσθαι τοὺς εὐμόρφους· εὑρίσκεται δὲ ὁ Πλάτων ἐν τῷ Θεαιτήτῳ καὶ ποντοχὴ οὕτως λέγων ὅτι καλὸς ὁ Θεαίτητος, καὶ καλὸς ὁ Χαρμίδης· ἀντίρρησιν οὖν ἐν τοῖς λόγοις ἔμφασιν παρέχει ὁ Πλάτων, ὅτι Σωκράτης ὑποπτεύθη τοιοῦτος εἶναι, διὰ τὰς τοιαύτας ὡς εἰπεῖν ἀντερωτήσεις, ὅτι καλὸς μὲν εἶ, ἀλλ' οὐ τὴν ὄψιν, ἀλλὰ τὴν ψυχήν· ὑπενοήθη δὲ ὅτι καὶ τῷ Ἀλκιβιάδι συγγίνεται κατὰ τὸν αἰσχρὸν ἔρωτα· οἱ δὲ περὶ Σωκράτους λέγουσιν ὡς οὐ κατὰ τὸν ἐμπαθῆ, ἀλλὰ κατὰ τὸν θεῖον ἔρωτα. Ἄνυτος οὖν καὶ Μέλιτος ἠτήσαντο τὸν Σωκράτην ὡς δαιμόνια καινὰ εἰσφέροντα τῇ πολιτείᾳ· κατεκρίθη οὖν ὡς διαφθείρων τοὺς νέους ἀποθανεῖν πιόντα κώνειον, καὶ πιὼν ἀπέθανεν· σκέπας δὲ τριβωνίων φησὶ ὑφ' αἷς τοῖς νέοις συνῆν τὰ θειότερα ὡς οἱ περὶ αὐτὸν, ἄλλοι δὲ φασὶν τὰ αἰσχρότερα.

Ἀλκμαίονος δὲ τίς τόδ' αἰνέσει ποτὲ, 294.
Ὃς πρῶτ' ἀθηναίων τῶν ἀοιδίμων φέρων 295.
Ἀνὴρ γένει τε καὶ κράτει πνέων μέγα 296.
Τοσοῦτον ὤφθη χρημάτων ἡττώμενος, 297.
Ὅσον περ εἰκὸς ἦν φανῆναι κρείττονα. 298.

Οὗτος Ἀλκμαίων ἀθηναῖος ἦν, τὸ γένος ἐπίσημος, λίαν τὴν ἐλευθερίαν ἀεὶ φυλάττειν ἐθέλων τοῖς ἀθηναίοις· τυραννιθείσης οὖν τῆς πόλεως ὑπὸ Πισιστράτου, μὴ φέρων δρᾷν δουλευούσας τὰς Ἀθήνας ἐξῆλθεν οὗτος, καὶ δὴ ἐξελθὼν μηχανᾶται, καὶ σκοπὸν εἶχεν, πῶς τὴν ἐλευθερίαν ἀθηναίοις ἀποκαταστῆσαι· ἀπελθὼν οὖν ἐν Δέλφοις εἰς τὸ ἀπολλώνιον ἱερὸν, ἐκμισθοῦται παρὰ Δέλφων τὸ ἱερὸν ἐπὶ μισθόφορα· ἐκμισθωσάμενος δὲ καὶ ἔχων ὑφ' ἑαυτὸν πάν-

τας καὶ πάσας τὰς τοῦ Ἀπόλλωνος διακόνους, πείθει τὴν ἱερείαν τὴν Πυθείαν, ἵνα εἴ τις ποτὲ λακεδαιμόνιος μαντευσόμενος εἰσέλθοι, μηδὲν αὐτὸ λέγειν ἄλλο ἢ ὅτι τὰς Ἀθήνας ὑμῖν λέγει ἐλευθεροῦν ὁ Θεός· τούτου συνεχῶς καὶ πλειςάκις γενομένου, παρορμήθησαν λακεδαιμόνιοι, καὶ ἐξέβαλον ἐλθόντες ἀπὸ τῶν Ἀθηνῶν τοὺς τυράννους· μέγα οὖν κλέος ἔκ τοτε ὁ Ἀλκμαίων ἀπηνέγκατο, τὰς Ἀθήνας ἐλευθερώσας· ἀλλ' ὁ τοσοῦτος ὦφθη χρημάτων ἥττώμενος, ἐλθὼν γὰρ ἐν Λυδίᾳ πρὸς τὸν Κροῖσον, ἐσχάτως γελᾶται παρὰ λυδίοις· Κροῖσος γὰρ ἐν ταμείῳ χρυσίου πάντα προθεὶς ἔχειν ὅσον βούλοιτο τῶν ψηγμάτων τῷ Ἀλκμαίωνι προστάσσει· ὁ δὲ τοὺς κόλπους πλήσας καὶ τὰς γνάθους καὶ τὴν κόμην τοῦ χρυσίου ἐξῆλθεν, καὶ τῆς ἀπληςείας ὅσον ἦν καταγελᾶσθαι τὸν χρυσόπαστον εἰκὸς ὑπὸ Λυδίων τῆς ἀμετρίας αὐτῶν διαπαιζόντων· διὸ φησὶν ὁ Θεῖος Γρηγόριος.

305. Προῆλθε λυδῶν πλούσιος γελώμενος.
306. Τί δ' ὁ Πλάτων σοι καὶ περ ὢν σοφώτατος;
309. Ὁ μὲν καπήλου δυστυχοῦς ἔζη βίον,
310. Πόνους διαντλῶν κέρδεσι θαλαττίοις
311. Ἔλαιον ἦν ὁ φόρτος· οὔπω τοῦτ' ἴσως
312. Ἐρεῖς ἄπλητον καὶ πενία, τί προσνέμεις.
313. Τὸ δὲ τραπέζας προσκυνεῖν τυραννικὰς
314. Πλάτωνα φεῦ λέγων τε καὶ σεμνῶν τρόπων
315. Ἐῶ λέγειν, πράσιν τε καὶ οὐχὶ πράσιν·
316. Εἰ μὴ λίβυς τις τῆς Πλάτωνος Ἑλλάδος,
317. Ὤφθη γ' ἀμείνων καὶ μικροῦ τιμήματος
318. Δόξαν τὲ καὶ Πλάτωνος ὠνεῖται λόγους.

Πλάτωνος τοῦ φιλοσόφου καθάπτεται ὁ Θεῖος Γρηγόριος ὡς καπηλικῶς ζήσαντος, πράσει γὰρ ἐνησχολεῖτο καὶ οὐ

πράσει· τὴν ἐμπειρίαν δὲ αὐτοῦ φησὶν εἶναι εἶναι· τῆς οὖν ἐντως φιλοσοφίας ἀλλότριον τὸ ἐμπορεύεσθαι πραγματεία ἐστὶν· ὁ γὰρ ἐμπορευτὴς βαναυσώδης ἐστὶν ἀλλ' οὐ λόγιος, καὶ γὰρ τὸ πρὸς λόγους ἐντως ἀφιερῶντι δόξα μόνη γένοιτ' ἂν ἡ ἐκ τῶν λόγων· πῶς γὰρ ἂν ἐκεῖνος καὶ λόγιος εἴη πλούτῳ τὴν δόξαν θηρώμενος; ἀλλὰ μὴ καὶ πενία συζῶν ἐσχάτη, τῶν τὰ διαθήματα περικειμένων τῇ σοφίᾳ λαμπρότερος κατοπτεύοιτο· πλὴν ἀλλ' ἴδωμεν τὸν νοῦν τοῦ Θεολόγου· καὶ γὰρ φησὶν· ἔστω πενία σύγγνωσιν πολλάκις ἡ ἐμπορία ὅπερ οὐκ ἔστιν· ἀλλ' ἵνα φησὶ συγκαταβάσει χρησόμεθα, τίς ἂν ἐκεῖνον φιλόσοφον ἐρίσαιτο τὸν τραπέζης λίχναις κυνιδίων ἐντετηκότα δίκην; ἢ κ' ἂν γοῦν μοίρας ἀξιώσειεν ἐμφρόνως, σαίνοντα καθορῶν τοῖς ὡσεὶ κοψίχας αὐτῷ προσρίπτουσιν, ἢ τινὸς ἀποκεκνισμένου κωλεοῦ μοίραν τροφὴν κυνός; ὃ δὴ φησὶ Γρηγόριος ἄγαν λυμώττοντος· εἰ γὰρ δεσπότην παθῶν τὸν φιλόσοφον ὁ τῆς ἀληθείας ἐπίσταται λόγος, τὸν κιλίας ὑπόφορον ἀργυρωνήτων εἰκοτρίβων τὸν εἰκότριβα φιλόσοφον χείρονα καταθήσεται· πρὸς δὲ τὰς δεκούσας σαθρὰς ἀπολογίας ἀρκετὸν εἰς ἀπόδειξιν τὸ καὶ βασιλέων αὐτῶν ἰσχυρότερον εἶναι καὶ παθῶν αὐτοκράτορα τὸν φιλόσοφον· οὐ γάρ ἐστι μηχανὴ τοῖς ὅπως οὖν ἀμιλλωμένοις ἑλεῖν τὸν φιλόσοφον· τὸ γὰρ κατὰ ψυχὴν τρόπον τινὰ συμπεπλεγμένον αὐτῷ καὶ συνημμένον, οὐ βυθὸς, οὐ θωγμὸς, οὐ γυμνώτης, οὐ μάσιγες, οὐ δὲ μάχαιρα καθαρίσαι δυνήσονται· τοίνυν φιλόσοφος ἐκεῖνος κεκλῆσθαι καὶ λόγιος, ὃς καὶ θωπείας καὶ πλούτου καὶ τῶν ἄλλων φημὶ, τῶν πρὸς τὸ ἀβρεδίαιτον ὑπέρτερος καθῆται· πρὸς ὃν καὶ γῆς κρατοῦντες ἐπείγονται τύραννοι καὶ μεγιστάνες· ἀλλ' οὐχ ὡς ἐμπορίας εἵνεκα καὶ τραπέζης λίχ-

νης ἡδυβόρων βεβαρημένης ὀψῶν καὶ κυλικος ἡδυπότου ταῖς τῶν πλουσίων ἀράχνης δίκην ἐντέτηκε γωνίαις· ὁρθρίζειν γὰρ οὐχ ὁ πλούσιος ἀλλ' ὁ σοφὸς καὶ τοὺς ἀπαιδεύτους ἡ Σολομῶντος βούλεται παροιμία· καὶ μὴν καὶ Γρηγορίου τοῦ Θεσπεσίου, ἰαμβός ἐστιν καίριος γεγραμμένος· – σοφῶν θύρας ἔκτριβε, πλουσίων δὲ μή· – πῶς ἂν οὖν ὁ πρὸς ἓν ὀρθρίζειν ἅπαντας ἔδει καὶ φέρεσθαι, φερόμενος μᾶλλον καὶ τῶν ἀλσγωτέρων ταῖς θύραις παρεδρεύων κληθείη φιλόσοφος; ἤ τινος καὶ γοῦν μοίρας λογιότητος μετειληχέναι πιστευθήσεται; ἀλλ' ἴδωμεν τὴν ἱστορίαν· ἔστι δὲ καὶ κατὰ τὴν Πλάτωνος λυχνίαν· Πλάτων τοίνυν ὁ φιλόσοφος ἀκούων ὅτι μεγαλοφυὴς ἐστὶν ὁ Διονύσιος ὁ τῆς Σικελίας τύραννος, ἔπλευσεν πρὸς αὐτὸν καὶ οἱ μὲν ἐξηγηταὶ τοῦ Πλάτωνος οἱ νεώτεροι φασὶ διὰ δύο τοῦτον αἰτίας καταπλεῦσαι, τοῦ ἱστορῆσαι τὸ πῦρ τὸ ἐκ τῆς Αἴτνης ἀναδιδόμενον, καὶ τοῦ πεῖσαι Διονύσιον φιλοσοφῆσαι· πολλοὶ δὲ τῶν ἱστορικῶν καὶ τῶν ἀρχαίων φιλοσόφων φασὶν, ὡς διὰ λιχνίαν πρὸς τὸν Διονύσιον ἀπῆλθεν ὁ Πλάτων· οἷς καὶ ὁ μακάριος Γρηγόριος μᾶλλον συντίθεται, καὶ οὐ τοῖς νεωτέροις Πλάτωνος ἐξηγηταῖς· λέγει δὲ καὶ Ξενοφῶν εἰς τὴν πρὸς Αἰσχίνην ἐπιστολὴν, ὡς διὰ λαιμαργίαν ὁ Πλάτων εἰς τὴν Σικελίαν πρὸς Διονύσιον τὸν τύραννον ἀπῆλθεν· ὅπερ φησὶ καὶ ὁ Θεῖος Γρηγόριος ἀλλαχοῦ, ὅτι διὰ τὴν πολυτέλειαν τῶν ἀρίστων Διονυσίου ἀπῆλθεν· καὶ πιεῖται τεκμήριον τὸ καὶ πραθῆναι αὐτὸν, ἐπράθη γὰρ τῷ ὄντι· λαβὼν γὰρ αὐτὸν ὁ Διονύσιος δέδωκε τῷ ναυάρχῳ Πελλίδι τῷ λακεδαιμονίῳ τῷ τηνικαῦτα διάγοντι ἐκεῖσε· εἶτα ὁ Πελλὶς ἐλθὼν εἰς Αἴγυπτον, πωλεῖ αὐτὸν πεντήκοντα μνῶν τῷ Ἀννικέρει.

319. Τοῦ δ' ἐκ Κυρήνης μέγα μὲν ἡ παῤῥησία·

Ὅμως δ' ἔμιξε τῷ ἐλευθέρῳ τρυφὴν, 320.
Βλάπτων τὸ καλὸν ἁλμυρῷ τῷ δόγματι, 321.
Μύρον γὰρ ὄζον σὺν πότῳ κατέπνεεν· 322.
Τὸ δ' εὐχάριστον τοῦ τρόπου καὶ στωμύλον 323.
Ὁδηγὸν εἶχε λημμάτων. 324.

Ξενοκράτης ὁ τοῦ Πλάτωνος μαθητὴς, ὁ τὴν στοϊκὴν αἵρεσιν ποιήσας, σώφρων μὲν εἶναι λέγεται ἀλλὰ τρυφητὴς· τοσοῦτον δὲ σώφρων εἶναι λέγεται ὁ Ξενοκράτης ὅτι καὶ τρυφῶν οὐκ ἐκινεῖτο πρὸς τὰ ἀφροδίσια· διὰ τοῦτο οὗτος φησὶ τάξαι τὰ πάθη ὑπακούειν τῷ λόγῳ· ὁ οὖν μακάριος Γρηγόριος ὡς λαιμάργου κατηγορεῖ αὐτοῦ· καὶ ταῦτα μὲν περὶ Ξενοκράτους· τῷ γὰρ εἰπεῖν ὅτι τῷ ἐλευθέρῳ τὴν τρυφὴν ἔμιξεν, πείθει περὶ Ξενοκράτους εἰρῆσθαι, ὡς ἂν δὲ μὴ τὴν ἱστορίαν ἀμφίκρημνον καταλίποιμεν· εὔκαιρον καὶ περὶ τῆς στωμυλίας εἰπεῖν καὶ παῤῥησίας· τὸν γὰρ Διογένην αἰνίττεσθαι δοκεῖ μοι τῷ λόγῳ· οὗτος γὰρ κυνικὸς ἐλέγετο φιλόσοφος, κυνικὸς δὲ ἐκλήθη ἀπὸ μεταφορᾶς τῶν χερσαίων κυνῶν· ὥσπερ γὰρ οἱ κύνες ἔχουσι τί καὶ οὗτοι καὶ φυλακτικὸν καὶ διακριτικὸν, διακρίνουσι γὰρ τοὺς οἰκείους τῶν ξένων καὶ φυλάττουσιν, οὕτω καὶ οὗτος ἐμιμεῖτο τὸ διακριτικὸν καὶ φυλακτικὸν, καὶ τὰ μὲν τῆς φιλοσοφίας ἐφύλαττεν δόγματα, διέκρινε δὲ τοὺς ἐπιτηδείους καὶ ἀνεπιτηδείους πρὸς φιλοσοφίαν· οὗτος οὖν ὁ Διογένης τοιοῦτος ὢν, ἦν εἰκότως εὐπαῤῥησίαστος· ἤλεγχε δὲ καὶ δυνάστας καὶ ἐλλογίμους, καὶ πάντα ἄνθρωπον δῆθεν διὰ τὸ καλὸν· ἐλέγχων δὲ, ἀστειώτερον καὶ γελοιωδέστερον ἤλεγχεν· πρὸς τοῦτο οὖν ἀποβλέπων ὁ θεῖος Γρηγόριος, ἀπατητικὸν αὐτὸν μᾶλλον ἢ φιλόσοφον καλεῖ· στωμυλία γὰρ ἡ κατὰ ἀστειότητα προερχομένη, ἀπάτη.

Οὕτω ποτε
325. Στολῇ γυναικῶν Ἀρχελάου τοῦ σοφοῦ
326. Οὐκ εἶδ' ὅπως τε καὶ δι' ἣν τὴν αἰτίαν
327. Δωρουμένου, Πλάτων μὲν οὐ προσήκατο
328. Ἴαμβον εἰπὼν καίριον ἐξ Εὐριπίδου,
329. Οὐκ ἂν δυναίμην θηλὺν ἐνδῦναι στολήν·
330. Ὡς δὲ τὸ δώρημ' ἦλθεν εἰς αὐτοῦ χέρας
331. Φέροντος ἀνδρὸς καὶ προθύρως λαμβάνει
332. Καὶ τὴν ἰάμβου κομψότητ' ἰαμβίῳ
333. Βάλλει τόδ' εἰπών· καὶ γὰρ ἐν βακχεύμασιν
334. Οὕτω γε σώφρων οὐ διαφθαρήσεται.

Ταύτην οὐκ ἄν τις ἱστορίαν καλέσοι, κατηγορίαν δὲ· καὶ γὰρ τὸ δρᾶμα διηγεῖται ὡς Ἀρχελάου στολὴν γυναικείαν παρέχοντος, Πλάτων οὐ προσήκατο, ἴαμβον ἐξ Εὐριπίδου φθεγξάμενος· ὕστερον δὲ φέροντος ἄνδρος καὶ προσήκατο, καὶ τὴν ἰάμβου κομψότητα βάλλει ἰαμβείῳ, ὡς εἴ γε σώφρων οὐ διαφθαρήσεται, γυναικείαν καί περ ἀμφιβαλλόμενος στολήν· τοῦ λόγου σημαίνοντος τὸ τῆς λιχνείας αὐτοῦ καὶ τοῦ τρόπου τὸ πλεονεκτικόν· ταύτῃ γὰρ δουλότροπος ἡ φιλόσοφος φωραθήσεται.

335. Ὁ δ' αὐτὸς Ἀρχέλαος, ὡς φασιν, ποτὲ
336. Λαβεῖν θελήσαντός τι τοῦ Σοφοκλέους,
337. Εὐριπίδῃ δίδωσι τῷ σοφοτάτῳ,
338. Τοσαῦτ' εἰπειπών, σὺ μὲν ἄξιος δοκεῖς
339. Ζητεῖν, ἔμοι γε λαμβάνειν Εὐριπίδης
Δεικνὺς ὅπως ἄριστον εὐγενὴς τρόπος.

Καὶ ταύτην κατηγορίαν εἰκότως ὑπολητέον, ἣ συμπέπλεκται καὶ τίς ἔπαινος· ὡς ὁ μὲν Σοφοκλῆς δουλοπρεπῶς ᾔτει λαβεῖν παρὰ τοῦ Ἀρχελάου, ὁ δὲ τῷ μηδὲν αἰτή-

σαντι δίδωσιν Εὐριπίδη, κρίνας ἐκεῖνον εἶναι μᾶλλον φιλόσοφον τὸν καὶ πρὸς τὰ δεκτὰ δυσχερῆ καρτερικὸν καὶ ἀνάλωτον· τοῦτο δὲ καὶ ἀλλαχοῦ ταῖς παρθενικαῖς ὑποθήκας ὁ θεῖος εἰσάγει Γρηγόριος ὧδε φάσκων δι' ἐπῶν, μή σε δολώσῃ – χρειὼ ἥ τε τάχιστα καὶ ἐμφρονα φῶτα δαμάζει. Καὶ αὖθις· μάζα στινὴ σοι καὶ σπέπι τὸ φορτίον – ὧν μήποτ' αἰσχρὸν εἵνεκεν πάθῃς. carm. II 211.

Τάξας δὲ τοῖς ἕλλησι τοὺς φόρους ποτὲ 341.
Ὁ Λυσιμάχου καὶ τ' ἄλλα τῶν πρώτων φανεὶς 342.
Ἐν δημαγωγίαις τε καὶ στρατηγίαις 343.
Τοσοῦτον ὤφθη χρημάτων ἀνώτερος, 344.
Ὥσθ' ὅτι μὲν ἔσχε τοὔνομ' ἐκ τῆς πράξεως 345.
Δίκαιος ὢν τε καλούμενος εἰς ἔτι 346.
Ἑκὼν παρήσω, τὰς δὲ παίδας ἡ πόλις 347.
Ἐκθοῦσα τιμᾷ χρήμασι πενίαν καλὴν 348.
Αὐτόν τ' ἔθαψεν οὐκ ἔχονθ' ὅθεν ταφῇ. 349.

Τὴν ἀρετὴν παριστῶν τοῦ ἀνδρὸς φησὶν ὅτι καὶ στρατηγίας ἄγων καὶ δημαγωγίας καὶ φόρους τάξας χρημάτων ὑπερίδεν, ἐξ ὧν βουλομένῳ κτήσασθαι δυνατὸν ἦν· τοσοῦτον δὲ χρημάτων ἀνώτερος ὤφθη ὡς καὶ πενίᾳ συζῆν ἐσχάτῃ, τάς τε γὰρ παίδας αὐτοῦ φιλοφρόνως τιμήσασα χρήμασιν ἡ πόλις ἀντὶ τῆς ἐναρέτου πενίας ἐκδέδωκεν, αὐτόν τε κηδίας ἠξίωσε περιφανοῦς οὐ κεκτημένον ὅθεν κηδευθείη· καὶ τί γὰρ πλέον ἢ δίκαιον εἰς ἔτι καὶ νῦν, αὐτὸν ἀναγορεύεσθαι τῆς ἀρετῆς ὁ τρόπος πεποίηκεν.

Ὡς μὴ παλαισῖς ἰσχυριζοίμην μόνον 351.
Πύῤῥου κρατήσας ἐν μάχῃ Φαβωρῖνος 352.
Ἦν δὲ στρατηγὸς τῶν περιβλέπτων ἄγαν 353.
Καὶ τοῖς δ' ἐνίκα μᾶλλον, ὡς γὰρ εἰς στενὸν 354.

355. Ὁ Πύῤῥος ἦλθεν ἐλπίδων ἐφειράθη
356. Χρυσοῦ ταλάντοις τὸν στρατηγὸν ἁρπάσαι·
357. Ὁ δ' οὐκ ἐδέξατ' ἀλλ' ὅμως ἐσπείσατο.
358. Ἐπεὶ δ' ὁ Πύῤῥος ὡς λέγουσ' εἰρηνικά,
359. Παίζων πρὸς αὐτὸν, τῶν ἐνόπλων θηρίων
360. Ἓν τῶν ἐλέφανθ' ὑπερφυᾶ τε καὶ μέγαν
361. Οὔπω κατ' ὄψιν οἱ τέως ἐγνωσμένον
362. Ἔδειξε ῥινὸς ὑπερφανείσης ἀθρόως
363. Οὔτ' ἐπτοήθη καὶ τὸ δ' εἶπεν ἵλεως
364. Οὔ μ' οὔτε χρυσὸς εἷλεν οὔτε θηρίον.

Βούλεται τὸν Φαβωρῖνον καὶ αὖθις τὸν τῶν ῥωμαίων στρατηγὸν ἐκ ταύτης ὑπεξάραι τῆς ἀρετῆς· καὶ γὰρ φησὶ Πύῤῥου, τύραννος δὲ οὗτος κατακρατήσας ἐκείνου, χρυσοῦ ταλάντοις αὐτὸν ἀνθέντος ἀπατῆσαι, οὔτε τὸ χρυσίον προσήκατο, καὶ πρὸς φιλανθρωπίαν ἐπένευσεν· καὶ δὴ τῶν ἐνόπλων θηρίων ἐλέφαντα προσχαρῶς τῷ Φαβωρίνῳ (1) αἰφνίδιον παραστήσας οὐκ ἐξεδειμάτωσεν, ὡς ἄξιον εἶναι μνήμης τὸ παρὰ τοῦ Φαβωρίνου (2) λεχθὲν, ὡς οὔδε χρυσός με βέλτιστε οὔτε θηρίον εἷλεν.

374. Πένητος ἀνδρὸς οὐδὲν ἀθλιώτερον,
375. Ἄνευ δὲ χαλκοῦ Φοῖβος οὐ μαντεύεται.

Πολλοὺς μὲν τῶν χρημάτων ὑπερφρονήσαντας ἐπαίνων ἀξιώσας ὁ θεῖος Γρηγόριος, ὡσαύτως καὶ τῶν ἡττηθέντων ἅτε δουλοτρόπων καταστύσας, συμβουλίαν τινὰ πρὸς τὸ κοινῇ συμφέρων προβαλλόμενος, πειθεῖν δοκεῖ τὸ φιλοσοφοῦντας μὴ χρημάτων ἥττᾶσθαι· πρὸς δὲ τὰς πολλῶν ἀφορῶν προαιρέσεις, ἠδικεῦται τινὲς ἐξ αὐτῶν εἰσάγων ἀπο-

(1) Codex Φαβωρίῳ. Dic potius Φαβρικίῳ, hoc et alibi.
(2) Cod. Φαβωρίου.

λεγίαν, ὡσεὶ καὶ πλείονα τούτων διεξιέναι, τῶν χρημάτων αὐτῆς οὐκ ἂν γένοιτό τι προτιμώτερον· οὐ γὰρ γένος ἐστὶν γενίζειν, ἡ γὰρ τρυφὴ καὶ τοῦ πλούτου τὸ λῷστον τοῦτο δή γένος, ἀλλ' οὐδὲ πένητος ἀνδρὸς ἀβλαβέστερον τί τῶν ὄντων εἴη, καὶ Φοῖβος αὐτὸς καίπερ εἶναι θεὸς νομιζόμενος ἄνευ χαλκοῦ οὐ μαντεύεται· οὐ γὰρ τῷ Ἀλκμαίωνι τὸν Ἀδραστον ἐλευθεροῦν ὑπήρχθη μὴ τὸ ἐν Δελφοῖς ἀπολλώνιον μισθοφορίᾳ κρατήσαντι, καὶ διὰ τῆς δόσεως τὴν Πυθίαν τὰ φίλα τούτῳ λέγειν, ὡς πάλιν θεοῦ χρησμῳδουμένην πεπεικότι· ταῦτα μὲν πρὸς τὸ τῆς ἀνθρωπίνης μοχθηρίας δυσκάθεκτον, καὶ τὸ πρὸς τὴν ἡδονὴν ἐπιῤῥεπὲς προῄκται τῷ θεολόγῳ· τὸ γὰρ πενιχρῶς ζῆν μετ' ἐλευθερίας ἄμεινον εἶναι τοῦ πλούτῳ κακῶς διαχεῖσθαι βουλομένου τοῦ τῆς ἀληθείας λόγου· τοὔμπαλιν τὸ πλουτεῖν ἀλόγως ἐν ἀφροσύνῃ πρακτέον τοῖς πλείοσι τοῦ φιλοσόφως βιοῦν καὶ αὐτάρκως καὶ τῆς μετὰ πτωχείας ἀρετῆς τε καὶ δικαιοσύνης τὴν ἐν πολυτείᾳ βλάβην τε καὶ ἁμαρτίαν ἐπ' ὀλέθρῳ τῆς οἰκείας αἱροῦνται ψυχῆς· κεῖται δὲ ἡ κατὰ τὸν Ἀλκμαίωνα ἱστορία πρὸ βραχέως· τὸ δὲ λεγόμενον ἄνευ χαλκοῦ Φοῖβος οὐ μαντεύεται, δημῶδες ἐστὶν καὶ ἀρχαῖον· Φοῖβον δὲ καλοῦσιν Ἕλληνες τὸν Ἀπόλλωνα, οὗ καὶ τὰ μαντεῖα.

Σοφὸν πένητα μᾶλλον ἢ Μίδαν κακόν. 391.

Ὁ Μίδας οὗτος Φρυγίας ἦν βασιλεύς· ἦν δὲ καὶ φιλάργυρος καὶ χρυσομανής τις, ὡς τὸ ἔργον ἐδήλωσεν· εὔξατο οὖν ἵνα οὗ ἐὰν ἅψηται, χρυσὸς γένηται· εἰσηκούσθη οὗτος, καὶ οὗ ἐὰν ἥψατο ἢ χειρὶ ἢ στόματι, χρυσὸς ἐγένετο, καὶ οὕτως πάντα μὲν ἦν αὐτῷ χρυσός· μὴ δυνάμενος δὲ φαγεῖν, ἀπώλετο· καὶ γὰρ ἡ τροφὴ ἡ διδομένη αὐτῷ διὰ τοῦ στόματος ἀπεχρυσοῦτο, ἐφθάρει οὖν τῷ λιμῷ· ἄλλοι

δὲ ἱστορεῦσιν ὅτι χρησμὸν λαβὼν ἔζησεν, ἦν δὲ ὁ χρησμὸς διελάσαι ἅρματι, καὶ ὅπου ἂν ἐπισθῇ τὸ ἅρμα σῆναι, καὶ κτίσαι πόλιν· καὶ ἐποίησεν οὕτως, καὶ κτίζει τὴν Ἄγκυραν τῆς Γαλατίας, ἔστι δὲ ἄγκυρα σιδήριον πλοίου ποταμίου, ὅπερ ἐπισχὼν ἔστιξε τὸν Μίδαν, καὶ οὕτως ἐκτίσθη ἡ πόλις καὶ ἐκλήθη Ἄγκυρα.

393. Ληρεῖ δέ μοι Θεόγνις ὡς λῆρον πλατὺν
394. Κρημνοὺς προτιμῶν τῆς ἀπορίας καὶ βυθοὺς
395. Κακῶς τε κύρνῳ νομοθετῶν εἰς χρήματα.

Οὗτος Θεόγνις φιλόσοφος ὢν, ἤνθει κατὰ τοὺς καιροὺς Κύρου τοῦ περσῶν βασιλέως· Κῦρος δὲ φιλόχρυσος ὢν καὶ τάφον ἐπὶ χρήμασιν ἀνοίξας, ἐντὸς οὐδὲν εὑρηκὼς πλέον σηλιτεύεται· ὁ δὲ Θεόγνις κακὸς αὐτῷ νομοθέτης ἦν εἰς χρήματα, ταύτην ἀνθρώποις μόνην εὐδαιμονίαν ἰσχυριζόμενος, πλέον αὐτῷ τὸ πάθος ἀναφλέγων· ὅρον δὲ τίθησι τῆς πενίας κρημνοὺς καὶ βυθοὺς καὶ ἀγχόνην προκρίνειν ὡς τὰ μάλιστα.

296. Ὅμηρε καὶ σὺ πῶς τοσοῦτον ἀστάτῳ
297. Πράγματι νέμεις, ὥσε φράσαι ποῦ τῶν ἐπῶν
298. Ὀπηδὸν εἶναι τὴν ἀρετὴν τῶν χρημάτων;

Ὅμηρος ὁ ποιητὴς τῶν χρημάτων εἰπὼν τὴν ἀρετὴν ἀκόλουθον εἶναι, αὐτὸς αὖθις ἀπολογεῖται ὡς οὐχ οὕτως ἔχων εἴρηκε, ἀλλ' ὡς τοὺς ἔχοντας οὕτως ἀθλίως· ἀρκετὸν γὰρ πρὸς ἀπόδειξιν τὰ κατὰ τὸν Ὀδυσσέα, ὃς γυμνὸς ναυηγὸς καὶ ἀλήτης ἐσχάτως ἐκ θαλάσσης ῥιφεὶς, τοῖς συνετοῖς λόγοις κατήδεσεν τὴν βασίλειαν, καὶ τοῖς Φαίαξιν καὶ τῷ Ἀλκινόῳ τιμιώτερος ἦν τῶν ἄλλων ἁπάντων.

409. Πλήρη γενέσθαι τῆς ἀμετρίας δίκην
410. Θεὸς τίθησιν ὥνπερ ἠξίου τυχεῖν,
411. Οὗ χρυσὸς ἦν ἄβρωτος, ὃς δ' εἶχε νέκυς.

Κεῖται ἡ παροῦσα ἱστορία πρὸ βραχέος.

Αὕτη γε μήτηρ καὶ τάφος γεννημάτων 425.
Κόπτουσα τοὺς κόπτοντας ὡς δίκη δίκην 426.
Τοῦ πρωτοπλάστου γεύσεώς τε καὶ πλάνης. 427.

Μεταγαγὼν τὴν ἀπὸ τῶν ἔξωθεν διάλεξιν ἐπὶ τὴν ἔντος φιλοσοφίαν περὶ τῆς γῆς διαλέγεται, καὶ τῶν κατὰ τὸν βίον ἀρχόμενος ὡς ἡμῖν τοῖς τὰ θεῖα φιλοσοφοῦσιν γῆ τε καὶ τὰ ἐν αὐτῇ περιττὰ, μόνη δὲ τῶν ἐλπιζομένων ὑπόστασις· αὕτη γὰρ φησὶν ἡ γῆ καὶ μήτηρ καὶ τάφος ἐστὶ τῶν τέκνων κόπτουσα τοὺς κόπτοντας αὐτὴν, ἀφ' οὗ τῆς ἐντολῆς ὁ Ἀδὰμ ἐπελάθετο καὶ τῆς πικρᾶς ἡττήθη βρώσεως.

Ἐδέμ τε καὶ παράδεισος εὐθαλὴς φυτοῖς 468.
Πηγή τ' ἐς ἀρχὰς τέσσαρας τετμημένη. 469.

Ἡ Ἐδὲμ γῆ πυρρὰ λέγεται· ὁ δὲ παράδεισος ἔστιν ὃν ὁ Θεὸς ἐφύτευσεν ἐν Ἐδὲμ, ἐν ᾧ καὶ τὸν Ἀδὰμ ἔθετο, ὃν καὶ πηγὴ ἀναβαίνουσα ἐπότιζεν, ἥτις εἰς τέσσαρας ἀφορίζεται.

Τὸν πατριάρχην τὸν θεόπτην τὸν μέγαν 490.
Οἴκου γένους τε πατρίδος ἐξελκύσας 491.
Ὁ τῶν μεγίστων οἰκονόμος μυστηρίων 492.
Εἰς γῆν μετήγαγ' εὐκόλως ἀλλοτρίαν 493.
Ξένον, πάροικον, ἄστεγον, πλανώμενον· 494.
Πίστις γὰρ ἦγεν ἐλπίδων τῶν μειζόνων. 495.

Φησὶν ὁ Θεὸς τῷ Ἀβραὰμ ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, καὶ δεῦρο εἰς γῆν ἣν ἄν σοι εἴπω· καὶ ἐξῆλθεν μὴ ἐπιστάμενος ποῦ ἀπέρχεται, καὶ κατεσκήνωσεν τὴν γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν· Ἀβραὰμ δὲ ἐκ Χαρρὰν ὑπῆρχεν, τῆς πρὸς τῇ Μεσοποταμίᾳ Συρίας· πιστεύσας δὲ τῷ

Θεῷ καὶ ταῖς μεγάλαις ἐλπίσι τρεφόμενος τὲ καὶ στηριζόμενος, τῶν ἐπαγγελιῶν ἐπιτυχὼν κληρονόμος Θεοῦ ἀνεδείχθη.

496. Ἄρτον δ' Ἰακὼβ καὶ σκέπην ἥτει μόνον
497. Ὁρμῶν ποταμῶν πετ' εἰς μέσην, ὥσπερ λέγος,
498. Εἰ καὶ πολυθρέμμων ἐπάνεισιν ὕστερον.

Ἐκ προσώπου Ἡσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ ἀποδιδράσκων Ἰακὼβ, ὡς ἤδη λέλεκται, τῆς κατὰ τὴν κλίμακα θεοπτίας δι' ὕπνου πρότερον ἀξιωθεὶς, ἀναστὰς ηὔξατο λέγων, ἐὰν ᾖ κύριος ὁ θεὸς πατέρων μου ἐν τῇ ὁδῷ ταύτῃ ᾗ πορεύομαι, καὶ δῷ μοι ἄρτον φαγεῖν καὶ ἱμάτιον περιβαλέσθαι καὶ ἀποστρέψει με μετὰ σωτηρίας εἰς τὸν οἶκον τοῦ πατρός μου, καὶ ἔσται κύριος μοι εἰς θεὸν, καὶ ἡ στήλη ἣν ἔστησα, ἔσται μοι οἶκος θεοῦ· καὶ πάντων ὧν μοι δῷης, δεκάτην ἀποδεκατώσω αὐτά σοι· ταῦτα μὲν εὐξάμενος ᾤχετο· γενόμενος δὲ ἐν Χαρρὰν πρὸς Λάβαν τὸν ἀδελφὸν τῆς μητρὸς αὐτοῦ, καὶ ὡαρ' αὐτῷ κατοικήσας εἴκοσι χρόνους τήν τε Λίαν καὶ τὴν Ῥαχὴλ τὰς θυγατέρας Λάβαν ἀγόμενος ἑαυτῷ γυναῖκας, πολύπαις καὶ πολυκτήμων, τῆς Μεσοποταμίας ἐπάνεισιν, ὡς ἀλλαχοῦ πλατύτερον δηλωθήσεται.

500. Μωσῆς ὅτ' εἴσω τοῦ γνόφου μόνος μόνῳ
501. Θεῷ προσωμίλησε καὶ πλαξὶ νόμον
502. Διπλοῦν ἐδέξαθ' ᾧ λεὼν ἦγεν μέγαν.
503. Τότ' οὖν μερίζων ἣν κατέσχεν ἐκ θεοῦ
504. Ἄλλαις μὲν ἄλλην γῆν ἐμέτρησε ξένην,
505. Υἱοῖς δὲ Λευὶ κλῆρον οὐ νέμει μόνοις,
506. Κλῆρος γὰρ αὐτοῖς ὁ κράτιστος ἦν θεός.

Μωϋσῆς εἴσω τῆς νεφέλης χωρήσας, καὶ τὸν νόμον δεξάμενος, πάσαις μὲν ταῖς φυλαῖς διὰ θείου προστάγμα-

τος ἔνειμεν κληρονομίαν, τὴν δὲ φυλὴν Λευὶ οὐ συνηρίθμησεν· ὁ γὰρ κύριος μερὶς καὶ κλῆρος τοῖς λευίταις· οὗτοι δὲ τὰς ἀπαρχὰς καὶ δεκάτας τοῦ λαοῦ ἠγιάζοντο. Κεῖται ἐν τῷ ιβ' λόγῳ περὶ Μωϋσέως.

Ἰωναθὰβ δὲ παισὶν εἰσάγων ποτὲ 507.
Ἀκτησίαν τε καὶ τὸν ὑφηλὸν βίον. 508.

Κεῖται ἐν τῷ γ' λόγῳ.

Οὗτος μὲν οὖν τοιοῦτος· Ἠλίαν δὲ πού 522.
Θήσομεν, ὃν Κάρμηλος ἔτρεφε μέγας; 523.

Ἠλίας ὁ Θεσβίτης εἰς τὸ Καρμήλιον ὄρος ἡσυχάζων, τῷ Θεῷ προσωμίλει, καὶ τῶν μεγίστων θαυμάτων ὧν ἐπεδείξατο θεὸν ἔχων ἀμύντορα καὶ συνήγορον, ὑπερβὰς τὰ ἀνθρώπινα, ζῶν μετετέθη πυρὸς ἅρματι ὡς πρὸς οὐρανὸν ἀναβάς. Κεῖται ἐν τῷ γ' λόγῳ ἡ ἐξήγησις.

Ἐλισσαίου τὲ κλῆρος ὃς παρ' Ἠλίου 532.
Χάρις τὲ καὶ τὸ κλεινὸν ἐξ ὕψους θέρος. 533.

Μέλλοντος ἀναλαμβάνεσθαι τοῦ προφήτου Ἠλίου, συνόντος αὐτῷ τοῦ γνησίου μαθητοῦ Ἐλισσαίου, φησὶν Ἠλίας, αἴτησαί τί ποιήσω σοι πρίν με ἀναληφθῆναι ἀπὸ σοῦ· καὶ εἶπεν Ἐλισσαῖος· γενηθήτω δὴ τὸ πνεῦμα τὸ ἐπί σε διπλοῦν ἐπ' ἐμέ· καὶ εἶπεν Ἠλίας· ἐσκλήρυνας τοῦ αἰτήσασθαι· καὶ εἶπεν· ἐὰν ἴδῃς με ἀναλαμβανόμενον, καὶ ἔσται σοι οὕτως· ἐὰν δὲ μή, οὐ μὴ γένηται· καὶ ἐγένετο πορευομένων αὐτῶν ἐπορεύοντο καὶ ὡμίλουν, καὶ ἰδοὺ ἅρμα πυρὸς καὶ ἵπποι πυρὸς, καὶ διεχώρησαν ἀνὰ μέσον ἀμφοτέρων, καὶ ἀνελήφθη Ἠλιοῦ ἐν συσσεισμῷ ὡς εἰς τὸν οὐρανὸν, καὶ Ἐλισσαιὲ ἑώρα καὶ ἐβόα, πάτερ πάτερ, ἅρμα Ἰσραὴλ καὶ ἱππεὺς αὐτοῦ· καὶ οὐκ ἴδεν αὐτὸν οὐκ ἔτι· καὶ ἐπελάβετο τῶν ἱματίων Ἐλισσαιὲ, καὶ διέῤῥηξεν αὐτὰ

εἰς δύο ῥήγματα, καὶ ὕψωσεν Ἡλιοῦ τὴν μηλωτήν, ἣ ἔπεσεν ἐπάνωθεν Ἐλισσαιέ, καὶ ἐπέστρεψεν Ἐλισσαιέ.

534. Ὁ δὲ πρὸ γαστρὸς ἱερός, ὦ τοῦ θαύματος,

535. Πάντως ἀκούεις τὸν Σαμουὴλ τὸν μέγαν.

Κεῖται ἡ ἐξήγησις ἐν τῷ α΄ λόγῳ.

Ἀλλ' ἐπεὶ τῷ θεολόγῳ σκοπὸς ἐστὶν τὴν ἀρετὴν τῶν ἁγίων ἀνδρῶν καὶ τὸν ἀπέριττον ἀποδεῖξαι βίον, προσθήσομεν καὶ τοῦτο· Σαμουὴλ ὁ τοῦ θεοῦ ναζιραῖος ἐν ἔτεσι πλείστοις κρίνας τὸν Ἰσραὴλ, γενόμενος κατὰ τὴν ἐκκλησίαν, ἐγκαινιζομένης τῆς Σαοὺλ βασιλείας, λυπηθέντος αὐτοῦ εἶπεν ὁ θεός, μὴ σκληρόν σοι φανείτω· οὐ γὰρ σὲ ἐξουδενώκασιν ἀλλ' ἐμέ· μαρτυροῦντος δὲ τοῦ θεοῦ τῷ προφήτῃ παρὰ καιρὸν ὥρας ἐν ἡμέραις θερισμοῦ πυρῶν, ὑετὸς ἦν πολὺς καὶ βρονταὶ καὶ ἀστραπαὶ τὸν λαὸν ἐκθειματοῦσαι, ὃς ἦν αὐτίκα τοῦ προφήτου ἱκέτης τοῦ τὸν ἵλεω τὸν θεὸν καταστῆσαι· Σαμουὴλ τοίνυν τὴν τούτων μοχθηρίαν διελέγξας, ὡς οὐκ ἀργυρίου ἢ χρυσίου ἢ τινὸς τῶν αὐτῶν ἐπεθύμησεν, οὐδὲ δῶρον μέχρις ὑποδήματος εἰλήφει παρά τινος· καὶ γὰρ φησὶν· ἰδοὺ συνήθροισαι πᾶς Ἰσραὴλ ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ, εἰπάτω δὴ φησὶν ἄνθρωπος καὶ διελεγξάτω με εἰ μέχρις ὑποδήματος παρά τινος εἴληφα· τοῦ δὲ λαοῦ καταιδεσθέντος ἅμα καὶ πτοηθέντος καὶ πρὸς ἱκεσίαν ἀφορῶντος, αὐτὸς φησὶ· μηδαμῶς μοι γένοιτο ἁμαρτεῖν ἐνώπιον κυρίου, τοῦ παρασιωπῆσαι βοᾷν ὑπὲρ ὑμῶν πρὸς κύριον· τοσοῦτον ἡ τοῦ Σαμουὴλ ἀρετὴ, τοσούτου πλήθους παρόντος θαῤῥῆσαι λέγειν, ὅτι μέχρι ὑποδήματος οὐκ εἴληφε παρά τινος, κριτὴς ὑπάρχων καὶ πάντων καθηγούμενος· ὃς δι' εὐχῆς τὰς βροντὰς καὶ ἀστραπὰς καὶ τοὺς ἀπείρους ὑετοὺς θᾶττον ἐπισχών, ἔδειξεν τὴν ἐπ' αὐτῷ τοῦ θεοῦ εὐδοκίαν τε καὶ ἐπίπνοιαν.

Τίς ἦν παλαιὸς καὶ νέας μεταίχμιον 539.
Θεοῦ διαστικὸν ὡς σκιᾶς καὶ σώματος, 540.
Τὴν μὲν κατείργων τῆς δ' ἀνείγων εἰσόδους 541.
Τίς φωτὸς ἄκρου πρωτρίχων λύχνος μέγας; 542.
Τίς ἐν γεννητοῖς πρῶτος, εὐ μάρτυς Διός, 543.
Ἔρημον ᾤκει καὶ ξένην εἶχε τροφὴν 544.
Καμήλιον δ' ἔσθημα δέρματος στρογγῦ 545.
Ἐσφίγγετ'; ἔγραφε τὸν Ἰωάννην λόγος. 546.

Ἰωάννης ὁ Θεῖος πρόαγγελος, ἔρημον οἰκήσας ἀκρίδας εἶχε τὴν τροφὴν καὶ μέλι ἄγριον, τὸ δὲ ἔνδυμα αὐτοῦ τρίχες καμήλων, καὶ ζώνην δερματίνην εἶχεν περὶ τὴν ὀσφὺν αὐτοῦ· τούτῳ προσῆλθον τελῶναι καὶ στρατευόμενοι, τὰ πρὸς σωτηρίαν αὐτοῖς ἐπειπεῖν καὶ ὑποθέσθαι ἀντιβολοῦντες· ὁ δὲ τοῖς μὲν τελώναις μηδὲν πλεῖν παρὰ τὸ διατεταγμένον αὐτοῖς διετάξατο, τοῖς δὲ στρατευομένοις μηδένα ἀδικεῖν καὶ τοῖς ὀψωνίοις ἀρκεῖσθαι· προσελθόντων δὲ καὶ ἑτέρων κἀκείνοις φησὶν, ὁ ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι, καὶ ὁ ἔχων ἄρτους οὕτως ποιείτω· καὶ χρυσίου ἀκτησίαν λόγῳ κηρύττων καὶ ἔργῳ βεβαιῶν, καὶ βίον νομοθετῶν τὸν κοινωνικόν.

Τί δ' ἄν τις εἴποι πρὸς τὸν ἐκ τέχνης τροφὴν 548.
Παῦλον πορίζοντ', ἢ τὸν ἐκ θέρμων μόνων 549.
Τρυφῶντα Πέτρον τοὺς μεγάλους ἀποστόλων; 550.

Παῦλος μὲν ὁ Θεῖος ἀπόστολος σκηνοποιὸς ἦν τὴν τέχνην· φησὶ γὰρ ὅτι παρὰ τῷ Ἀκύλᾳ κατέμεινεν καὶ εἰργάζοντο ἀμφότεροι, ἦσαν γὰρ σκηνοποιοὶ τὴν τέχνην· οὗτος δὲ εὐαγγελιζόμενος ἀθάπανον ἐτίθη τὸ εὐαγγέλιον, καθὼς ποῦ φησιν αὐτὸς· τίς οὖν μου ἐστὶν ὁ μισθὸς, ἵνα εὐαγγελιζόμενος ἀθάπανον θήσω τὸ εὐαγγέλιον, εἰς τὸ μὴ κατα-

χρήσασθαι τῇ ἐξουσίᾳ μου ἐν τῷ εὐαγγελίῳ; καὶ πάλιν· αὐτοὶ γὰρ οἴδατε, ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ αἱ χεῖρες αὗται ὑπηρέτησαν· καὶ αὖθις· νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μή ἐπιβαρῆσαί τινα, εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ εὐαγγέλιον, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχὰς, διότι ἀγαπητοὶ ἡμῖν ἐγενήθητε. Πέτρος δὲ τῶν ἀποστόλων ἡ ἀκρότης, ἐκ θέρμων ἐτρέφετο, καὶ γὰρ προσενεχθέντων · · χρυσίου παρὰ τῆς · · ἅπαντα διαδοὺς, οὐδὲν ὑπελίπετο· καὶ δὴ καταλαβούσης ἑσπέρας μὴ ἐχόντων αὐτῶν ὅθεν τὰς σωματικὰς πορίσονται χρείας, ἀσσαρίου κειμένου θέρμους ὠνησάμενοι τὴν φυσικὴν ἀνάγκην παρηγορήσαντο.

554. Ἄλλοι παρῆκαν συγγενεῦσιν ἁλιάδας
555. Καλούμενοι θεῷ πρὸς ἁλίαν κρείττονα.

Ἰάκωβος ἦν καὶ Ἰωάννης οἱ τῆς βροντῆς· τούτους γὰρ εὑρὼν Ἰησοῦς δίκτυα καταρτίζοντας, ἤδη Πέτρον καὶ Ἀνδρέαν σαγηνεύσας, φησὶ γὰρ δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων· τῶν δὲ ἀπελθόντων, αὖθις τὸν Ἰωάννην καὶ Ἰάκωβον εὑρὼν καὶ προσφωνήσας αὐτοῖς ἀκολουθεῖν, αὐτοὺς μὲν λέγεται τὸ πλοῖον ἀφέντας καὶ τὸν πατέρα Ζεβεδαῖον ἀκολουθῆσαι καλοῦντι Χριστῷ, πάντας τὲ κατὰ τὸν Ἰησοῦ λόγον ἀνθρώπων ἁλιεῖς χρηματίσαι.

566. Ὅρα τὸ μεῖζον· οὐδὲ τῷ νέῳ μαθεῖν
567. Χρήζοντι, πῶς ἂν τοῦ τελείου κατατύχοι·
568. Ἄλλῳ τὸ ἄκρον ἢ μόνῳ περιγράφει
569. Τὸ δεῖν ἅπαντα τοῖς πένησι σκορπίσαι.

Προσῆλθεν τὶς νεανίσκος τῷ Ἰησοῦ καὶ φησὶ, διδάσκαλε ἀγαθὲ, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῷ· τὰς ἐντολὰς οἶδας· καὶ ἁπλῶς

διασαφήσας τοὺς τ' λέγους τοῦ νέου, καὶ τοῦ νεανίσκου ταῦτα πάντα φυλάξαι μεγαλυχοῦντος, φησὶν ὁ Χριστός· εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι· τοῦ δὲ νεανίσκου λυπηθέντος, περὶ κτημάτων γὰρ μάλιστα ἦν, Ἰησοῦς· ὡς δυσκόλως πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν διαπρυσίως ἀπεφήνατο, μᾶλλον δὲ καὶ τὸ τῆς τριμαλίας βελώνης ὑποδείγματι, ὡς θᾶττον ταύτης διελεύσεται κάμηλος, ἢ πλούσιος τὴν βασιλείαν κτήσεται τοῦ Θεοῦ, βεβαιώτερον διεσάφησεν.

Οὕτω τελειοῖ καὶ τελώνας εἰσόδῳ 573.
Πάντα προθύμως τῷ θεῷ δωρουμένους· 574.
Καὶ πειθέτω σε Ζακχαῖος, ὃς πλουτῶν κακῶς 575.
Οἴκτῳ πενήτων τῇδε ἠδικημένων 576.
Πλουτεῖ τὸ πένεσθαι καὶ ῥύπου καθαίρεται. 577.

Ὁ μὲν Ματθαῖος τελώνης ὑπάρχων, φωνήσαντος αὐτῷ τοῦ σωτῆρος ἀκολούθει μοι, καταλιπὼν τὸ τελωνεῖον ἠκολούθησεν αὐτῷ· Ζακχαῖος δὲ τελώνης καὶ αὐτὸς ὑπάρχων καὶ παράγοντι Χριστῷ, διὰ τὸν περὶ αὐτὸν ὄχλον οὐκ ἔχων ὅπως τῆς θέας μετάσχοι, μικροφυὴς γὰρ τὴν ἡλικίαν ἦν, ἄνεισιν ἐπὶ συκομορέαν· οὗ τὴν πίστιν Ἰησοῦς θεασάμενος καὶ τὸν πόθον κατανοήσας προσεφώνησεν, καὶ παρ' αὐτῷ ξενισθεὶς εἰς μαθητείαν ἐφελκύσατο· Ζακχαῖος γὰρ οὗ ἕνεκεν Ἰησοῦς παρ' αὐτῷ ξενισθεὶς τὴν σωτηρίαν τῷ οἴκῳ παρέσχεν αὐτοῦ, πάντα τὰ ὑπάρχοντα πτωχοῖς καθυπέσχετο δώσειν· καὶ εἴ τινος τί ἀφείλατο, ἢ ἠδίκησεν ἢ ἐπλεονέκτησεν, πενταπλάσιον ὡμολόγησεν ἀποτίσειν.

Ἐν πλησμονῇ τὸ Κύπρις, ἐν πεινῶσι δ' οὔ. 587.

Λέγεται Κύπρις ἡ Ἀφροδίτη ἡ αὐτὴ καὶ Παφία· Κρό-

νος δὲ, φησὶ, τοῦ πατρὸς αὐτοῦ τὰ αἰδοῖα, τοῦτ' ἔστι τοῦ οὐρανοῦ, ὡς Ἕλληνες παραληροῦσιν, ἀπέρριψεν· τὰ δὲ κατὰ θαλάσσης πεσόντα συνήγαγον ἀφρὸν πολὺν, ἐξ οὗ γέγονεν ἡ Ἀφροδίτη, καὶ ἐν Κύπρῳ ἐξεβράσθη· λέγεται δὲ τῆς ἡδονῆς ἔφορος εἶναι καὶ τῶν κατὰ τοὺς σωματικοὺς ἔρωτας μανιῶν· Παφεία δὲ λέγεται, ὅτι ἐν Πάφῳ τέθαπται μετὰ Κινύρου· παντὸς οὖν αἰσχροῦ τὴν Ἀφροδίτην ἔφορον εἶναι φασὶν· ὁ τοίνυν θεῖος Γρηγόριος φησὶν ὅτι ἐν τοῖς τρυφῶσι τὸ Κύπρις, τοῦτ' ἔστιν τὰ τῆς Ἀφροδίτης ἔργα πορνεῖαι καὶ ἡδοναὶ καὶ αἰσχρότης· ἐν δὲ τοῖς ἐγκρατευομένοις καὶ πεινῶσιν, οὐδαμῶς.

597. Ὀρθῶς λέγει που Κερκιθᾶς ὁ φίλτατος
598. Τέλος τρυφώντων αὐτὸς ἐσθίων ἅλας,
599. Λυτῆς τρυφῆς τε τ' ἀλμυρὸν καταπτύων;
600. Τίς δ' οὐκ ἐπαινεῖ τὸν τρυφῶντι τῷ νέῳ
601. Φήσαντα παῦσαι προστιθεὶς σοῦ τὰς πέδας
602. Ἐξαγριῶν τε τὸ σπαράσσον θηρίον;
603. Κἀκεῖνο δ' εἶεν στοϊκῶν τῶν φιλτάτων
604. Ὡς ἄλλος ἄλλῳ σαρκίῳ τίς προσλαλῶν.

Τὴν στοϊκὴν διατριβὴν Ξενοκράτης ὁ Πλάτωνος μαθητὴς συνεστήσατο· οὗτοι δὲ τοὺς ἐκ περιπάτου ἀμιλλώμενοι καὶ γαστρὸς κατεῖχον καὶ ἡδονῆς, καὶ τὴν εἰς ἄκρον ἀκτησίαν ἠσπάζοντο· τούτων τις ὡς ἄλλῳ τῷ ἰδίῳ προσδιαλεγόμενος σώματι, τὰς μὲν τρυφὰς προτιθεὶς εὐστόχως τῷ λόγῳ κατέπτυεν, ὅτι χρὴ τὸν φιλοσοφεῖν βουλόμενον διαβαινόμενος τοῖς ἀναγκαίοις πρὸς χρεῖαν ἀρκεῖσθαι, δι' ὧν δυνατὸν τὸ ζῶον διακρατηθὲν μὴ λιμῷ διαφθαρῆναι καὶ θανάτῳ, τὸ δὲ περιττὸν τῆς χρείας οὐ φιλοσόφοις ἀλλὰ τοῖς κτηνώδεσιν ἀνθρώποις παραιτέον.

Τοῦτ' οὐκ ἀμείνω τῶν πάλαι βλακευμάτων 611.
Σαρδαναπαλλοῦ τοῦ Νινοῦ ἧς ὢν ποτε 612.
Πλούτῳ τε λαμπρὸς καὶ τρυφῇ διαφθορᾷ 613.
Ἐβούλετ' αὐτῷ καὶ γυράνου μικίστερον 614.
Λαιμὸν γενέσθαι ἡδονῆς μακρᾶς χάριν. 615.

Σαρδανάπαλλος οὗτος δὲ τρυφητὴς ὢν τοσοῦτον ἀπλήστος ἦν, ὥστε βούλεσθαι καὶ πρὸ θέσεως ἔχειν γυράνου λαιμὸν μικίστερον κεκτῆσθαι· βλακεύματα δὲ φησὶν ὁ θεῖος Γρηγόριος τὰς τῶν ἡθῶν καὶ τρόπων ἐκλύσεις· ταύτας εἰκὼς τοῖς τρυφῶσι παρέπεσθαι.

Ὦ θεῖε Δαβὶδ, σοὶ δὲ διψῶντι φρέαρ 616.
Γῆς ἀλλοφύλων καὶ ποτὸν κρατούμενον, 617.
Ἐπεὶ δι' αἱμάτων τε καὶ μάχης τινὲς 618.
Ὑπηρετοῦντο τῷ πόθῳ, χερσὶν λαβὼν 619.
Ἔσπεισας ὕδωρ, οὐ γὰρ ἐξ ἀλλοτρίων 620.
Κακῶν ἐθέλω τὸν σὸν ἐκπλῆσαι πόθον. 621.

Ὁ μακάριος Δαβὶδ τοῖς ἀλλοφύλοις παρατασσόμενος, ἐν ἀγρῷ αὐλιζόμενος δι' ἐπιθυμίας γέγονε τοῦ ἐκ φρέατος Βηθλεὲμ ὕδατος· τούτῳ μὲν οὖν κατά τινα θειοτέραν ἔννοιαν τὴν ἔφεσιν γεγενῆσθαι φασὶν οἱ τῆς ἐκκλησίας διδάσκαλοι· Χριστὸν γὰρ τὸν ἐν σπηλαίῳ Βηθλεὲμ διψῆσαι φασὶν τὸν Δαβὶδ, καὶ τῷ περὶ τούτου φλέγεσθαι πόθῳ· ἡ δὲ ἱστορία ἔχει αὕτη· Δαβὶδ ηὐλίζετο τοῖς ἀλλοφύλοις παρατεταγμένος· οὗτοι δὲ κύκλωθεν ἀμφὶ τὴν Βηθλεὲμ καθεζόμενοι, τὸ φρέαρ τοῖς ἰσραηλίταις ἀνεπίβατον ἐποίουν· τρεῖς δὲ νεανίαι τῆς ἐπιθυμίας τὸν βασιλέα θεραπεῦσαι τῇ τοῦ ὕδατος ἀρύσει βουλόμενοι, λάθρα τῆς παρεμβολῆς τῶν ἀλλοφύλων μέσης χωρήσαντες, τοῖς ἰδίοις ὅπλοις ἀπείργοντες τοὺς πολεμίους, κάλπην ὕδατος ἀρυσάμενοι τοῦ ποθου-

μένου φρέατος, αὖθις τὴν παρεμβολὴν διασχίσαντες, τῷ βασιλεῖ Δαβὶδ τὸ νᾶμα προσφέρουσιν· δεξάμενος δὲ καὶ μὴ βουληθεὶς ἐν αἵματι τῶν ἀνδρῶν ἐκπιεῖν, σπείσας τὸ νᾶμα καρτερῶς εἶχετο τῆς ἐπιθυμίας ἄνω κείμενος.

652. Πυρὸς δ' ἀπειλὴν καὶ λεόντων χάσματα
653. Ἤνεγκαν, ὥστε μὴ βέβηλον ἐν ξένῃ
654. Τροφὴν πρέσθαι βαρβάρων προστάγματι.

Μέμνηται τοῦ Δανιὴλ καὶ τῶν τριῶν παίδων ὡς τῆς βασιλικῆς τραπέζης τὴν ἐδωδὴν οὐ προσήκαντο. Κεῖται δὲ ἐν τῷ γ' λόγῳ ἡ ἐξήγησις.

655. Ἀφ' οὗ δὲ Χριστῷ συμπλακεὶς ὁ δυσμενὴς
656. Ἀπῆλθε σαρκὸς εὐγενοῦς ἡττημένος
657. Ἐκ τετταράκοντ' ἀσιτίας νυχθημέρων
658. Ὡς μᾶλλον αἰσχύνοιτο τῆς πείρας σφαλείς,
659. Νόμος προῆλθε τῆς φίλης κενώσεως.

Χριστοῦ τεσσαράκοντα νηστεύσαντος ἡμέρας καὶ πεινάσαντος, προσελθὼν ὁ διάβολος ἐπείρασεν αὐτὸν καταβαλεῖν· ἀπωσθεὶς δὲ καὶ καταισχυνθεὶς, ἀπῆλθεν ἐπ' αὐτοῦ μέχρις καιροῦ, καθὼς γέγραπται. Κεῖται δὲ περὶ τοῦ πειρασμοῦ ἐν τῷ γ' λόγῳ.

675. Τί ταῦτα; τὰς Λεὼ θαυμάζεις κόρας
676. Τὰς τῶν Ἀθηνῶν προσσφγείσας ἀσμένως.

Λεὼς ἀνὴρ οὕτω καλούμενος ἐν Ἀθήναις τριῶν θυγατέρων ὑπῆρχε πατήρ· λιμοῦ δὲ γενομένου ἐχρηματίσθησαν ὡς εἰ ταύτας σφάξειεν, τῆς ῥυθρᾶς ἀπαλλαγήσονται· τὰς δὲ μαθούσας ἑαυταῖς χεῖρας θεῖναι φασὶν ὑπὲρ τῆς πατρίδος καὶ τῶν πολιτῶν, αἷς ἑορτὴν ἐπετέλουν καὶ ὡς ἡρωΐδας ἐσέβοντο. Καὶ περὶ Θεανοῦς δὲ τῆς πυθαγορίας φασὶν ὡς ὑπὸ τυράννου συσχεθεῖσα τῆς πατρίδος ὡς εἰπεῖν τὰ ἀπόρρη-

τα, τὴν γλῶσσαν ἀποδακοῦσα ἐνέπτυσε τῷ τυράννῳ μὴ θέλουσα καὶ ἀναγκαζομένη ἐξειπεῖν, ἀφαιρεθέντος τοῦ τῆς φωνῆς ὀργάνου· χρὴ δὲ εἰδέναι ὅτι πόρνας τὰς πυθαγορίας κόρας ἐν τῷ πρὸς τὰς παρθένους λόγῳ ὁ ἅγιος Ἀθανάσιος ἀπεφήνατο.

Μενοικέως τὲ τὴν πρόθυμον εἰσφερὰν 677.
Θηβῶν ὑπερθανόντος ὡς σώσῃ πόλιν; 678.

Μενοικεὺς Κρεῶντος ἔστιν υἱὸς βασιλέως Θηβῶν· πολεμουμένης οὖν τῆς ἰδίας πατρίδος τῶν Θηβῶν ὑπὸ τῶν ἑπτὰ ςρατηγῶν, ἐχρησμῴδησεν Τιρεσίας, μάντης ὢν παρ' αὐτὰς παύσειν τὸν πόλεμον καὶ ἔσεσθαι αὐτοῖς νίκην, εἰ τοῦ βασιλικοῦ γένους τῶν αὐτοχθόνων τῶν ἀναδοθέντων ἐκ τῶν ὀδόντων τοῦ δράκοντος τίς ἑαυτὸν δῷ πρὸς ἀναίρεσιν· δίχα δὲ τοῦ πατρὸς Κρεῶντος τοῦτο μαθὼν ὁ Μενοικεὺς, ἑαυτὸν δίδωσι πρὸς ἀναίρεσιν.

Κλεομβρότου τὲ τοῦ σοφοῦ τὸ τίμιον 679.
Πήδημ' ἀφ' ὕψους ὡς ἀπέλθοι σώματος, 680.
Ἐπεὶ Πλάτωνος τῷ περὶ ψυχῆς λόγῳ 681.
Πεισθεὶς ἔρωτι λύσεως κατεσχέθη; 682.

Κλεόμβροτος ἀμβρακιώτης τὸ γένος, πόλεως δὲ αὐτῷ τῆς παλαιᾶς Ἠπείρου, ἐντυχὼν οὗτος τῷ Φαιδῶνι τῷ περὶ ψυχῆς διαλόγῳ Πλάτωνος, καὶ μαθὼν ὡς ἄμεινον ἐςὶν τῆς ψυχῆς ὁ χωρισμὸς τοῦ σώματος, ἔῤῥιψεν ἑαυτὸν ἀπὸ τοῦ τείχους καὶ τέθνηκεν, ἵνα δῆθεν ἡ ψυχὴ αὐτοῦ ἐξελθοῦσα χωρισθῇ τοῦ σώματος.

Λέγεις Ἐπικτήτου τὲ τὸ κλασθὲν σκέλος, 683.
Πρὶν ἢ τί ῥῆξαι ῥῆμα δοῦλον τῆς βίας; 684.
Πτισμὸν τ' ἐν ὁλμῷ τῶν Ἀναξάρχου χερῶν; 687.

Κεῖνται ἐν τῷ οθ' λόγῳ αἱ ἱστορίαι.

691. Καὶ Σωκράτους τὸ κώνειον φιλεπισίαν
692. Ξέννην τοσσῦτον ἤδέως σοι σπωμένην ;

Κεῖται πρὸ βραχέων.

757. Πίσαν δέ μοι σὺ καὶ κόνιν τὴν δελφικὴν
758. Αὔχει, Νεμέαν τὲ, καὶ πίτυν τὴν Ἰσθμίαν,
759. Δι' ὧν ἔφηβοι δυστυχεῖς ἔσχον κλέος
760. Ἄθλων τιθέντες μικρὰ καὶ μικρῶν πέρα *
761. Πυγμῆς πάλης τὲ καὶ δρόμου καὶ ἁλμάτων,
762. Ἃ μήτε νικᾶν μήτε νικᾶσθαι μέγα·
763. Οὐ γὰρ θεὸς τὸ ἆθλον ἡ σωτηρία.

* ita cod.

Ἐν Πίσᾳ καὶ Δέλφοις καὶ Νεμέοις καὶ ἐν τῷ Ἰσθμῷ ἑορταὶ τοῖς θεοῖς ἤγοντο καὶ ἀγῶνες· πανταχόθεν δὲ πάντες ἐφοίτων ἀγωνίσασθαι, καθ' ὃ πείρας ἕκαστος εἶχεν· παντοίων τοίνυν ἀγώνων ἀγομένων, οἱ νικῶντες μεγάλως ἐδοξάζοντο· ἆθλον δὲ ἐτίθετο καθ' ἕκαστον τῶν ἀγώνων ὡς ἐπὶ Πατρόκλου γέγονεν, πρῶτον ἱπποδρομίας, εἶτα πεζοδρομίας, πυγμῆς, πάλης, ἁλμάτων, ἐπλεμαχίας, τοξευμάτων, ἀκοντίων, ἔσιν ὅτε καὶ ναυμαχίας, ἅρσεως, καὶ ὅσοις ἐπιδεικτιᾶν ἔσιν τοὺς ἐντρεχεῖς τὰ τοιαῦτα· κατὰ τοὺς εἰρημένους δὲ τόπους τὰ τοιαῦτα ἀπετελεῖτο· διὸ πανταχόθεν ἐφοίτων, οἱ μὲν ἀγωνισόμενοι, οἱ δὲ θεασόμενοι.

777. Ξενοκράτην λέγουσιν ὡς πόρνης τινὸς
778. Οἷ προσριφείσης ἐκ τίνων πειρωμένων,
779. Καὶ γὰρ καθεύδων νυκτὸς ἡνίκ' ἤσθετο,
780. Οὔτ' ἐπτοήθη τῷ ξένῳ τῆς ὕβρεως,
781. Οὔτ' ἐξανέστη καὶ φυγεῖν ἠνέσχετο.

Ἡ παροῦσα ἱστορία τὴν ἰδίαν ἐξήγησιν ἔχει περὶ Ξενοκράτους καὶ τῆς αὐτῷ προσριφείσης πόρνης· τούτῳ γάρ τινες ὕβριν βουλόμενοι προσπορίσαι, ταύτην αὐτῷ προσέβρι-

φαν· αὐτὸς δὲ αἰσθόμενος οὔτε ἀνίστη, οὔτε ταύτην ἐπῳδίωξεν, ἀλλ' ἀκίνητος μένας, ἔργῳ τὴν ἀπάθειαν ὑπέδειξεν, ὥστε τὴν πόρνην εἰπεῖν, ὅτι τί μοι πεπείκατε, νεκρῷ προσρίψαντες ἀνδρί; ὅμως δὲ λείμαργος ἦν· καὶ γὰρ βλαχοῦ ὡς λειμάργου καθάπτεται ὁ θεῖος Γρηγόριος.

Ἐπίκουρος ἡδονὴν μὲν ἠγωνίζετο 786.
Εἶναι τὸ ἄθλον τῶν ἐμοὶ πονουμένων. 787.

Ἐπίκουρος φιλόσοφος γέγονεν, ὅστις μὴ προνοεῖσθαι τὸν θεὸν τῶν τῇδε πραγμάτων ἐδόξαζεν· οὗτος δὲ τέλος παντὸς ἀγαθοῦ τὴν ἡδονὴν ἐτίθετο· καὶ οἱ μὲν νέοι ἐξηγηταὶ φασὶν οὐ τὴν ἀκάθαρτον ἡδονήν, ἀλλὰ τὴν φυσικωτάτην κατάστασιν· καὶ τοῦτον δὲ οἱ φιλόσοφοι ἀποσκορακίζουσιν, καὶ ὡς μὴ λέγοντα πρόνοιαν, καὶ ὅτι τὴν ἡδονὴν τέλος τίθεται, καὶ οὐ τὸ πρώτιστον καὶ μόνον ἀγαθὸν, ὅπερ ἐστὶν ὁ θεός.

Οὐδ' ὁ Πολέμων ἐμοίγε σιγηθήσεται 792.
Καὶ γὰρ τὸ θαῦμα τῶν ἀγαν λαλουμένων. 793.

Οὗτος ὁ Πολέμων τὰ μὲν πρῶτα λάγνος γέγονεν καὶ φιλήδονος· οὐ γὰρ ἐν ἀνθρώποις αἰσχρότερον εἶναι τε ἢν ἢ λαγνότερον εὑρεῖν· τοσοῦτον δὲ ἤλασεν σωφροσύνης, ὥστε τινὸς ἑταιριζομένης νεανίσκῳ παρεπημένης κατά τινα πυλεῶνα ἐφ' ὃν εἰκὼν ἀνέκειτο τοῦ Πολέμωνος, μελλούσης εἰσιέναι, τὸν Πολέμωνα γεγραμμένον θεασαμένην, ὁρμῷ φυγεῖν λέγεται τὴν ἑταῖραν ωτσήσασαν τοῦ Πολέμωνος τὴν θεωρίαν ἐκ μόνης τῆς γραφίδος· Πολέμων δὲ ἱστορεῖ τὰ κατ' Ἕλληνας, ὡς Ἰώσιππος καὶ Φίλων τὰ κατ' Ἑβραίους.

Δι' ὧν ἀνέπνει φασὶν οὐ μάλ' ἡδύ τι 808.
Τοῦτον λέγω Δίωνα, οὗ πολὺς λόγος. 809.

Καὶ οὗτος Δίων σωφροσύνην ἀσκήσας εἰς γάμους ἐλθὼν καὶ λέκτρα, ἀφροδισιῶν ἄπειρος ὤν, μεταμεληθεὶς τῇ γυν-

αικὶ φησὶν· ὦ γύναι, οὐ γάρ μοι τὴν νόσον ἔρρασας· ἡ δὲ διεβεβαιοῦτο πάντων λογίζεσθαι τῶν ἀῤῥένων τὸ σύμπτωμα τοῦτο, ὅπερ ἦν τοῦ σεμνοῦ ὀήλωμα τρόπου.

816. Τίς οὐκ ἐπαινεῖ τὸν Ἀλέξανδρον τότε
817. Ὃς τὰς Δαρείου παῖδας ὡς ἡττημένου
818. Εἰς χεῖρας εἷλεν, εὐπρεπεῖς εἶναι μαθών,
819. Εἰς ὄψιν οὐκ ἐδέξατ', εἶναι γὰρ κακὸν
820. Ἀνδρῶν κρατήσαντ' ἧσσον' εἶναι παρθένων;

Ἀλέξανδρος ὁ μακεδὼν τὰς Δαρείου θυγατέρας αἰχμαλωτίδας λαβὼν, μαθὼν αὐτὰς εὐπρεπεῖς ὑπάρχειν, οὐδὲ θεάσασθαι κατηξίωσεν, ἐπειπὼν, αἰσχρὸν τοὺς ἄνδρας ἑλόντας, ὑπὸ γυναικῶν ἡττηθῆναι.

831. Τίνων ἔρωτες εἰπέ μοι καὶ ἀῤῥένων;
832. Δεῖ γὰρ πλέον τί τοὺς θεοὺς ὑμῶν ἔχειν·
833. Τίνων φρυγίσκαι μείρακες καὶ συμπόται
834. Ἥδιστον νέκταρ' οἰνοχεοῦντες εἰσλύτως. *

* ita cod.

Ὅπερ λέγει τοιοῦτον ἐστὶν, ὅτι τίς οἰνοχεῖν βούλεται τὸν Γανυμήδην; φρυγίσκος δὲ νεανίας ὁ Γανυμήδης, ὃν ἥρπασεν ὁ Ζεὺς εἰς ἀετὸν μεταβληθείς. Κεῖται δὲ ἡ παροῦσα ἐξήγησις ἐν τῷ γ' λόγῳ· νέκταρ δὲ πόμα τῶν κατ' Ὄλυμπον ὑπάρχει θεῶν, ἡδύ τί καὶ ἐξαίρετον, ὡς Ὅμηρος φησίν.

836. Τίνων γάμων κλοπαί τε καὶ θεσμῶν ὕβρεις
837. Θέατρον αἰσχρὸν καὶ γέλως κεκλημένος *;
838. Πῶς πάντα ποιοῦσ' αἱ γυναῖκες τὸν Δία,
839. Ταῦρον, κεραυνὸν, κύκνον, ἄνδρα, θηρίον,
840. Χρυσὸν, δράκοντα, τὰς ἔρωτος ἐκτάσεις *
841. Τὸν ὕπατόν τε καὶ κάκιστον μήστορα.

* ita cod.

* ita cod.

Ταῦρος ὁ Ζεὺς διὰ τὴν Εὐρώπην· κεραυνὸς διὰ τὴν Ἥραν· κύκνος διὰ τὴν Λήδαν· ἀνὴρ διὰ τὴν Σεμέλην· θη-

ρίον καὶ δράκων διὰ τὴν Ὀλυμπιάδα· χρυσὸς διὰ τὴν Δανάην. Κεῖνται δὲ πᾶσαι αἱ ἱστορίαι ἐν τῷ γ΄ λόγῳ.

Τίς ἡδονῶν δέσποιναν ἡγεῖται θεόν; 842.
Βωμούς τ' ἐγείρει καὶ ναοὺς παθήμασιν; 843.

Τὴν Ἀφροδίτην φασὶ τῶν ἡδονῶν ἔφορον, καὶ θεὸν αὐτὴν προσαγορεύουσιν ἕλληνες, καὶ προσκυνοῦσιν ὡς ἡδονῆς δέσποιναν, κέστον αὐτῇ τινὰ τῆς τοιαύτης ἐνεργείας χαριζόμενοι, ἐν ᾧ τὰ τῶν ἐρώτων ἀποκεῖσθαι σεμνύνονται· διὸ καὶ παντοίοις αὐτὴν ὀνόμασιν τιμῶσιν ἡδονῆς, οἷον ἀφροδίσια καλοῦσι τὴν συνουσίαν ὡς ἐκ τῆς Ἀφροδίτης· κύπρες λέγουσι πάλιν ὡς ἐκ τοῦ Κύπρις· καὶ γὰρ Κύπρις λέγεται καὶ Παφεῖα, ὡς περὶ τούτων ἤδη πολλαχοῦ λέλεκται.

Τίνων δὲ νύκτες νυκτὸς ὄντως ἄξιαι 844.
Σεμνῶς ἀτίμων συμβόλοις τιμώμεναι; 845.

Τὸν Κελεὸν φασὶν καὶ τὸν Τριπτόλεμον παρὰ τῆς Δήμητρος νυκτὸς τινὰς μαθεῖν τελετὰς αἰσχρὰς καὶ ἀσελγεῖς. Κεῖται ἡ ἱστορία ἐν τῷ ξδ΄ λόγῳ.

Ἰθύφαλοί τε καὶ φάλος γέλως μέσος, 846.
Θεὸν νέον μιγνύντες ἐν τοῖς πλάσμασιν, 847.
Ἃ καὶ λεγόντων ἐγκαλύπτεσθαι πρέπον. 848.

Τῷ Διονύσῳ ἑορτὴν ἄγοντες οἱ ἕλληνες, φάλοις ἔτιμων αὐτὸν· φάλος δὲ ἐκ δέρματος ῥουσίου σχῆμα αἰδοίου ἀνδρὸς· τοῦτο περιετίθουν ἐν τοῖς τραχήλοις καὶ ἐν τοῖς μέσοις μηροῖς, καὶ ἐξορχοῦντο τιμῶντες ἐκ τούτου τὸν Διόνυσον· τὴν δὲ τιμὴν ταύτην ἦγον τῷ Διονύσῳ διὰ τοιαύτην αἰτίαν· ἐκ Σεμέλης τῆς Κάδμου θυγατρὸς γεννᾶται ὁ Διόνυσος· αὕτη κεραυνοθεῖσα ἐζητεῖτο ὑπὸ Διονύσου· περιπλανομένῳ δὲ καὶ ζητοῦντι Πολύυμνος παῖς οὕτω λεγόμενος περιέτυχεν τῷ Διονύσῳ, καὶ ὑπέσχετο δείξειν αὐτῷ τὴν μη-

τέρα, εἰ παιδεραστήσει αὐτὸν· ὁ δὲ Διόνυσος ὑπέσχετο τοῦτο· λέγει αὐτῷ ὁ Πολύυμνος, ὅτι ἐν Λέρνῃ ἐστὶν ἡ Σεμέλη· εἶτα εἰσελθὼν ὁ Διόνυσος ἐν τῇ θαλάσσῃ, ἵνα περάσει ἐν τῇ Λέρνῃ, συνηκολούθησεν αὐτῷ καὶ ὁ Πολύυμνος· καὶ ὁ μὲν, φασὶν, ὡς θεὸς ἐσώθη· ὁ δὲ Πολύυμνος τέθνηκεν· λυπηθεὶς δὲ ὁ Διόνυσος ὅτι τέθνηκεν ὁ ἐραστὴς αὐτοῦ, πρὸς τιμὴν αὐτοῦ αἰδοῖον ξύλινον συκίνου ξύλου πελεκίσας κατεῖχεν ἀεὶ εἰς μνήμην ὡς εἶπεν τοῦ Πολύυμνου· δι' αἰτίαν οὖν τοιαύτην τοῖς φάλλοις τιμῶσι τὸν Διόνυσον· φάλλοι οὖν εἰσὶ πάντες· ἰσύφαλλοι δὲ οἱ ἐπὶ τῶν μηρῶν ἐπ' εὐθείας δεσμούμενοι.

849. Ἑρμαφρόδιτοι Πάνες ἄσχημον γένος.

Οὗτοι διφυεῖς ἐλέγοντο, ἀνδρῶν καὶ γυναικῶν φύσιν ἔχοντες· μυθίζονται δὲ ὡς ἀπὸ Ἑρμοῦ καὶ Ἀφροδίτης τὴν ἀρχὴν ἐσχηκότες.

850. Θεῖσι τραγοσκέλεις τὲ καὶ τράγοι τρόπον,
851. Παρ' οἷς γάμων χορεύτριαι καὶ παρθένοι
852. Συνεισφέρουσαι πρῖκα παρνείας πόρον.

Τὸν Πάνα Μενδῆτα καλοῦσιν αἰγύπτιοι· ἔστι δὲ τραγόπους ἢ τραγοπρόσωπος· σέβονται δὲ τὸν Μενδῆτα, ἵνα μὴ γένεσθαι αἰγῶν, διὰ τὸ εἶδος ἔχειν αἰγῶν τὸν θεόν· πείθουσι δὲ τινὰς τελετὰς αἰσχρὰς ἐν αἷς τὸν Πάνα ἱστορεῖσιν αὐλοῦντα, καὶ παρθένους δῆθεν αἰσχρῶς γυμνουμένας καὶ χορευούσας, καὶ τινὰ αἰσχρὰ ταῦτα παρέπεται· διὸ φησὶ σὺν εἰσφέρουσαι πρῖκα παρνείας πόρον.

859. Ταῖς σφῶν δ' ἑταίραις τὴν Ἀφροδίτην σοφοὶ
860. Μορφοῦσιν, ὡς θεῖντο τῷ σοφίσματι·
861. Καὶ Φειδία τὰ παιδικὰ ἐν τῷ δακτύλῳ
862. Τῆς παρθένου γραφέντα πάντ' ἀρκεῖ καλῷ.

Φειδίας τὸ μὲν γένος λέγεται Συρακούσιος ἄριςος ἀστρολόγος τὴν τέχνην, Ἀρχιμήδους πατήρ· οὗτος ἀγαλματοποιὸς ὤν, καὶ Διὸς ξόανον κατασκευάσας ἐπὶ θρόνου καθήμενον, ὅπερ λέγουσιν Διὸς φειδιακοῦ.

Πόρνας ναοῖς τε καὶ θεοῖς τιμωμένας, 866.
Εὐφροσύνην μέλαιναν ἐν τῷ θηρίῳ· (1) 867.
Σεμνὸν γὰρ ἦν καὶ τοὔνομ' ἐν ναοῖς μέσοις 868.
Τὴν Ἑλλάδος δέσποιναν ἧς λόγος πολὺς 869.
Ἐξ Ὑκκάρων φθαρεῖσαν αἰσχρὰν Λαΐδα. 870.

Λαῒς πόρνη ἦν ἐξ Ὑκκάρων, φθαρεῖσα κατήντησεν εἰς Κόρινθον, κἀκεῖσε δημοσίως ἑταιριζομένη τῇ τῆς ὄψεως ὥρᾳ πάντας τοὺς τῆς Ἑλλάδος εὐπάτριδας ἐφείλκετο, χρήματα πολλὰ παρεχομένους· ἧς καὶ εἰκόνας καὶ ἐπιγράμματα πολλοὶ ἀνετίθεσαν, ναοῖς τιμῶντες καὶ δημοσίοις τόποις.

Τῶν ναζιραίων τῶν νέων συστήματα 911.
Πλήθοντα καὶ στίλβοντα τοῖς ἔνδον καλοῖς 912.
Ἃ παρθένοι τιμῶσιν μέχρις αἵματος. 913.

Ναζιραῖος ἐςὶν ὁ τῷ θεῷ ἀφιερωμένος, οἷος ἦν ὁ Σαμουὴλ καὶ ὁ Σαμψών· νέους δὲ φησὶ ναζιραίους τὰ πλήθη τῶν παρθενευόντων καὶ ἀσκουμένων, ὧν ἄπειρός ἐστιν ἀριθμὸς ἐν ἀνδράσι καὶ γυναιξὶ θεωρούμενος.

Τί σοι λέγοιμ' ἂν Θέκλαν ἢ τίν' ἢ τίνας 914.
Ὅσαι θεῷ τὸ κάλλος ἐσφραγισμένον 915.
Τηρεῖν θέλουσαι κινδύνοις προσέδραμον; 916.

Κεῖται ἡ περὶ Θέκλης ἐξήγησις ἐν τῷ γ' λόγῳ.

(1) Ita se habet versiculus in codice; at in edd. Εὐφρώ, Φρύνην, λέαιναν αἰγὸν θηρίον.

ΛΟΓΟΣ ΡΚ.

S. Gregor. ed. Lips. p. 156.

ΓΝΩΜΑΙ ΤΕΤΡΑΣΤΙΧΟΙ.

8. Κλέπτεις τὰ σαυτοῦ μὴ διδεὺς· καινοῦ χρέους·
Ἀνανίας πειθέτω σε Σάπφειρά τε.

Ἀνανίας καὶ Σάπφειρα κλέπται τυγχάνοντες, ὑπὸ Πέτρου τοῦ ἀποστόλου κατακριθέντες διεφώνησαν.

Κεῖται ἐν τῷ γ΄ λόγῳ.

ΛΟΓΟΣ ΡΚΑ.

Ed. Lips. p. 175.

ΠΕΡΙ ΠΑΡΘΕΝΙΑΣ.

20. Τί μι τὰ πόρρῳ; κειμένῳ δ' ἑωσφόρῳ
21. Μὴ συγκατηνέχθησαν ἀγγέλων χοροί;

Ἑωσφόρος πεσὼν καὶ ἀστραπὴ λέγεται ὁ διάβολος· ὁ μὲν γὰρ Ἡσαΐας περὶ αὐτοῦ· πῶς ἔπεσεν ὁ ἑωσφόρος ὁ πρωὶ ἀνατέλλων; ὁ δὲ κύριος φησὶν· ἐθεώρουν τὸν σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα.

Κεῖται δὲ ἡ ἐξήγησις ἐν τῷ β΄ λόγῳ.

22. Τί δ' οὐχ Ἰούδας ἦν φονεὺς τοῦ δεσπότου;
23. Ἀλλ' οἱ μαθηταὶ δόξα· τοῦτο δ' οὐ σκοπεῖς;

Κεῖται ἐν τῷ β΄ λόγῳ.

44. Ἄλλοι δὲ φευγέτωσαν, ὡς θῆρες ποτὲ,
45. Τὸ Σινὰ πλαξὶν ἐντυπευμένου νόμου.

Κεῖται ἡ παροῦσα ἐξήγησις ἐν τῷ ιβ΄ καὶ ἐν τῷ μή λόγῳ.

49. Ἂν δὲ προσδέῃ καμψάκης σοι πηγάσει
50. Ὑδρεία τε δώσει πυθμένος γεωργίαν.

Κεῖται ἡ κατὰ τὸν Ἠλίαν καὶ τὸν στρατηλάτην χίραν ἱστορία ἐν τῷ β′ καὶ γ′ λόγῳ.

Ἄρτας τρέφονται πέντε μύριας λεώς· 51.
Πόσῳ σὺ μᾶλλον ἡ Διὸς παραστάτις; 52.

Κεῖται ἐν τῷ α′ καὶ β′ λόγῳ.

Ἢ καὶ κανεῖν προθεισα τῷ θεῷ σύ γε 57.
Ἀποστερήσεις καὶ Σοδόμων ἡ φυγοῦσα πῦρ 58.
Παλινδρομήσεις; μὴ λίθος παγῆς ἁλός. 59.

Κεῖται ἐν τῷ β′ καὶ γ′ λόγῳ.

Χρυσῆς τί γλώσσης ἐστὶν εὐτελέστερον, 62.
Ψιλῆς τε διδράγμου τὲ τῶν ἀναστάτων; 63.
Ἀλλὰ κλαπέντα καὶ στρατὸν διώλεσεν. 64.

Κεῖται ἡ κατὰ τὸν Ἄχαρ ἐξήγησις ἐν τῷ ιβ′ λόγῳ.

ΛΟΓΟΣ ΡΚΒ.

ΚΑΤΑ ΘΥΜΟΥ. Ed. Lips. p. 229.

Εὐθὺς βόησεν τῶν μαθητῶν ῥήματα 61.
Ἐπιστάτα, κλύδων με δεινῶς ἀμφέπει, 62.
Τίναξον ὕπνον καὶ σὸν ἐκσώσεις στόλον. 63.

Κεῖται ἐν τῷ ιϑ′ λόγῳ.

Τίνες μάλιστα προσφιλέστατοι θεῷ, 186.
Τί πρῶτον ἢ μέγιστον ἐξησκηκότες; 187.
Μωϋσῆς ἐκεῖνος, Ἀαρὼν, οἱ φίλτατοι, 188.
Δαβὶδ, Σαμουὴλ, εἶτα Πέτρος ὕστερον· 189.
Οἱ μέν γε μαστιχθεῖσαν Αἴγυπτον τόσαις 190.
Πληγαῖς ἀσωφρόνιστον εἶχον· ἀλλ' ὅμως 191.
Φειδοῖ προσῆγενϑ' ὡς τῷ Φαραὼ θράσος, 192.
Ἕως ἐπεκλύσθησαν ἐκ τῆς ὕβρεως, 193.

194. Οἷς μὴ τὸ μακρόθυμον ἤνεγκεν σέβας
195. Ὡς ἂν μάθωσι πάντες αἰδεῖσθαι τόδε.

Μωϋσῆς καὶ Ἀαρὼν πρεφῆται ὑπάρχοντες τοῦ λαοῦ Ἰσραὴλ καθηγούμενοι τοῖς υἱοῖς Ἰσραὴλ τῆς αἰγυπτίων κακώσεως ἐξελκῦσαι παρὰ τοῦ θεοῦ σαλέντες, ὡς ἐν τῷ δευτέρῳ διεξήλθομεν λόγῳ, πολλαῖς μάστιξι τοὺς αἰγυπτίους ἐκάκωσαν, τοῦ θεοῦ σημείοις καὶ τέρασι συνεπισχύοντος αὐτούς· πρῶτον μὲν οὖν τὴν ῥάβδον ἀπέναντι Φαραὼ ῥίψας Ἀαρὼν εἰς δράκοντα μετέβαλεν· ἐπείσησαν δὲ ὡσαύτως καὶ οἱ τῶν αἰγυπτίων ἐπαοιδοὶ ταῖς φαρμακίαις αὐτῶν, καὶ τὰς ἰδίας ῥίψαντες ῥάβδους εἰς ὄφεις μετεπείσησαν, ἀλλ' ἡ ῥάβδος ἡ τοῦ Ἀαρὼν τὰς ἐκείνων κατέπιεν ῥάβδους, ὅθεν τὸ μὲν τέρας ἀνόητον ἦν· τοῦ Φαραὼ σκληρυνθέντος · · τάξαντος, πλήξας τῇ ῥάβδῳ τὸ ὕδωρ τοῦ ποταμοῦ Μωϋσῆς εἰς αἷμα μετέβαλεν· εἶτα βατράχους ἡ γῆ ἀνέδωκεν ἐλεθρίους, καὶ σκνῖπες τὴν γῆν ἀμφεκάλυψαν καὶ τὸν ἀέρα· τῆς δὲ κυνομυΐας αὖθις ἡ τῶν αἰγυπτίων γῆ πλήρης γέγονεν καὶ τοῖς τετράποσιν· εἶτα θάνατος ἐπῆλθεν, καὶ φλυκτίδες πρὸς τούτοις ἀναζέυσαι τοῖς σώμασιν τῶν ἀνθρώπων· ἔβρεξε δὲ χάλαζα πυρὶ σύμμικτος αὖθις· ἐπὶ δὲ τούτοις ἀκρὶς ἐπελθοῦσα πᾶσαν βοτάνην ἀπώλεσεν ἐν Αἰγύπτῳ· σκότος ἔπειτα ψηλαφητὸν τὴν Αἴγυπτον κατεκάλυψεν· ὕστερον δὲ πᾶν πρωτότοκον ἀπὸ ἀνθρώπου ἕως κτήνους ἀπώλετο τῶν αἰγυπτίων· ἐπὶ μὲν οὖν ταῖς εἰρημέναις πληγαῖς ἀσωφρόνιστος ἦν ὁ τῶν αἰγυπτίων κρατεῖς· φιλανθρώπως δὲ Μωϋσῆς καὶ Ἀαρὼν καθ' ἑκάστην βάσανον τοῖς αἰγυπτίοις προσηγάγοντο τὸν θεὸν αὐτοῖς ἵλεω προκαθιζῶντες· τοῖς δὲ τὸ φιλάνθρωπον ἀνείας περισσοτέρας ἐγίνετο ἀφορμή· τῆς γὰρ μάστιγος λωφούσης, αὐτίκα τῆς συμφορᾶς

ἐπιλανθανόμενοι, περισσοτέρως ἐμαίνοντο· τέλος δὲ τοῦ λαοῦ τῆς αὐτῶν ἐκδημήσαντος χώρας, κατὰ τὴν ἔρημον ἐδηγούμενοι θράσει πολλῷ κρατούμενοι καὶ ἀνείᾳ κατεδίωκον ὀπίσω αὐτῶν, οὔτε τῶν πληγῶν ὧν πεπείραντο μνημονεύοντες, οὔτε τὸν φαινόμενον εὐλαβηθέντες καθηγεμόνα, πῦρ γὰρ αὐτῶν νύκτωρ προηγεῖτο κίονος σχήματι κατὰ τὸν ἀέρα διατεινόμενον, καὶ νεφέλη συσκιάζουσα μεθ' ἡμέραν· ἀμφὶ δὲ τὴν ἐρυθρὰν στρατοπαιδεύσαντες θάλασσαν δι' ὅλης ηὐλίσθησαν τῆς νυκτὸς, ἧς τινος διαιρεθείσης ἐκ θείας προστάξεως, ὁ μὲν λαὸς μέσην διελάσας πεζεύων τὴν θάλασσαν διαπορθμεύει, τεῖχος ἐνταῦθα κἀκεῖθεν ὁμοίως ἀποπάγεντων ἑκατέρωθεν τῶν ὑδάτων· οἱ δὲ δὴ κακοδαίμονες ἀμφὶ τὸν Φαραῶ θρασύτητι τοῦ διατετμημένου καθορμήσαντες πόντου, θᾶττον ὑποβρύχιοι γεγονότες παντελῶς κατεποντίσθησαν, τοῦτο τέλος οἰκτρὸν τῆς ἀβουλίας εὑράμενοι· διὸ φησὶν ὁ θεῖος Γρηγόριος ἐπάγων, ὡς κρεῖσσον καταφρονεῖν θρασύτητος ἢ φιλανθρωπίας ὧδε πῶς· κρεῖσσον θρασὺν γὰρ ἢ πρᾷον περιφρονεῖν· καὶ γὰρ ἄμεινον χείρονος ἢ τοῦ φιλανθρώπου καταφρονεῖν.

Αἰνῶ Σαμουὴλ ὃς πόθ' ὕβριν δυσφορῶν 197.
Ῥήξαντος αὐτῷ τὴν διπλοΐδα τοῦ Σαοὺλ, 198.
Εἶτ' ἀξιωθεὶς ὥστε συγγνώμην ἔχειν 199.
Ἀφῆκεν εὐθὺς τῷ λόγῳ τὴν αἰτίαν. 200.

Σαοὺλ ὁ τοῦ Ἰσραὴλ βασιλεὺς, ἦν μὲν υἱὸς Κὶς, ἐκ φυλῆς Βενιαμὶν, ὃς ἐχρίσθη βασιλεὺς ὑπὸ Σαμουὴλ τοῦ προφήτου· τούτῳ θρασὺς ἦν πόλεμος πρὸς τοὺς Ἀμαληκίτας· ἀπιόντι δὲ, διὰ Σαμουὴλ προσέταξεν ὁ θεὸς μὴ φείσασθαι τοῦ Ἀμαλὴκ, μήδε κατοικτεῖραι πρεσβύτερον ἢ νεανίσκον αὐτοῦ, μήτε μὴν γυναῖκα καὶ παιδίον ὑπομάζιον· ἀλλ' ἄρ-

ὸν ἅπαντας ἀπολέσαι, καὶ μὴν τούτοις καὶ τὴν ὕπαρξιν συναπολέσαι, μήτε δὲ ζωγρῆσαι τῶν κτηνῶν αὐτῶν τι, μὴ δὲ βοῦς ἱερεῦσαι καὶ θρέμματα τῆς αὐτῶν προνομῆς, ἢ τῷ θεῷ προσοῖσαι παντελῶς ἐνετείλατο· ταῦτα μὲν οὖν ὁ Σαοὺλ ἀκηκοὼς, τοὐναντίον ἅπαν διεπράξατο· καὶ γὰρ αὐτῶν τοὺς νεανίσκους ἠλέησεν, καὶ καλλιστεύοντα τῶν κτηνῶν ἐξώγρησεν, καὶ τὴν ὕπαρξιν προενόμευσεν· ἐλθόντι δὲ τῷ Σαμουὴλ εἰς συνάντησιν, ἐπειρᾶτο λαθεῖν· ὁ δὲ Σαμουὴλ, ἅτε προφήτης τὸ πᾶν ἐγνωκὼς, τίς ἡ φωνὴ, εἶπε τῷ Σαοὺλ, τῶν προβάτων ἡ ἐν τοῖς ὠσίν μου ἐρχομένη; καὶ Σαοὺλ, ἐξ Ἀμαλὴκ, ἅπερ ἐνήνοχα θῦσαι τῷ θεῷ σου, φησίν· ὁ δὲ Σαμουὴλ ἀπεκρίνατο, μεματαίωσαι σφόδρα καὶ ἠγνόηκας· ἀγαθὸν γὰρ ὑπακοὴ ὑπὲρ θυσίαν, καὶ νὺν μεματαίωσαι σύ· ταῦτα εἰπὼν ἐξανέστη· Σαοὺλ δὲ τῆς διπλοΐδος Σαμουὴλ ἐπελάβετο, ἡ δὲ διερράγη· στραφεὶς δὲ πρὸς αὐτὸν ἀπεκρίνατο, διέρρηξεν κύριος τὴν βασιλείαν ἐκ χειρός σου· καὶ ἦν Σαμουὴλ πενθῶν ἐπ' αὐτῷ πάσας τὰς ἡμέρας· ὁ δὲ Σαοὺλ τὸν προφήτην ἐπὶ τῶν πρεσβυτέρων τοῦ λαοῦ δεξάσαι αὐτὸν ἐξελιπάρει· καὶ δὴ συγκαταβάσει χρησάμενος ὁ προφήτης, ὑπό τε συμπαθείας κατακαμφθεὶς, αὖθις ὑποστρέψας τῷ λαῷ τὸν βασιλέα περίδεξον κατεστήσας, ἐπειρᾶτο δι' οἴκτου τὸν θεὸν αὐτῷ καὶ πάλιν εὐμενῆ καταστῆσαι· ταῦτα μὲν ἡ τοῦ προφήτου συμπάθεια καὶ πρᾳότης· ἀλλ' ὁ θεὸς ἀθέκαστος ὢν δικαστὴς καὶ προβλέπων, μὴ πενθεῖν ἐπὶ Σαοὺλ τῷ Σαμουὴλ διετάξατο, τοῦ βασιλεύειν αὐτὸν ἐπὶ τὸν Ἰσραὴλ, ἅτε δὴ παρωσάμενος· ἀλλ' εἰς Βηθλεὲμ ἐξ αὐτῆς ἀπάραντα, τὸν υἱὸν Ἰεσσαὶ Δαβὶδ εἰς βασιλέα χρίσαι τὸν ἐν τῷ προβάτῳ προσέταξεν· καὶ γὰρ ἀγαθὸς τῷ κυρίῳ.

Δαβὶδ ὑπομνήσθητι καὶ τῶν πραγμάτων 202
Ἐξ ὧν πενιχροῦ πνεύματος Σαοὺλ πατὴ 203.
Ἠλευθέρωσεν· εἶτ' ἀγνώμονας τυχὼν 204.
Φεύγων, ἀλύων τὸν περὶ ψυχῆς τρίχων * 205.
Δοθέντος αὐτῷ τοῦ Σαοὺλ ἐφίσατο· 206.
Καὶ τοῦτο δίς τε καὶ μέχις σεσωσμένος· 207.
Ἡ διπλοῦς γνώρισμα τῆς ἐξουσίας 208.
Κεκαρμένη, φακός τε τοῦ κράνους κλαπείς. 209.

* ita

Πολλῶν ὁ Σαοὺλ εὐεργεσιῶν διὰ Δαβὶδ ἀπελαύσας, πολυτρόπως αὐτὸν ἐπεβούλευεν, ὁ δὲ τόπον ἀμείβων ἐκ τόπου τοῦ μάτην ἐχθραίνοντος αὐτῷ τὴν κακίαν ἐξέκλινεν· ποτὲ γοῦν εἱ Ζιφαῖοι, πόλις δὲ τῆς Χαναναίας Ζῆφαι, πρὸς Σαοὺλ παραγενάμενοι, τὸν Δαβὶδ κρυπτόμενον παρ' αὐτοῖς κατεμήνυον ἐν Ἐγγαδδὶ· καὶ δὴ Σαοὺλ ἐξ Ἰσραὴλ τρισχιλίους ἐπιλεξάμενος ἄνδρας ἐκπορεύεται συλλαβεῖν αὐτὸν, καὶ γενόμενος ἐν σπηλαίῳ Σαοὺλ εἰσῆλθεν παρασκευάσασθαι· καί γε Δαβὶδ ἐνδότερον ἅμα τοῖς αὐτοῦ κρυπτόμενος ἦν· ὡς δὲ Σαοὺλ καὶ πάντες ὕπνωσαν οἱ περὶ αὐτὸν, παρώτρυνεν τὸν Δαβὶδ οἱ περὶ αὐτὸν ἀναστάντα πατάξαι τὸν Σαοὺλ, ταύτην εἶναι φάσκοντες τὴν ἡμέραν ἣ τὸν ἐχθρὸν εἰς χεῖρας ἀποκλείσειν αὐτῷ τὸν Θεὸν προηγόρευται, ὡς ἂν αὐτῷ χρήσαιτο κατ' ἀρέσκειαν· Δαβὶδ δὲ μηδαμῶς τοῦτο πράττειν ἐπωμόσατο τὸν Θεὸν, εἰ τὴν χεῖρα τοῦ διαφθεῖραι τὸν χριστὸν ἐπείσει κυρίου· πλὴν ὅτι τῆς διπλοΐδος Σαοὺλ λαθραίως ἀποκείρας τὸν εὐχείρωτον ἐφείσατο διαφθεῖραι, πλείοσι λόγοις πεπεικὼς τοὺς συνόντας αὐτῷ μὴ δεῖν ὀπωσοῦν μὴ δ' ὅσιον τῷ χριστῷ κυρίου τῷ βασιλεῖ λιμῶς ἐπιέναι, μηδὲ χεῖρας αὐτῷ φονίους ἐπανατείνειν· οὗτος εἶπεν· οἱ δὲ τοῖς λόγοις ὑπήκοον, οὐδ' ἠπείθησαν, ἀλλ'

ἡσύχασαν· ἀναστὰς δὲ Σαοὺλ τὸν Δαβὶδ προθυμούμενος συλλαβεῖν εἴχετο τῆς ὁδοῦ· βραχὺ δὲ προήει, καὶ Δαβὶδ κατὰ πόδα τοῦ σπηλαίου προπηδήσας, καθάπερ ὑψιπέτης ἀετὸς κορυδῶν ὑπεριπτάμενος χαμαιπετῶν ἔστη, καὶ λόγοις προσεφώνει ταχυτάτοις τὸν βασιλέα, καὶ δὴ φησὶ· κύριε βασιλεῦ· Σαοὺλ δὲ τὴν φωνὴν ἐπεγνωκὼς εἶναι τοῦ Δαβὶδ ἀπεστράφη· καὶ φησὶν ὁ λαλῶν· τί τὸ ἀδίκημά μου καὶ τί τὸ ἁμάρτημά μου ἐναντίον σου, ὅτι καταδιώκεις ὀπίσω μου ὡς καταδιώκει ὁ νυκτικόραξ, καὶ δεσμεύεις τὴν ψυχήν μου λαβεῖν αὐτήν; ἰδοὺ οἱ ὀφθαλμοί σου, καὶ οἱ ὀφθαλμοὶ βλέπουσι τῶν μετὰ σοῦ, ὡς ἀπέκλεισέν σε κύριος εἰς τὰς χεῖρας μου ἐν τῷ σπηλαίῳ, καὶ οὐκ ἠβουλήθην ἀποκτεῖναι σε· καὶ τὸ πτερύγιον ἰδοὺ τῆς διπλοΐδός σου ἐν τῇ χειρί μου, καὶ οὐκ ἀπέκταγκά σε· καὶ νῦν ὀπίσω τίνος καταδιώκεις σὺ βασιλεῦ Ἰσραὴλ; ὀπίσω κυνὸς τεθνηκότος ἢ ψύλλου ἑνός· γένοιτο κύριος εἰς κριτὴν ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ, ἡ δὲ χεῖρ μου οὐκ ἔσαι ἐπὶ σὲ, καθὼς λέγει ἡ παραβολὴ ἡ ἀρχαῖα, ἐξ ἀνόμων ἐξελεύσεται πλημμέλεια, ἡ δὲ χεῖρ μου οὐκ ἔσται ἐπὶ σὲ· ταῦτα μὲν ὁ Δαβίδ· Σαοὺλ δὲ καταυγεὶς ἔκλαυσεν, καὶ φησὶ· φωνή σου αὕτη, τέκνον Δαβὶδ, καὶ ἔκλαυσεν, καὶ εἶπεν Σαοὺλ· δίκαιος σὺ ὑπὲρ ἐμὲ ὅτι ἀνταπέδωκάς μοι ἀγαθὰ, ἐγὼ δὲ ἀνταπέδωκά σοι πονηρά· καὶ νῦν ἀπήγγελκάς μοι ὡς ἀπέκλεισέν με κύριος εἰς τὰς χεῖρας σου καὶ οὐκ ἀπέκταγκάς με· καὶ εἰ εὕρει τίς τὸν ἐχθρὸν αὐτοῦ καὶ προπέμψει αὐτὸν ἐν εἰρήνῃ, καὶ κύριος ἀνταποδώσει αὐτῷ ἀγαθὰ ἐν τρόπῳ πεποίηκάς μοι· καὶ νῦν οἶδα ὅτι βασιλεύων βασιλεύσεις ἐν Ἰσραὴλ, καὶ στήσεται ἡ βασιλεία Ἰσραὴλ ἐν χειρί σου, καὶ νῦν ὄμοσόν μοι ὅτι οὐκ ἀφανίσεις τὸ ὄνομά μου μετ' ἐμὲ ἐκ τοῦ

οἴκου τοῦ πατρός μου· καὶ ὤμοσεν αὐτῷ· καὶ ἀπῆλθεν ἕκαστος τὴν ὁδὸν αὐτοῦ· ταυτὸ μὲν ἐποίησεν, καί τοι τὰ χείριστα πεπονθὼς· ἀλλ' οὐκ ἀνῆκεν τὴν ἀπειλὴν ὁ μὴ βουληθεὶς συνιέναι τοῦ ἀγαθῦναι Σαοὺλ, ἐπεὶ μηδαμῶς ἤρεμεν ἡ μοχθηρία· πάλιν δὲ στρατοπαιδεύσας ἐπ' αὐτὸν ἐκπορεύεται, καὶ δὴ λαμπηδόσι τυπεὶς κατὰ κράνους ἡλιακαῖς ὑπὸ λαμπήνῃ ἐν ἀγρῷ, καθ' ἣν δὲ καὶ σκιάδιον· τῷ δὲ πρὸς κεφαλῆς ψυχροῦ πλήρης φακὸς ὕδατος ἦν καὶ δόρυ· ὡς δὲ γλυκὺς τοὺς ἀμφ' αὐτὸν σὺν αὐτῷ κατεῖχεν ὕπνος, τὸν φακὸν ὁ Δαβὶδ ἀφελόμενος ᾤχετο· καὶ τὸ δόρυ μικρὸν ἐν μέσῳ· καὶ τῶν βλεφάρων αὐτοῖς τὸν ὕπνον ἐξετίναξεν εὐκράων ἀνέμων συρίγματα ἠρεμαῖα, σὺν τέττιγες ἠχοῦντ' ἐξ ἀκρεμόνων· περὶ δὲ τὸν Σαοὺλ ἄλλοθεν ἄλλος περιστάδων τεύχεσιν ἀστράπτοντες περιστήκεισαν· ὡς δ' ὁ πάνυ μάλιστα τῆς δυνάμεως καθηγούμενος Ἀβεννὴρ, ἔστη δὲ μάλα πλησιέστερον ὁ Δαβὶδ, ὀνειδίοις τὸν Ἀβεννὴρ κατακερτομῶν ὁ γλυκύτατος· υἱοὶ φησὶ θανάτου πάντες ὑμεῖς, οἱ φυλάσσοντες τὸν κύριον ὑμῶν τὸν βασιλέα, ὅτι εἰσῆλθεν εἷς διαφθεῖραι τὸν βασιλέα, καὶ οὐκ ἦν αἰσθανόμενος· καὶ νῦν τῶν παιδαρίων ἓν διελθέτο, καὶ τὸν φακὸν τοῦ ὕδατος ἀνελέτω καὶ τὸ δόρυ, καὶ γίνεσθε εἰς υἱοὺς δυνάμεως, καὶ φυλάσσετε τὸν κύριον ὑμῶν τὸν βασιλέα· καὶ ταῦτα εἰπὼν, καὶ τὸ σκεῦος ἐπιδοῦς καὶ πιστωσάμενος ἔργῳ τὸν βασιλέα, καὶ αὖθις εὐχείρωτον αὐτὸν καταστάναι, πρὸς ἑαυτὸν ἐπορεύθη· τρίτον ἄλλοτε πάλιν ὁ Σαοὺλ αὐτοῦ καταστρατοπαιδεύσας, καὶ γενόμενος σχεδὼν ἐπ' αὐτῷ, φήμης ἐπικαταλαβούσης ὡς ἐπέθεντο ἀλλόφυλοι τῇ γῇ τοῦ Ἰσραὴλ, ὑποστρέψας, οὐ προσέθετο τὸν Δαβὶδ ἔτι πολεμεῖν· τὸν μὲν γὰρ αὐτίκα πόλεμος ὁ τῶν ἀλλοφύλων ἁλωτὸν ἀπειρ-

γάσατο· τὸν δὲ Δαβὶδ εἶχε μὲν ἡ Σικελὰκ οὐ μακρὸν ἐπὶ χρόνον· εἶχε δὲ μετέπειτα Χεβρὼν τοῦ Ἰούδα σκήπτρου βασιλεύοντα· εἶχε δὲ τοῦτον πάντως ἡ θεία μετέπειτα πόλις Ἱερουσαλὴμ Ἰσραὴλ βασιλεύοντα.

210. Τί δεῖ λέγειν τὸν υἱὸν ὡς ἠνέσχετο
211. Τὸν πατροφόντην καὶ τύραννον ἀπρεπῆ;
212. Ὅπου γ' ἐκεῖνον καὶ κλάει τεθνηκότα
213. Θρήνοις τε πολλοῖς ἀνακαλεῖ καὶ λόγοις,
214. Τὸν μηνυτήν τε τοῦ πάθους ἀμύνεται
215. Ὥσπερ λαβών τιν' ἐχθρὸν οὐκ εὐάγγελον.

Κεῖται ἡ ἱστορία ἐν τῷ ξγ' λόγῳ.

218. Ὡς καὶ προσάντης τῷ στρατῷ καταστὰς εἰς,
219. Μικροῦ γενέσθαι τοῦ κράτους ἀλλότριος.

Ὡς πενθῶν ἦν Δαβὶδ τὸν Ἀβεσσαλὼμ, μαθὼν ὁ στρατὸς ηὐλαβεῖτο τὴν πύλην εἰσιέναι τῆς πόλεως, εἰ μὴ παραστὰς Ἰωὰβ ὁ τῆς δυνάμεως ἄρχων ἐπιπληκτικοῖς ῥήμασι τὸν Δαβὶδ ἔπεισεν ἀναστάντα, τὸν στρατὸν τῆς ἀγαθῆς προθέσεως ἀποδέξασθαι καὶ συμμαχίας, ἣ κατ' αὐτὴν αὐτοῦ τὸν Ἰσραὴλ τὴν ἡμέραν ἀποστήσεσθαι, καὶ τοῦ κράτους ἀλλότριον αὐτὸν καταστῆναι· ταύτῃ δὲ τὸν Δαβὶδ εἴξαντα, τοὺς πολεμιοὺς ἀποδέξασθαι λέγεται· τοῦ δὲ τοσούτου πράγματος τῆς νίκης, τὴν Δαβὶδ συμπάθειαν, καὶ τῆς βασιλείας οἰκειοτέραν αὐτῷ τὴν φιλανθρωπίαν ἀποδεῖξαι, σκοπὸς τῷ θείῳ Γρηγορίῳ.

220. Τί δ' οὐ τὸν ὑβριστὴν Σεμεεὶ ἐγκαρτερεῖ
221. Δύσφημον ὄντα τῷ κλέει τῆς εἰσόδου;

Ὁ Δαβὶδ ἀπὸ προσώπου Ἀβεσσαλὼμ ἀποδιδράσκων, λίθοις βάλλοντα τὸν Σεμεὶ παρὸς τῇ καταβάσει τοῦ ὄρους ἐλαιῶνος καὶ πολλαῖς ὕβρεσι δυσφημοῦντα φέρων ἠπίως, οὐ

τρεσίσχεν· ὁ δὲ Σαμεὶ τῶν εἰκοσιῶν ὑπῆρχε Σαοὺλ· βουληθέντι δὲ τῶν παιδαρίων ἐνὶ διελθεῖν καὶ ξίφει τοῦ ζῆν τὸν ὑβριστὴν ἀπαλλάξαι, τῶν δὲ Σαρουΐας υἱῶν ταχύπους ἦν Ἀσαήλ, οὐ μένειν ἀπείργεται τῆς ὁρμῆς, ἀλλ' ἤδη καὶ λόγοις ἀνιάζουσιν βάλλεται· τί μοι καὶ ὑμῖν, λέγοντες τοῦ Δαβὶδ, υἱοὶ Σαρουΐας; ἄφετε τὸν Σεμεὶ καταράσασθαι τὸν Δαβὶδ, ὅτι κύριος εἶπεν αὐτῷ, εἴ πως ἴδοι κύριος τὴν ταπείνωσίν μου καὶ ἀποστρέψει μοι τὴν βασιλείαν, ἀντὶ τῆς κατάρας· σὺκ εἰς μακρὰν δὲ τοῦ Θεοῦ συνήθως εὐεργετήσαντος τὸν Δαβὶδ, ἐπανιόντι καὶ περθμεύοντι τὸν Ἰορδάνην, ἱκέτης εἰκτρὸς ὁ Σεμεὶ παραστὰς τὴν ἁμαρτίαν ἀναμιμνήσκων, τῆς φιλανθρωπίας ἀντιτυχεῖν ἐλιτάζετο· καὶ τῆς μὲν αὐτίκα παραπολαύσας, ὅτι μὴ χρηστὸν εἶχε φρόνημα, μετὰ τὴν Δαβὶδ ἀποβίωσιν κακῶς τοῦ ζῆν τῷ Σολομῶντι περιτυχὼν ἀπηλλάγη.

Πέτρου δὲ δῆτα τοῦ σοφοῦ τεθαύμακα 224.
Ὡς μακροθύμως καὶ λίαν νεανικῶς 225.
Ἤνηγκε Παύλου τὴν καλὴν παῤῥησίαν, 224.
Καὶ ταῦτ' ἐν ἄστει τηλικούτῳ καὶ τόσοις 225.
Ἐπαινέταις τε καὶ μαθηταῖς τοῦ λόγου 226.
Ὁ συντράπεζος οὐ καλῶς ἦν ἔδνεσιν 227.
Εἰ καὶ τόδ' ᾤετο ὠφελήσειν τὸν λόγον. 228.

Παῦλος ὁ θεσπέσιος Γαλάταις ἐπιστέλλων τάδε φησὶν· ὅτε ἦλθεν εἰς Ἀντιόχειαν κατὰ πρόσωπον ἀντέστην τῷ Κηφᾷ, ὅτι κατεγνωσμένος ἦν· πρὸ τοῦ γὰρ ἐλθεῖν τινὰς ἀπὸ Ἰακώβου μετὰ τῶν ἐθνῶν συνήσθιεν, ὅτε δὲ ἦλθεν ὑπέστελλεν καὶ ἀφώριζεν ἑαυτὸν, φοβούμενος τοὺς ἐκ περιτομῆς, καὶ συνυπεκρίθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι· ὥστε καὶ Βαρνάβας συνυπήχθη τῇ ὑποκρίσει αὐτῶν· ἀλλ' ὅτε

ἴδον ὅτι οὐκ ὀρθοποδοῦσι πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου, εἶπον τῷ Κηφᾷ ἔμπροσθεν πάντων, εἰ σὺ ἰουδαῖος ὑπάρχων ἐθνικῶς καὶ οὐκ ἰουδαϊκῶς ζῇς, πῶς τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν; ταῦτα Παύλου φήσαντος, Πέτρος ὁ θαυμάσιος μάλα χαίρων ἀποδεξάμενος, τὸ μὲν σφάλμα διωρθώσατο, καὶ γὰρ ἅπτεται μῶμος καὶ τῶν ἀρίστων, ὡς εἶναι μόνου θεοῦ τὸ ἀνέγκλητον, τῆς δὲ παῤῥησίας τὸν Παῦλον ἐπαινέσας, φίλον εἶχεν ἐλέγχοντα, τῆς κενοδόξου προσλήψεως τὸ καλῶς ἔχον προτιμήσας· οὐ γὰρ τὸ πρῶτος εἶναι καὶ τῶν ἄλλων θεολόγων ἀκρότατος (1) καί περ τοσαύτην δόξαν κεκτημένος, ἀντεμέτρησεν τῇ τοῦ Παύλου παραινέσει.

231. Οὐκ ἂν παρέλθοιμ' οὐδὲ τὸ Στεφάνου καλὸν
232. Ὃν οἶδ' ἀπαρχὴν μαρτύρων καὶ θυμάτων,
233. Λίθοις ἐχώννυτ', ἀλλ' ὅμως τοῦ θαύματος
234. Μέσος λιθασμοῦ φθόγγος ἐξηκούετο·
235. Αὐτός τε συγχώρησιν ὡς εὐεργέταις
236. Διδοὺς λιθασταῖς, τὸν θεὸν τ' αἰτούμενος.

Στέφανος γέγραπται πλήρης χάριτος καὶ δυνάμεως· οὗτος πρῶτος διάκονος ἐπὶ τῆς χρείας ὑπὸ τῶν ἀποστόλων καταστὰς, συνέχυνεν τοὺς ἰουδαίους, ἀποδεικνὺς τὸν Χριστὸν υἱὸν εἶναι τοῦ θεοῦ τὸν ἐκλεκτὸν· τῶν δὲ τῷ Στεφάνῳ συμβαλλόντων, λιβερτινοὶ δὲ, καὶ κυρηναῖοι, καὶ ἀλεξανδρεῖς οὗτοι, καὶ κίλικες, καὶ ἀσιανοὶ, μὴ δυναμένων αὐτῶν ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ὃ ἐλάλει, μάρτυρας κατ' αὐτοῦ ψευδεῖς ἐπὶ βλασφημίᾳ συστησαμένων, ἀνάρπαστος ὁ Στέφανος μέσος ἦν ἐν τῷ συνεδρίῳ τῶν παρανόμων· ὃς πυνθανομένῳ ἀρχιερεῖ περὶ τῶν λεγομένων, τῆς

(1) Adnotemus testimonium de Petri primatu.

δημηγορίας ἀπαρξάμενος καὶ τὸν λίγιν καιρὸν λαβόμενος ἐπιτήδειον, τῶν μὲν κατηγορούντων ἐνέφραξε τὰ στόματα, τῇ δὲ μυστικῇ θεολογίᾳ τῆς εὐωδίας ἔλεν ἐπλήρωσεν τὸν ἀέρα· τούτῳ δὲ τῶν οὐρανίων πυλῶν ἀναπεταθεισῶν, αὐτὸς ὁ Θεὸς ὡς ἐφικτὸν ἦν ἑρατὸς, εἰ δὲ παρόντες κεκωνεῖ τῆς εὐφροσύνης κατά γε Στεφάνου τὴν παράθεσιν ὑφ' ἡδονῆς τινὸς θειοτέρας τὴν θεωρίαν παραθλεῦντες, ἢ μᾶλλον ἀποπλαγέντες τὸν θεόπτην ὡς βλάσφημον κατεδίκαζεν· ὡς δὲ τῆς πόλεως ἐλκόμενον, εἷα πάσχειν εἰκὸς τοὺς τὴν ἐπὶ θανάτῳ ἀπηγμένους, πρὸ πυλῶν ὡς ἄρνα μεθ' ὅσους τοὺς σπαραγμοὺς, μέσον εἶχον τὸν Στέφανον εἵαις ἀπειλαῖς βρυχωμένους καὶ τῶν χειλέων συσθῶς ἀπαφρίζοντας βλοσσυρὸν, ὑπόδρα ἀτενίζοντας ὑπ' ἐμπύρῳ τῷ βλέμματι καμήλειον τετρυγότας, πυκναῖς τε λίθων νιφάσι καταχωννύντας, καὶ καθόλου τοῦ σώματος παντόσε τοξεύοντας ἀπρεπῶς, αὐτὸς ὁρῶν ὡς εὐεργέταις οὐ μόνον κακοῖς οὐκ ἠμείψατο λόγοις τοὺς φονευτὰς, ἀλλὰ γὰρ τῆς θείας ψυχῆς ὡς εὐῶδες θυμίαμα τὴν ὑπὲρ τῶν φονευτῶν ἀμνησίκακον προσευχὴν προπέμψας, οὕτω ταύτην παρεπομένην εἰς χεῖρας θεοῦ παραδέδωκεν· οὐκ ὢν δὲ παρέλθειμι τὴν Λουκᾶ τοῦ Θεσπεσίου γραφὴν ἣ φησὶ, καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια παρὰ τοὺς πόδας νεανίου καλουμένου Σαύλου, καὶ ἐλιθοβόλουν τὸν Στέφανον ἐπικαλούμενον καὶ λέγοντα, κύριε Ἰησοῦ Χριστὲ δέξαι τὸ πνεῦμα μου· καὶ τοῦτο εἰπὼν ἐκοιμήθη.

Ταῦτ' οὐ προδήλως τῆς θεοῦ τυπώσεως, 237.
Καὶ τῶν ἐκείνου καὶ παθῶν καὶ δεγμάτων; 238.
Ὃς ὢν θεός τε καὶ κεραυνῶν δεσπότης 239.
Ὡς ἀμνὸς ἦγετ' εἰς σφαγὴν ἀφωνία. 240.

Λέγεται θεομίμητος ὁ Στέφανος ταύτῃ· καὶ γὰρ Ἰησοῦς

τοῖς σταυροῦσι τὸν πατέρα προκαθισὰς ἔλεω φησὶ, πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασιν τί ποιοῦσιν· ὡς δὲ πρόβατον ἐπὶ σφαγὴν ἤχθη κατὰ τὴν Ἡσαΐου πρόῤῥησιν, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἠνέωξε τὸ στόμα αὐτοῦ.

260. Μεμνήσομαι δὲ καὶ τίνων καὶ συντόμως·
261. Παίειν ἔμελλεν ὁ Στραγειρίτης τινὰ
262. Λαβὼν ἐπ' αἰσχροῖς καὶ κακοῖς ἐγκλήμασιν·
263. Θυμοῦ δ' ὑπεισελθόντος ἡνίκ' ἤσθετο,
264. Ἔστη παλαίων τῷ πάθει ὡς δυσμενεῖ,
265. Μικρὸν δ' ἐπισχὼν εἶπεν ὡς σοφοῦ λόγον,
266. Καινὸν πέπονθας, προστάτην ἔσχες χόλον.

Μεταγαγὼν ὁ Θεολόγος πάλιν ἐπὶ τοὺς τῶν ἔξωθεν δοκοῦντας τὸν λόγον, τὸν Στραγειρίτην παρεισάγει· οὗτος δὲ ὡς ἐπὶ κακοῖς πράξεσιν ἁλῶντα τινὰ μέλλων ἀνετάζειν, ὑπεισελθόντος θυμοῦ, μικρὸν ἐπισχὼν ὡς ἤσθετο, λόγον ἔφη σοφὸν, καινὸν πέπονθας, ὦ οὗτος, ἐπιλέγων ἑαυτῷ, θυμὸν προστάτην ἐσχηκὼς· αἰσχρὸν φήσας κακῷ τὸ κακὸν πλήττειν – κρατεῖν τε δούλου τοῦ πάθους ἡττώμενον.

270. Οὕτως ἐκεῖνος· τὸν δ' Ἀλέξανδρον λόγος
271. Εἰπόντος αὐτῷ Παρμενίωνος ποτὲ
272. Πόλιν τιν' ἐξελόντι τῶν ἑλληνίδων,
273. Εἰ δ' ὁ ὁρᾶσαι τί πολλάκις σκοπουμένῳ,
274. Ὡς εἴπερ ἦν ἐκεῖνος οὐκ ἐφίσατο,
275. Ἀλλ' οὐδ' ἐγώ' ἂν εἴπερ ἦν φάναι σύ γε·
276. Σοὶ μὲν γὰρ ὠφέλης, τὸ δὲ πρᾶξαι
277. Ἐμὸν· φεύγειν τε τὴν πόλιν τοὺς κινδύνους.

Τοῦ μακεδόνος Ἀλεξάνδρου ποτὲ μὲν ὡς σώφρονος ὁ θεῖος Γρηγόριος μέμνηται, ποτὲ δὲ καὶ ὡς πράου· τούτῳ γὰρ τῶν

ἑλληνίδων πόλεων ἄστυ περθοῦντι, καὶ τρόποις μηχανομένῳ λαβεῖν, τῷ Παρμενίωνι τινὰ τρόπον διαδράσαι σκοπουμένῳ, μηδαμῶς φείδεσθαι φήσαντος ὡς εἴπερ αὐτὸς ὑπῆρχεν ὁ πολιορκῶν, ἀντεπάγει, μὴ δ' ἂν αὐτὸν, ἐκεῖνος εἴπερ ἦν, φάναι· τοῦ μὲν γὰρ Παρμενίωνος τὴν ὠμότητα, τοῦ δὲ Ἀλεξάνδρου τὸ πρᾷον, καὶ ταύτῃ τὴν πόλιν τοὺς κινδύνους μάλιστα διαδρᾶναι, πρέπον ᾤεσθαι δεῖν· ἄλλος δὲ περὶ αὐτοῦ φησὶν, ὅτι θηβαίους νεωτερίζοντας, ἐπιστήσας τὸ στράτευμα κατὰ κράτος αἴρει, ὅτε δὲ καὶ τὴν Πινδάρου οἰκίαν μόνην ἐκέλευσεν ἀπαθῆ διαφυλαχθῆναι, καὶ ὅστις δὲ ἦν αὐτῷ προσήκων αἰδοῖ τοῦ ποιητοῦ διεσώζετο.

Κἀκεῖνο δ' οἷον, ὡς ἐπαίνων ἄξιον· 278.
Ἐλοιδόρει τίς τὸν μέγαν Περικλέα 279.
Πολλοῖς ἐλαύνων καὶ κακοῖς ὀνείδεσιν, 280.
Τῶν δ' οὐδὲ τιμίων τίς ἄχρις ἑσπέρας· 281.
Ὁ δ' ἡσυχῇ τὴν ὕβριν ὡς τιμὴν φέρειν· 282.
Τέλος καμόντα καὶ βαδίζοντ' οἴκαδε 283.
Προὔπεμψε λύχνῳ, τὸν χόλον δ' ἀπέσβεσεν. 284.

Ἐξηγηματικῶς ὁ θεῖος Γρηγόριος τὰς ἱστορίας αὐτὰς ἐνταῦθα παρεισάγει· τὸν μὲν γὰρ Περικλέα, φιλόσοφος δὲ, πολλοῖς ὀνείδεσι καὶ κακοῖς ἐλοιδόρει τίς τῶν μάλιστα εὐτελῶν ἕως ἑσπέρας *, ἢ μάλιστα προπέμπει τὸν ὑβριστὴν κεκμηκότα λαμπάδι πυρσούμενον, τὴν μῆνιν ὧδε τοῦ δυσφημοῦντος ὁ φιλόσοφος ἀποσβέσας.

Ἄλλος δ' ὑβριστὴν πλουσίαις ἐφ' ὕβρεσιν 285.
Προσθέντ' ἀπειλὴν ὡς ὀλοίμην παγκάκως, 286.
Εἰ μὴ κακὸν κακῶς σε κτείναιμι σθένων· 287.
Τούτοις ἀμείβεθ' ὡς φιλανθρώποις λόγοις, 288.
Κἀγὼ γ' ὀλοίμην, εἰ σὲ μὴ θείην φίλον. 289.

Ἄλλος τίς φιλόσοφον πολλαῖς ὕβρεσι περιβεβλημένον, ὕστερον ἀπειλούμενος τάδε φησὶ· γένοιτό μοι καὶ τάδε προστεθεὶς, εἰ μὴ κακῶς σε ὅση μοι δύναμις κατακτείναιμι· τούτοις δὲ τὸν φιλόσοφον ἀποκριθήσεσθαι λέγεται τοῖς φιλικοῖς ῥήμασιν, κἀγὼ φησὶν ἀπολοίμην εἰ μὴ σὲ φίλον ποιήσαιμι.

290. Κωνστάντιον δὲ, καὶ γὰρ εἰπεῖν ἄξιον,
298. Πολλαῖς δ' ἐπειπὼν καί τινα τοῖσιν λόγον·
299. Τί τῆς μελίττης ἐστὶν ἡμερώτερον;
300. Ἀλλ' οὐδ' ἐκείνη τῶν τρυγώντων φείδεται·
301. Ἤκουσε· πῶς οὐκ οἶδας ὦ βέλτιστε σὺ,
302. Ὡς οὐδ' ἐκείνη κέντρον ἐστὶν ἀσφαλὲς;
303. Παίει μὲν, αὐτὴ δ' εὐθέως ἀπόλλυται.

Κωνστάντιος υἱὸς γέγονε Κωνσταντίνου τοῦ μεγάλου βασιλέως ῥωμαίων, ὃς ἦν τῶν πώποτε βασιλευσάντων πραότατος· τοῦτον παρώξυνε τῶν ἐπιδόξων τις μεγίσταις τιμαῖς ἐξαιρόμενος· προσθεὶς δὲ πολλαῖς λόγοις ὡς οὐδὲν εἴη τῆς μελίσσης πραότερον, ἀλλ' οὐδὲ τῶν τρυγώντων αὐτὴ φείδεται, πειθανότερον ἤκουσεν, ὡς οὐδὲ αὐτῇ τῇ μελίσσῃ τὸ κέντρον ἐστὶν ἀσφαλὲς, παίει μὲν γὰρ, αὐτὴ δὲ τῷ κέντρῳ διόλλυται θᾶττον.

494. Ὁ δ' ἐκ Σινώπης πρεσιὼν ταῖς στέγους
495. Ὕβριζε ταύτας, ὡς λόγος· τί μνώμενος;
496. Φέρειν τὰς ὕβρεις εὐκόλως ταῖς ὕβρεσιν.

Λέγουσι τὸν Διογένην εἶναι τοῦτον, ὃς ταῖς ἑταιριζομέναις προσφέρων ὕβρεις, ὑπ' αὐτῶν ἀνθυβρίζετο· καὶ γὰρ οὐδὲν ἐκείναις τοῦ μηδὲν αἰσχύνεσθαι σπουδαιότερον· τοῦτο δὲ τὸν φιλόσοφον ποιεῖν λέγεται, διὰ τὸ ἐθίζειν ἑνεκεν ἑαυτὸν γενναίως τὰς ὕβρεις ὑποφέρειν.

ΛΟΓΟΣ ΡΚς.

ΚΑΤΑ ΠΑΛΟΝΤΚΤΟΥΝΤΩΝ ΠΑΟΥΣΙΩΝ.

Ed. iamb. XXII.

Ξέειν, ὃ δὴ λέγουσι, καὶ νηπίων τρίχας. 134.

. . . . . Desunt in cod. paginae quatuor.

Χριστῷ συνεισελθόντα λῃστὴν ἐκ ξύλου.

Ὁ μὲν ὄφις τὴν Εὔαν ἀπατήσας τοῦ ξύλου μετασχεῖν, οὗ ὁ Θεὸς μὴ φαγεῖν ἐνετείλατο, ἐλπίδι τοῦ θεοὶ χρηματίσαι δελεασθεῖσαν, καὶ δι' αὐτῆς τὸν Ἀδὰμ, ἐξαίστους τοῦ παραδείσου πεποίηκεν, τάξας τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου· Χριστοῦ οὖν σαρκὶ παθόντος ὑπὲρ τῆς ἀνθρώπων σωτηρίας, τῶν συσταυρωθέντων αὐτῷ δύο κακούργων, πιστεύσας ὁ εἷς, μνήσθητί μου κύριε φησὶν ὅτ' ἂν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου· Χριστὸς δὲ πρὸς αὐτὸν· ἀμὴν λέγω σοι, φησὶ, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ, ταύτῃ τοι πρῶτος τὸν παράδεισον οἰκῆσαι μετὰ τῶν πρωτοπλάστων ἐκβολὴν ὁ λῃστὴς λέγεται καὶ πεπίστευται. Ed. Lips. p. 176.

Κρεμῶ σε χαλκοῦν ὡς βλάβην ἑρῶν φύγω. Ed. p. 177.

Τοῖς ἰσραηλίταις πολυτρόπως τὸν Θεὸν παροργίζουσι, πολλαῖς μὲν πληγαῖς παιδεύσας ὁ Θεὸς, πρὸς δὲ καὶ ὄφεις αὐτοῖς ἐπαφήσας ἐμάστιζεν· ἀνηρεῖτο δὲ παραχρῆμα πᾶς δακνόμενος ὑπὸ ὄφεως, ἀνθρωπίνης βοηθείας τὸν ὄλεθρον ἐξύτερον ἐπισπώμενος· φεισαμένου δὲ τοῦ φιλανθρώπου Θεοῦ, τὸν Μωϋσέα λέγεται προσάξαι χαλκοῦν ὄφιν ἐγκάρσιον ἱκρίῳ κρεμάσαντα, τοῖς ἐγχριπτομένοις παρεγγυῆσαι τούτῳ προσέχειν, θᾶττον τὲ τὸν ὄλεθρον διαδιδράσκειν.

Τῶν σῶν συῶν πλήρωσον εἰσελθὼν βάθη. Ed p. 177.

Κεῖται ἡ κατὰ τὸν λεγεῶνα καὶ τοὺς χοίρους ἐξήγησις ἐν τῷ α΄ λόγῳ.

Ed. p. 176.

Ἐπιστάτα κλύδων με δεινὸς ἀμφέπει,
Τὸν σὸν μαθητὴν ἐξέγειρον πρὶν θάνω·
Μένεν κέλευσον, καὶ ζάλη τεθνήξεται.

Χριστοῦ καθεύδοντος ἐν τῷ πλοίῳ καὶ τῆς θαλάσσης ἀγριουμένης, ταύτην εἱ μαθηταὶ τὴν φωνὴν τῷ δεσπότῃ προήγαγον· ἐπιστάτα σῶσον, ἀπολλύμεθα· Χριστὸς δὲ ἀναστὰς καὶ τοῖς ἀνέμοις ἐπιτιμήσας, γαλήνην ἐν τῇ θαλάσσῃ πεποίηκεν.

ΛΟΓΟΣ ΡΛΓ.

Ed. Tollii arm. XIX.

ΕΙΣ ΤΗΝ ΝΟΣΟΝ.

Καλεῖς καλεῖς με, προστρέχω, δέδεικα δὲ
Τὸ πῦρ τὸ χάσμα τὴν ξέσιν τοῦ πλουσίου·
Τίς Ἀβραὰμ δύσει με τοῖς κόλποις φέρων;

Κεῖται περὶ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου ἐν τῷ α΄ λόγῳ.

Οὐχὶ πάτησιν σκορπίων ἐλπίζομεν;

Χριστὸς φησὶ τοῖς ἑαυτοῦ μαθηταῖς, ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.

Ἰδοὺ τὰ θέρμα τὴν κολυμβήθραν ἔχω·
Ποῦ δ' ἄγγελός μοι; δεῦρο, φαρμάσσοις ὕδωρ
Εἰ μή, σὺ σώτερ εἰπὲ, καὶ παγήσομαι.

Κεῖται περὶ τῷ παραλυτῷ ἐν τῷ α΄ λόγῳ.

ΛΟΓΟΙ ΡΛΔ. ΡΑΕ. ΡΑς. ΡΑΖ. ΡΑΗ. ΡΑΘ.

ΗΛΙΟΥ ΘΑΥΜΑΤΑ.

Ed. imb. XVII.

Ἡλιοῦ θαύματα καὶ εἰρμὸν ἐξηγεῖται Γρηγόριος ὁ Θεολόγος· ἔστι δὲ τὸ σχῆμα οὐκ ἱστορίας ἀλλ' ἐξηγήσεως ἐν τάξει μεταφράσεως συντόμῳ λόγῳ καὶ ἐμμέτρῳ· εἰσὶν δὲ τὰ θαύματα ὧδε· ἐτράφη κόραξιν, καὶ τὴν χήραν ἔθρεψεν τὴν σιδωνίαν μικρᾶς ὑπολίμμασιν ἀλεύρου καὶ ἐλαίου, καὶ τὸν υἱὸν αὐτῆς ἑπτὰ ῥυσήμασιν νεκρὸν ἀναζωπύρισεν, τὸν ὄμβρον δὲ καὶ δρόσον ἀνέσχεν, τριῶν ἥμισυ χρόνων τὸν οὐρανὸν ἀποκλείσας, τῇ θυσίᾳ δὲ ξένον πῦρ ἐπαφῆκεν, καὶ τοὺς προφήτας ἀπέκτεινεν τῆς αἰσχύνης, τεσσαράκοντα δὲ ἡμέρας ἄγευστος διέμεινεν, τροφῆς τὲ καὶ ὕδατος ὑπὸ ἀγγέλου μετέσχεν, δύο δὲ πεντηκοντάρχους ἔφλεξε πανστρατιᾷ θελήσαντας αὐτὸν ἑλκῦσαι, διῆλθεν τὸν Ἰορδάνην τεμὼν αὐτὸν τῇ μηλωτῇ, καὶ πρὸς οὐρανὸν ἀνέπτη πυρὸς ἐπιβὰς ἅρματι καὶ ἵπποις, ἐμοῦ δὲ τῇ μηλωτῇ καὶ τὴν χάριν Ἐλισσαίῳ κατέλειπεν.

ΛΟΓΟΣ ΡΜ.

ΕΛΙΣΣΑΙΟΥ ΘΑΥΜΑΤΑ.

Ibidem.

Ὁμοίως ὁ θεῖος Γρηγόριος Ἐλισσαίου διέξεισιν ὧδε τὰ θαύματα· διῆλθεν τὸν Ἰορδάνην τῇ μηλωτῇ, τεμὼν τὰς πηγὰς τοῖς ἅλσιν ἔθηκεν εὐτέκνους Ἰεριχοῦντος τοὺς, δὲ προπετεῖς παῖδας ὡς ὑβριστὰς θηρίοις ἀπώλεσεν, τῷ γρατῷ δὲ διψῶντι ἐξ Ἐδὼμ ὕδωρ ἐσήγασε ῶστιμον, ἐκ δὲ χρέους ἐῤῥύσατο γυναῖκα δαψιλῶς ἐλαίου πηγάζοντος ἀφθο-

νίαν παρασχόμενος, οὐκ ὄντα δὲ τῇ Σουμανίτιδι παῖδα χαρίζεται, καὶ θανόντα πάλιν ἐξανέστησεν, θάνατον ἐν τοῖς λέβησιν ἐκ βοτάνης ἐπέσχεν φθείρειν μελλούσης τοὺς ἐσθίοντας, τοῖς δὲ μέλλουσιν ἐβεβήθησεν ἐνδεεστέρα τροφῇ, Ναιμὰν δὲ τὸν σύρον τῆς λέπρας ἀποκαθάρας, πέμπει τῷ Γιεζεῖ τὴν νόσον ὡς φιλαργύρῳ, τοῖς νώτοις τὴν ἀξίνην πεσοῦσαν Ἰορδάνου τῶν βυθῶν ἀνελκύσας παρεσκεύασεν ἐπιπολάζειν, τοὺς δὲ σύροντας αὐτὸν ἐχθροὺς ἕλκων ἀβλεψίᾳ παρεπομένους ἔδωκεν τοῖς ἑβραίοις καὶ τούτους ἀπέλυσεν ἀβλαβεῖς· προεῖπεν εἶτα τῷ λαῷ τὴν εὐθηνίαν, καὶ τῶν λεπρῶν τὴν ἐργασίαν, καὶ θανὼν ἤγειρεν νεκρὸν τῶν ὀστέων αὐτοῦ καὶ μόνον ἁψάμενον.

ΛΟΓΟΣ ΡΜΑ.

Ed. iamb. I.

ΑΚΡΟΣΤΙΧΙΣ ΕΙΣ ΕΜΑΥΤΟΝ ΚΑΙ ΤΟΥΣ ΦΘΟΝΟΥΝΤΑΣ.

Ἐπαλείφων ἑαυτὸν πρὸς τοὺς ἀγῶνας καὶ παραμυθούμενος ὁ θεῖος Γρηγόριος φησὶν ὡς ὁ μὲν Ἡσαΐας κατεπρίσθη, τοὺς δὲ τρεῖς παῖδας ἐν ξένῃ τὸ πῦρ ὑπεδέξατο, τοῖς δὲ θηρίοις ὁ Δανιὴλ ἐρρίπτο, Παῦλος δὲ καὶ Πέτρος ἐν Ῥώμῃ διήθλησαν, ὁ δὲ πρόδρομος Ἰωάννης τῆς παῤῥησίας ἕνεκεν κεφαλικὴν ὑπέστη τιμωρίαν. Κεῖνται δὲ τούτων αἱ ἐξηγήσεις ἐν τοῖς προκειμένοις.

ΛΟΓΟΣ ΡΜΒ.

Ed. Tollii carm. X.

ΕΙΣ ΕΜΑΥΤΟΝ.

Σιὼν ἑῴοις πενθοῦσι τὸν νόμου λάτριν,
Λαὸν πεθοῦσαι ἡμέραις ἑορτίοις.

Ἱερεμίας ὁ προφήτης τῆς Ἱερουσαλὴμ ἀποικισθήσης ὑπὸ τῶν ἀσσυρίων ἐθρήνησεν, τὸν δὲ θρῆνον τοῦτον Σιὼν ὁδοὶ πενθοῦσι παρὰ τὸ μὴ βλέπειν λαὸν ἐρχόμενον ἡμέραις ἑορτίοις· Γρηγόριος δὲ ὁ θεῖος πενθεῖν φησὶ τὸν λαὸν ἐν αὐτὸς ἐγέννησε τῇ τριάδι καταρτήσας, παρὰ τὸ μὴ τῆς αὐτοῦ διδασκαλίας ἀπολαύειν.

Βροντᾶτε βύρσαις, ἀστραπὰς ἐλλυχνίους
Πέμποιτ', ἐγὼ δ' ἔδησα καὶ πάντη λόγον.

Ed. Tollii carm. V.

Σαλμωνεὺς Αἰόλου μὲν ἦν υἱὸς, βασιλεὺς δὲ Θεττάλων· οὗτος ἀσεβὴς εἰς θεοὺς γενόμενος, ὡς ὁ μῦθος φησὶ, προσάπτων ἅρμασι βύρσας ξηράς τε καὶ σκληρὰς καὶ λέβητας τινὰς μετὰ βυρσῶν, ἤχους ἀπετέλει κτύπων· μετὰ χεῖρας δὲ βαστάζων καιομένας λαμπάδας, ἐμεγαλαύχει καθάπερ Ζεὺς βροντᾷν τὲ καὶ ἀστράπτειν· ὃς ὑπὸ Διὸς κεραυνωθεὶς ἀνῃρέθη, καὶ κατέλιπεν θυγατέρα ἀφήλικα ὀνόματι Τύρω· αὕτη τραφεῖσα ὑπὸ τοῦ ἰδίου πρόσπατρος θείου Κηφέως, ἠράσθη τοῦ ἐγχωρίου ποταμοῦ Ἐνιπέως· τούτῳ δὲ τῷ ποταμῷ ὁμοιωθεὶς Ποσιδὼν συνεγένετο ἀντὶ Ἐνιπέως τῇ Τύρῳ, καὶ συνέλαβεν Πελίαν καὶ Νιλέαν, καὶ εἶχεν τούτους ἐγκύους· ἐγαμήθη δὲ αὕτη ὑπὸ Κριθέως, τῇ δὲ ἀληθείᾳ ἐκ Ποσιδῶνος· ὕςερον δὲ καὶ ἐξ αὐτοῦ Κριθέως ἔσχεν παῖδας ἡ Τύρω· τὸν μὲν οὖν Σαλμωνέα κατὰ μίμησιν τοῦ Διὸς ταῖς βύρσαις βροντᾷν καὶ ἀστράπτειν ἐν λυχνίᾳ, ὁ μῦθος διαγορεύει· ταύτην δὲ τὴν ἱστορίαν ὁ θεῖος παρήγαγε Γρηγόριος, ἐπείπερ κατὰ μίμησιν αὐτοῦ πρὸς λόγους ἀπογινόμενοι καὶ πρὸς ἀντίθεσιν ὁρῶντες ἐβρόντων μὲν ὅσον βύρσαις ἐστὶ συγκρίναι πρὸς τὴν ἀληθῆ βροντὴν τὸν κτύπον, καὶ ὅσον ἐλλύχνιον φῶς πρὸς ἀςραπὴν ἐξαςράποντες κατὰ σύγκρισιν τοῦ θείου Γρηγορίου.

ΛΟΓΟΣ ΡΜΓ.

Ed. Tollii carm. II.

ΕΙΣ ΕΜΑΥΟΝ.

Οὐκ ἠγνόουν Ἰωνᾶν, ὃς Θεοῦ λόγον
Ἔφυγεν, ἀλλ' ἐλήφθη
Κλύδωνι, κλήρῳ, θηρίῳ, γαστρὶ, βράσει.
Κεῖται ἡ κατὰ τὸν Ἰωνᾶν ἐξήγησις ἐν τῷ α΄ λόγῳ.
Ὡς Λάζαρόν με τετραήμερον τάφων
Ἐξήγαγες βοήσας.
Κεῖται ὁμοίως ἐν τῷ α΄ λόγῳ.

ΛΟΓΟΣ ΡΜΔ.

Ed. Billii iamb. XX.

ΕΙΣ ΠΟΛΥΟΡΚΟΥΣ ΔΙΑΛΟΓΙΣΤΙΚΟΣ.

Πολλὰ περὶ τοῦ μὴ δεῖν ὀμνῦναι διαλεχθεὶς ὁ θεῖος Γρηγόριος ἐπάγει τὸ γεγραμμένον ὡς ἐπαπόρημα· τὸ δὲ ἐστὶν, καθ' ἑαυτοῦ ὤμοσεν κύριος, καὶ τῷ ὤμοσεν κύριος τῷ Δαβὶδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτὸν· καὶ ὅτι Παῦλος φησὶ, μάρτυς μου ἐστὶν ὁ Θεὸς ᾧ λατρεύω ἐν τῷ πνεύματί μου ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ· καὶ ἀλλαχοῦ, οὔτε προφάσει πλεονεξίας Θεὸς μάρτυς· ταῦτα μὲν οὐχ ὅρκου σχῆμα κεκτῆσθαι Γρηγόριος φησὶν ὁ Θεολόγος, ἀλλὰ τρόπον πίστεως τὸ βεβαῖαν εἶναι τὴν ἐπαγγελίαν· λέγει δὲ ὅτι καὶ Πλάτων κέχρηται τισὶν ὀνόμασιν ἐφ' οἷς ὀμνύειν ἐδόκει καὶ μάλιστα τῇ πλατάνῳ· τοὺς δὲ ἄλλους σοφοὺς μὰ τὸ δαιμόνιον ὀμνύειν ἔφησεν.

ΛΟΓΟΣ ΡΜΕ.

ΕΙΣ ΕΑΥΤΟΝ ΚΑΙ ΠΕΡΙ ΕΠΙΣΚΟΠΩΝ.

Ed. Tollii Carm. I.

Μή μοι τὰ Σέξτου, μηδὲ Πύῤῥωνος πλέκε, 303.
Χρύσιππος ἔῤῥει, μακρὸν ὁ Σταγειρίτης, 304.
Μὴ δὲ Πλάτωνος στέργε τὴν εὐγλωττίαν. 305.

Τῶν ἀπαιδεύτων ὁ θεολόγος καθαπτόμενος κατ' ἀντίφρασιν ταῦτα φησὶν· ἐπειδὴ γὰρ τοῦ μὲν ἄρχειν καὶ καθηγεῖσθαι λαοῦ περὶ πολλοῦ ποιοῦνται καὶ τῆς ἀπαιδεύτου καὶ γλώσσης καὶ γνώμης ὑπεραπολογούμενοι, τοὺς μακαρίους ἀποστόλους ὡς ἀλιεῖς εἶεν εἰς μέσον προφέρουσιν, ἱκανῶς ἀποδείξας ὁ θεολόγος Γρηγόριος αὐτὸ τοῦτο τὴν χάριν τοῦ πνεύματος μὴ ἄλλως εἰ μὴ τῷ διὰ γλώσσης τοῖς ἀποστόλοις ἐν εἴδει πυρὸς ἐπιφοιτῆσαι δεδεῖχθαι, τελευταῖον αὐτῶν καταμωκώμενος μὴ τὰ Σέξτου φησὶ πλέκε, μὴ δὲ τὰ Πύῤῥωνος, φθειρέσθω δὲ Χρύσιππος, Πλάτωνος δὲ μηδὲν ἡ σωμυλία, σὺ δέ μοι φησὶν εἷς δικαῖς προκαθέζεσθαι φιλοσόφει, καὶ τὴν λέξιν πεζεύων ἀγροικοστόμει· μόνον δὲ εἴδασκε περὶ τῆς τριάδος ὅπως ἐνιζόμενη τέμνεται, καὶ τεμνομένη συνάπτεται, καὶ ἐξῆς περὶ Χριστοῦ παθημάτων, καὶ κόσμου τοῦ τε μένοντος τοῦ τε παριπταμένου, καὶ εἰς τὸν πρόεδρον φιλοσοφεῖν ἔδει, δι' ὧν τε γνωρίζεσθαι μάλιστα.

Σίμων μάγος χθὲς, σήμερον Πέτρος Σίμων. 430.

Σίμων ὁ μάγος ἀπὸ Γιτθῶ τῆς κώμης ὑπῆρχεν· οὗτος δὲ ἐν ἀρχῇ τοῦ κηρύγματος τὸν λόγον ἐν Σαμαρείᾳ καταγγελλόμενον ἀκούσας ὑπὸ Φιλίππου τοῦ ἀποστόλου καὶ πιστεύσας ἐβαπτίσθη· Πέτρῳ δὲ τοῖς πιστοῖς ἐπιτιθοῦντι τὰς χεῖρας καὶ τῷ πνεύματι τελειοῦντι, προσελθὼν ὁ Σίμων μετ'

ἐπιδώσεως χρημάτων ᾐτει τὴν χάριν λαβεῖν, ὡς ἂν ᾧ ἐπιθῇ τὰς χεῖρας ἐπέλθοι τὸ πνεῦμα τὸ ἅγιον· Πέτρος δὲ προσαπεκρίνατο, τὸ ἀργύριόν σου σὺν σοὶ εἰς ἀπώλειαν, ὅτι τὴν χάριν τοῦ Θεοῦ διὰ χρημάτων ἐνόμισας κτήσασθαι· οὐκ ἔστιν οὖν σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ· πολλοῖς δὲ τοῖς πρὸς αὐτὸν ἀγῶσιν ἐναθλήσας ὁ Θεῖος ἀπόστολος, τέλος ἐν Ῥώμῃ τέχνῃ μαγικῇ μεγαλαυχούμενον τὸν Σίμωνα μετεωρίζεσθαι δι' ἐντεύξεως κοινῆς Πέτρος καὶ Παῦλος παρόντος Νέρωνος τοῦ βασιλέως ἐξ ὕψους κατέρριψαν, ἄθλιον ἀποδείξαντες μάγον τὸν ὡς παράκλητον ἑαυτὸν μεγαλαυχοῦντα· τούτου παρομοίους τοὺς διὰ χρημάτων ἐπισκοπῆς ἢ τινὸς προστασίας κρατοῦντας ὁ Θαυμάσιος κρίνας Θεολόγος φησὶν, ὅτι χθὲς ὑπάρχων Σίμων μάγος, σήμερον ὡς τις Σίμων Πέτρος τοῦ δόγματος δοκεῖ προκαθέζεσθαι.

434. Πόθεν πένης ὢν εἶθ' ὑπερβάλλων Κύρον
435. Τὸν Μῆδον ἢ τὸν Κροῖσον ἢ Μίδαν πόρεις
436. Μετῆλθες εἰς τὸ βῆμα καὶ κρατεῖς θρόνου.

Κύρος Μήδων βασιλεὺς ὑπῆρχεν πλούσιος σφόδρα, Κροῖσος δὲ λύδιος ἦν πολύχρυσος ἄγαν, ὁ δὲ Μίδας φρὺξ· ἀλλ' ὅμως αὐτῷ πάντα χρυσὸς γέγονε δι' εὐχῆς, δίκην αὐτῷ τῆς ἀμετρίας παρέχων. Κεῖνται δὲ αἱ κατ' αὐτοῦ ἐξηγήσεις ἐν τοῖς ἤδη λεχθεῖσιν· φησὶν οὖν ὁ Θεῖος Γρηγόριος· πόθεν ὢν οὗτος πένης ὑπάρχων τοὺς τοιούτους ὑπερβάλλων τῷ πλούτῳ μετῆλθες εἰς τὸ βῆμα καὶ κρατεῖς θρόνου, βίᾳ τὸ περισσὸν χειρωσάμενος, ἵνα μὴ λέγω τὸ πᾶν;

457. Γενοῦ Ζακχαῖος, τοῖς μὲν ἠδικημένοις
458. Μὴ πλεῖον, αὐτὸ τὸ κεφάλαιον, εἰ δοκεῖ
459. Μόνον κατάθες· οὐ γὰρ φέρεις τὸ τοῦ νόμου.

Φησὶ Ζακχαῖος, καὶ εἴ τινός τι εἴληφα ἢ ἀπεσέρησα,

ἀποδώσω τετραπλάσιον· σὺ δὲ, φησὶν ὁ Θεὸς, κἂν τὸ κεφάλαιον ἀπόδος ὦ πλεονέκτα.

Ἐφοὺδ τὲ σεμινὲν ἡ Σαμουὴλ διπλεῖς. 655

Γέγραπται ὅτι τῷ Σαμουὴλ ἡ μήτηρ ἀνέφερεν διπλοΐδα μικρὰν ἐν Σιλωὰμ ἔνθα ἦν λειτουργῶν τῷ κυρίῳ, καὶ ἔτι ἐφοὺδ περιεβέβλητο· ἐφοὺδ δὲ ἐστὶν ἐφίστρις ὡς Ἀκύλας, ὡς δὲ Θεοδοτίων, ἐπωμὶς ἢ ἐξωμίς.

Χωρὶς τὰ Μύσων καὶ Φρυγῶν ἐρίσματα. 662.

. . . . . μνίου καὶ καρτερικαῖς φυλακαῖς. Desunt in codice paginae quatuor.

Γαλὴν καθίζει μῦθος εἴσω παστάδος· 701.

Νύμφην γὰρ εἶχεν νυμφικῶς ἐσταλμένην· 702.

Ἐπιδραμοῦσα δεῖπνον εἶχεν οὐ γάμον. 706.

Τοιοῦτός ἐστι πᾶς νόθος διδάσκαλος. 707.

Εἰ δ' οὕτως ἡμῖν καὶ πρόεδρος ὢν τύχοις, 721.

Εἰ μὲν κάκιστος καὶ πονηρίας πλέως, 722.

Τοῦτ' ἔσι καὶ νὺν ῥάμνον ἄρχειν τῶν ξύλων. 723.

Γεδαιὼν ὁ κριτὴς ἑβδομήκοντα τίκτει παῖδας, ἐξ ὧν Ἀβιμέλεχ ἦν υἱὸς παλλακῆς σικιμίτιδος· οὗτος πείσας τοὺς σικιμίτας αὐτῷ συμμαχῆσαι, τοὺς ἀδελφοὺς ἅπαντας ἐπὶ λίθου ἀπέκτεινεν ἕνα· Ἰωνάθαν δὲ τῶν παίδων Γεδαιὼν ὁ νεώτερος ἐπὶ τὸ ὄρος ἀναδραμὼν διεσώθη· ἔφη δὲ, καὶ ταύτην τοῖς σικιμίταις τὴν παραβολὴν εἶπεν· πορευόμενα φησὶν ἐπορεύθη τὰ ξύλα τοῦ δρυμοῦ χρίσαι βασιλέα ἐφ' ἑαυτά· καὶ εἶπεν τῇ ἐλαίᾳ, δεῦρο βασίλευε ἐφ' ἡμῶν· τῆς δὲ τῇ ποιότητι τοῦ ἰδίου καρποῦ τὴν βασιλείαν οὐκ ἀντεξαγούσης καὶ διὰ τοῦτο βασιλεύειν παραιτησαμένης, εἶπεν τῇ ἀμπέλῳ, δεῦρο βασίλευε ἐφ' ἡμῶν· ὡς δὲ καὶ ταύτης παρωσαμένης οὐκ ἀξίαν κρινάσης τῆς οἰκείας εὐφροσύνης τὴν

τῶν ἀκάρπων ξύλων βασιλείαν, εἶπεν τῇ συκῇ δεῦρο βασίλευσον ἐφ' ἡμᾶς, ἀλλ' οὐδὲ ταύτης τῷ τῆς ἰδίας γλυκύτητος καρπῷ τὴν ἐκείνων ἀντιμετρούσης βασιλείαν, τῇ ῥάμνῳ προσελθόντα βασιλεύειν αὐτῶν ἐξητήσαντο· ῥάμνος οὖν ἐστὶν ἀκανθῶδες φυτὸν καὶ ἄκαρπον· ᾧ τὴν ἰδίαν ἐπέτρεπον ἀρχὴν τὰ τοῦ θρυμοῦ ξύλα· παρεικάζει δὲ τῇ ῥάμνῳ τὸν Ἀβιμέλεχ, τοὺς δὲ σικιμίτας τοῖς τοῦ θρυμοῦ ξύλοις· καὶ εἰ μὴ, φησὶν ἡ παραβολὴ, ἐξέλθοι πῦρ ἐκ τῆς ῥάμνου καὶ καταφάγεται τὰ ξύλα τοῦ θρυμοῦ· ἢ ἐκ τῶν ξύλων, καὶ κατέδεται τὴν ῥάμνον, ὃ καὶ γέγονεν· τῶν γὰρ σικιμίτων νεωτερισάντων κατὰ τοῦ Ἀβιμέλεχ, ἐπ' αὐτοὺς στρατοπαιδεύσας φορτία ξύλων ἄρασθαι ἕκαστον προστάσσει ὡς ἂν ἐμπρήσει τὰ Σίκιμα· οἱ δὲ σικιμῖται ὑπὸ τὸν ἐν Σικίμοις ἔφυγον πύργον, ὑφ' ὃν γεγονὼς ὁ Ἀβιμέλεχ, αὐτὸς μὲν ὑφῆψεν τὸ πῦρ, πᾶσαν τὴν πόλιν κατεδαφήσας, ἐκ δὲ τοῦ τείχους κλάσμα μύλου γυνὴ ῥίψασα, κατὰ τῆς κεφαλῆς Ἀβιμέλεχ ἤνεγκεν, καὶ ταύτην διαθλάσασα, ἀθλίως αὐτὸν τοῦ ζῆν ἀπήλλαξεν, κατὰ τὴν Ἰωνάθαν παραβολήν· καὶ γὰρ φησὶν ὡς ὁ πατὴρ αὐτοῦ Γεδαιὼν τὴν ψυχὴν ἔθηκεν ὑπὲρ Ἰσραὴλ ἐν χειρὶ αὐτοῦ, τοὺς δὲ υἱοὺς Γεδαιὼν ἀπέκτειναν ἑβδομήκοντα ἐφ' ἕνα λίθον· διὸ φησὶν αὐτῶν κατευχόμενος, ὡσεὶ πεπείκασιν ἐν ἀληθείᾳ καὶ δικαιοσύνῃ, κύριος ὁσφρανθείη ταύτην αὐτῶν τὴν θυσιαν, καὶ χαίρησαν ἐπὶ τῷ Ἀβιμέλεχ, κἀκεῖνος ἐπ' αὐτοῖς· εἰ δὲ μὴ, ἐξέλθοι πῦρ ἐξ Ἀβιμέλεχ, καὶ καταφάγεται Σίκιμα· καὶ ἐκ Σικίμων, καὶ καταφάγεται τὸν Ἀβιμέλεχ· ταῦτα μὲν ἡ τοῦ Ἰωνάθαν παραβολή· Γρηγόριος δὲ ὁ Θαυμάσιος τὸ μηδένα καρπὸν ἀρετῆς κεκτῆσθαι τοὺς τηνικαῦτα τῶν ἐκκλησιῶν πρωεδρεύειν ἀμιλλωμένους, ῥάμνον προσαγορεύει· τὸ δὲ χα-

λεπώτερον, ὅτι καὶ τοὺς εὐθηνουμένους τῷ τῆς διδασκαλίας καρπῷ καὶ πλοτοῦντας τῷ λόγῳ τῆς χάριτος ἀπωθούμενοι πολυτρόπως κακίζειν ἀγωνίζονται, τὴν ἐκείνων εὐλάβειαν τῆς οἰκείας ἀλαζονίας περισσοτέραν ὕλην κατασκευάζοντες οἱ ἀπαίδευτοι· τῶν γὰρ ὄντως ὁσίων εὐλαβείᾳ συζῆν προαιρουμένων, καὶ τοῦ μᾶλλον ἄρχεσθαι προτιμώντων, καὶ τῷ τῆς ἰδίας ἀρετῆς εὐφραινομένων καρπῷ, προπηδῶσιν οἱ ἀμαθεῖς, οἷα μὲν λέγοντες, οἷα δὲ πράττοντες, οἱ τῶν ἐπιδόξων κόλακες, ὥστε δόξης ἀντιτυχεῖν ἧς ἀνάξιοι καθεστήκασιν.

Εἰ δὲ κράτιστος, αὖθις ἐν στύλῳ πυρὸς 724.
Ἡγουμένῳ πορεύετ' Ἰσραὴλ μέγας. 725.

Στύλῳ πρὸς τὸν Ἰσραὴλ καθωδήγει προπορευόμενος αὐτοῦ· στύλος δὲ πυρὸς ἐςὶν φησὶ τοῖς ὁδηγουμένοις πρόεδρος εὐσεβὴς θείαις ἀρεταῖς λόγῳ καὶ σοφίᾳ κεκοσμημένος.

Πρωτεὺς σοφιστὴς εἰς κλοπὰς μορφωμάτων, 728.
Ἢ καὶ Μέλαμπους, ἤ τις ἄλλος ἄστατος, 729.
Πᾶσιν τὰ πάντα ῥᾳδίως τυπούμενος. 730.

Κεῖται ἡ κατὰ τὸν Πρωτέα καὶ Μελάμποδα ἱςορία ἐν τῷ μϛ' λόγῳ· οὗτοι δὲ μάντεις ὑπῆρχον μεταμορφούμενοι πρὸς τοὺς παρατυγχάνοντας· φησὶν οὖν ὁ θεῖος Γρηγόριος ὡς εἰ μή τις εὐσεβὴς τῶν προεστώτων εἴη, τούτοις ἔοικε τοῖς ἄλλως ἄλλοτε πρὸς τὸν παρατυγχάνοντα πλαττομένοις.

Ζεῦξίς τις ἢ Πολύκλητος ἢ τίς Εὐφράνωρ,
Ἀλλ' ὃς μὲν ἀνθηραῖς τε καὶ παντασκίοις
Βαφαῖς ἄμορφα σῶματ' ἐξεργάζεται;
Ὧν Καλλίμαχος, Κάλαϊς τ' ἤςην, ὡς δοκῶ,
Μόγις γράφοντες εἰκόνας τῶν εἰκόνων·

ex Lucia-
no in Zeu-
xide.

Τοιοῦτός ἐστι πᾶς ἀνὴρ πολύτροπος.

Ζεῦξις ἐκεῖνος ἄριστος γραφέων γενόμενος τὰ μὲν θηρώδη καὶ κενὰ σὺκ ἔγραφεν, ἢ ὅσα πάνυ ὀλίγα, ἥρωας ἢ θεοὺς ἢ πολέμους, ἀεὶ δὲ καινοποιεῖν ἐπειρᾶτο, καὶ τί ἀλλόκοτον ἐπινοήσας, ἐπ' ἐκείνῳ τὴν τῆς τέχνης ἀκρίβειαν ἐπεδείκνυτο· ἐν δὲ τοῖς ἄλλοις τολμήμασιν, καὶ θήλειαν ἱπποκένταυρον ὁ Ζεῦξις οὗτος ἐποίησεν, ἀνατρέφουσαν προσέτι παιδίω ἱπποκενταύρω διδύμω κριθὴ νηπίω· τῆς εἰκόνος ταύτης ἀντίγραφος νῦν ἐστὶ Ἀθήνῃσι, πρὸς αὐτὴν ἐκείνην ἀκριβεῖ τῇ σάθμῃ μετενεγμένη· τὸ ἀρχέτυπον δὲ αὐτὸ Σύλλας ὁ ῥωμαίων στρατηγὸς ἐλέγετο μετὰ τῶν ἄλλων ἐς Ἰταλίαν πεπομφέναι· εἶτα περὶ Μαλέαν εἶμαι καταδύσης τῆς ὁλκάδος ἀπολέσθαι ἅπαντα, καὶ τὴν γραφήν· ὥλην ἀλλὰ καὶ τήν γε εἰκόνα τῆς εἰκόνος ὡς εἶδέν τε θείξω τῷ λόγῳ· ἐπὶ χλόης εὐθαλεῦς ἡ κένταυρος αὕτη πεποίηται, ἕλκη μὲν τῇ ἵππῳ χαμαὶ κειμένη, καὶ ἀποτέτανται εἰς τ' οὐπίσω οἱ πόδες· τὸ δὲ γυναικεῖον ὅσον αὐτῆς, ἠρέμα ἐπήγερται καὶ ἐπ' ἀγκῶνός ἐστιν· οἱ δὲ πόδες οἱ ἔμπροσθεν σὺκ ἔτι καὶ αὐτοὶ ἀποτάδην εἷον ἐπὶ πλευρὰν κειμένης· ἀλλ' ὁ μὲν ὀκλάζοντι ἔοικε καμπύλος ὑπεσταλμένῃ τῇ ὁπλῇ, ὁ δ' ἔμπαλιν ἐστανίσταται καὶ τοῦ ἐδάφους ἀντιλαμβάνεται οἷόν εἰσιν ἵπποι πειρώμενοι ἀναπηδᾶν· τοῖν νεύγνιν δὲ τὸ μὲν ἄνω ἔχει αὐτὴ ἐν ταῖς ἀγκάλαις καὶ στρέφει ἀνθρωπικῶς ἐπέχουσα τὸν γυναικεῖον μασθὸν· τὸ δὲ ἕτερον ἐκ τῆς ἵππου θηλάζει, εἰς τὸν πωλικὸν τρόπον· ἄνω δὲ τῆς εἰκόνος οἷον ἀπό τινος σκοπῆς ἱπποκένταυρός τις ἀνὴρ ἐκείνης θηλαδὴ τῆς τὰ βρέφη ἀμφοτέρωθεν τιθηνουμένης, ἐπικύπτει γελῶν, σὺχ ὅλως φαινόμενος, ἀλλ' εἰς μέσον, τὸν ἱπποκένταυρον σκύμνον ἔχων τῇ δεξιᾷ, καὶ ὑπὲρ αὐτὸν αἰωρῶν

ὡς δεδείξαιτο τὰ βρέφη· τὸ δὲ θαυμαστὸν τοῦ Ζεύξιδος ὅτι ἐν μιᾷ ὑποθέσει τὸ ποικίλον τῆς τέχνης ὑπεδείξατο, τὸν μὲν ἵππον ἄγριον ὄμμα θηριῶδες· τὴν δὲ ἵππον, ἡμίτομον ὑπερθεν γυναικὸς· ὅσα δὲ τῶν νώτων ἔξω, σατυρώδη· Ζεύξιδος δὲ εἰκόνι ἀπεικάζει Γρηγόριος τῶν ἐπισκόπων περὶ τὴν γνώμην τὸ πολύτροπον καὶ ἀσύνθετον.

ΛΟΓΟΣ ΡΜς.

ΕΙΣ ΕΜΑΥΤΟΝ ΔΙΑ ΤΟ ΕΜΜΕΤΡΩΣ ΛΕΓΕΙΝ.

Ed Billi. carm. de vita sua.

Πάντων δ' ὑπομνήσας σε τῶν πρὶν θαυμάτων,
Οἷς τὴν μεγίστην χεῖρα σου γνωρίζομεν,
Πόντου ῥαγέντος Ἰσραὴλ ὡδευκότος
Χειρῶν ἐπάρσει δυσμενῶν ἡττημένων.

Κεῖται ἡ παροῦσα ἱστορία ἐν τοῖς ἤδη λεχθεῖσιν.

Σάλπιγξι τειχῶν καὶ δρόμῳ πορθουμένων.

Ἰησοῦς ὁ τοῦ Ναυῆ τὴν Ἱεριχῶ πόλιν πορθήσας, ἑπτὰ ἱερεῖς καὶ σάλπιγγας τὰς αὐτὰς ἔστησεν, ἐπὶ ἡμέρας ἑπτὰ σαλπίζοντας κύκλῳ τῆς πόλεως· ἑπτάκις δὲ τὴν πόλιν περιδραμόντων τῶν σαλπιζόντων, αὐτομάτως τὰ τείχη τῆς πόλεως κατεστράφη, καὶ παντελῶς ἀνεθεματίσθη.

Καὶ νῦν μαθητὴς ἐν σάλῳ τείνασσέ μοι
Τὸν ὕπνον, ἢ πέζευε, καὶ στήτω φόβος.

Κεῖνται ἐν διαφόροις λόγοις.

Πηγῆ τίς οἶμαι πόντιος καθ' ὑδάτων
Γλυκεῖα πικρῶν, ὥσπερ οὖν πιστεύεται.

Κεῖται περὶ τοῦ Ἀλφίου ποταμοῦ καὶ τῆς Ἀρεθούσης πηγῆς ἐν τῷ ζή λόγῳ.

Οὐ γὰρ κρότων ἐμοί γε καὶ ψόφων λόγος,

Οὐδὲ βλακευμάτων τε καὶ λυγισμάτων,
Οἷς εἰ σοφοὶ χαίρουσιν ἐν πλήθει νέων·
Πρῶτον δὲ τοῦτο φιλοσοφῆσαι προὐθέμην,
Ῥίψαι θεῷ καὶ τ' ἄλλα καὶ πόνους λόγων,
Ὅσοι παρέντες μηλοβότους τὰς οὐσίας
Ἢ χρυσὸν ἀθροίσαντες εἰς ἅλμης βυθούς.

Μέμνηται Κράτητος τοῦ Θηβαίου, καὶ Διογένους, καὶ Ἀντισθένους. Κεῖται δὲ ἡ ἱστορία ἐν τῷ ριδ' λόγῳ.

Ἠλίαν εἶχον ἐν λόγῳ τὸν Θεσβίτην,
Καὶ τὸν μέγαν Κάρμηλον, καὶ ξένην τροφὴν
Τοῦ Προδρόμου τὸ κτῆμα τὴν ἐρημίαν,
Παίδων Ἰωναδὰβ δὲ ἄσκευον βίον.

Κεῖνται αἱ παροῦσαι ἱστορίαι ἐν τῷ α' λόγῳ.

Οὐχ αἷμα μ', οὐδὲ βάτραχος οὐ σκνιπῶν νέφος
Οὐ πρωτοτόκων ὄλεθρος ἔσχατον κακὸν,
Καὶ πρός γ' ἐρυθρᾶς κλύσμα συγκλείσαν λεὼν
Ἔκαμψαν ἡμᾶς· ταῦτα γὰρ τῶν ἀγρίων
Λίγυπτίων μάστιγες ἐκβοώμεναι.

Κεῖνται αἱ παροῦσαι πᾶσαι ἐξηγήσεις ἐν τοῖς προειρημένοις.

Ἄρης, ἄφωνον πῆμα, κεντῶδες κακόν.

Τὸν Ἄρεα φασὶν Ἕλληνες ἔφορον εἶναι τοῦ πολέμου καὶ ὀργὴν πνέοντα· ἄφωνον δὲ βλάβην φησὶ καὶ κεντῶδες κακὸν, τὸ μὲν σχῆμα παραδηλῶν τὸ πολεμικὸν, καὶ τὸ βλάπτειν μὴ βλεπόμενον· ὧδε γὰρ τὸν Ἄρεα σχηματίζει καὶ Ὅμηρος δι' ἐπῶν.

ε. 592. Ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ πότνι' Ἐνυώ,
Ἡ μὲν ἔχουσα κυδοιμὸν ἀναιδέα δηϊότητος,
Ἄρης δ' ἐν παλάμῃσιν πελώριον ἔγχος ἑνώμα.

Χρυσοῦν ἑλίσσειν τὴν φιλόσοφον σοφίην.
Αἰγύπτιον τιν' ἄλλον ὄψει Πρωτέα.

Τὴν κατὰ τὸν Πρωτέα καὶ Μελάμποδα ἐξήγησιν ἐν τῷ μϛ' λόγῳ παρεθέμεθα· λέγει δὲ αὐτὸν αἰγύπτιον, ἐπειδὴ τὴν Φαρίαν ᾤκησε νῆσον· ἀλλὰ μὴν καὶ τὸν Μάξιμον αἰνιττόμενος δι' ὃν ταῦτα φησὶ· καὶ γὰρ αἰγύπτιος ἦν καὶ τὸν τρόπον Πρωτεὺς, ἀλλότροπος γὰρ καὶ τὸ εἶδος γέλωτος ἀνάπλεον κεκτημένος.

Κατάσκοποι μὲν πρῶτον οὓς τῆς ἐγκρίτου
Γῆς Ἰσραήλ τε ἐξέπεμψεν ὁ γεννάδας,
Πλὴν οὐχ Ἰησοῦς οὐδὲ Χαλὴβ οἱ σοφοὶ,
Ἀλλ' εἴ τις ὕβρις ἐν νέοις καὶ πρεσβύταις,
Ἄμμων, Ἀπάμμων, Ἅρποκρας, Στίππας, Ῥόδων,
Ἀνούβις, Ἑρμανούβις, Αἰγύπτου θεοὶ
Πιθηκόμορφοι καὶ κυνώδεις δαίμονες.

Κατασκόπους δώδεκα Μωϋσῆς ἀπέςειλεν ἐκ Κάδης τὴν τῶν Χαναναίων διελθεῖν καὶ κατασκοπεῦσαι γῆν· ὧν ὑπῆρχον Ἰησοῦς ὁ τοῦ Ναυῆ, καὶ Χαλὲβ, οἳ τῶν ἄλλων ἀνδρῶν δέκα τὴν καρδίαν τοῦ λαοῦ βαρυνόντων, ὡς δυσάλωτος ἡ τῆς ὑποσχέσεως γῆ, μόνος Ἰησοῦς καὶ Χαλὲβ διαῤῥήξαντες τὰ ἱμάτια διεβεβαιοῦντο ταύτην εὐχείρωτον αὐτοῖς ἔσεσθαι, ἔνθα τάξαντες ἀρχὰς οἱ ἰσραηλίται εἰς Αἴγυπτον ὑποςρέψαι κατεπείγοντο· τότε δὴ καθ' ἑαυτοῦ τὸν θεὸν ὀμῶσαι λέγεται μηδένα τῶν ἐξ Αἰγύπτου ἐξεληλυθότων τὴν ἀγαθὴν ὄψεσθαι γῆν, πλὴν Ἰησοῦ καὶ Χαλὲβ καὶ τῶν νηπίων, οἳ δεξιὰν αὐτῶν ἢ ἀριστερὰν οὐ γινώσκουσιν, τοῦτ' ἔστιν ἢ καλὸν ἢ κακὸν· φησὶν οὖν ὁ θεῖος Γρηγόριος ὅτι κατάσκοποι τῆς ἡμῶν ἥκασιν ἐλευθερίας, οὐ κατὰ τὸν Χαλὲβ καὶ Ἰησοῦν τὴν ἀρετὴν, ἀλλὰ κατὰ τοὺς εἰρημένους

αἰγυπτίους μάγους καὶ τυράννους, τοῦτ' ἔστιν Ἄμμωνα καὶ Ἀπάμμωνα καὶ Ἄρπεκραν καὶ Στίππαν καὶ Ῥόδωνα, Ἀνούβιν τε καὶ Ἑρμανούβιν τοὺς ψιθυρισμόρφους καὶ κυνώδεις θεοὺς τῶν αἰγυπτίων. Ἀνούβιν μὲν οὖν τὸν Ἡρακλέα καλοῦσιν αἰγύπτιοι, ἀθλήσεως καὶ σεφάνων καὶ τῆς περὶ τὰ τοιαῦτα ἀσκήσεως ἔφορον ὄντα λέγοντες.

Νῶν δ' ἦκεν ἡμῖν ἔλαφος ἀντὶ παρθένου.

Ὅτε ἀπὸ τῆς Ἑλλάδος ἀπόπλους τῶν ἑλλήνων ἐπὶ Τροίαν ἐγίνετο ἐν τῇ Αὐλίδι τῆς Βοιωτίας γινομένης καὶ τῆς θυγατρὸς Ἀγαμέμνονος τῆς Ἰφιγενείας τῇ Ἀρτέμιδι ἐπιθυθείσης τυθῆναι, ἡ Ἄρτεμις ἐλεήσασα τὴν παρθένον, ἁρπάζει μὲν ταύτην καὶ ἀποφέρει παρὰ Ταύροις ἐν Σκυθίᾳ, ἔλαφον δὲ ἀντὶ τῆς παρθένου φανῆναι ἐποίησεν, ἣν τινα λαβόντες εὐθὺς οἱ ἕλληνες ἔθυσαν· ἡ δὲ Ἰφιγένεια ἐν Σκυθίᾳ ἱερεῖα ἦν τῆς Ἀρτέμιδος. Κεῖται δὲ ἐν τῷ ξθ' λόγῳ ἡ ἱστορία.

Οἶνον τις εἶπε συμπότης πάντων κρατεῖν,
Ἄλλος γυναῖκα, τὴν δ' ἀλήθειαν σοφός·
Ἐγὼ δ' ἂν εἶπον χρυσὸν ὡς ἔχει κράτος.

Ἔσδρας ὁ συγγραφεὺς φησίν, ὅτι τρεῖς νεανίσκοι τῆς τῶν υἱῶν Ἰσραὴλ αἰχμαλωσίας τῷ βασιλεῖ Κύρῳ σπάσαντες πρὸς ἀλλήλους διαλεγόμενοι ῥῆμα σοφὸν προβάλλεσθαι τυποῦσιν ἕκαστον δι' οὗ δύναιτ' ἂν ἐπαινεθήσεσθαι· ὁ μὲν οὖν πρῶτος ὑπερισχύει φησὶν ὁ εἶνος, καὶ τοῦτον ἱκανῶς ἀποδείξας ἰσχυρότερον ἁπάντων, ἐσίγησεν· ὁ δὲ δεύτερος ἔφη, ὑπερισχύει γυνή, καὶ δὴ πολλὰ περὶ τοῦ μηδὲν γυναικὸς ἰσχυρότερον εἶναι προβαλλόμενος, ἔληξε τοῦ δημηγορεῖν· ὁ δὲ τρίτος ὃς καὶ σοφώτερος πέφηνε τὴν ἀλήθειαν πάντων ὑπερισχύειν ἀπεφήνατο, πολυτρόπως πάντων τῶν ἐν βίῳ

κρατεῖν παραστήσας· τούτῳ δὲ νενικηκότι χάριν ὁ βασιλεὺς κατέθετο τὸ παρ' αὐτοῦ αἰτηθὲν ἔργῳ πληρώσας· τὸ δὲ ἦν τὸν λαὸν τῆς αἰχμαλωσίας ἀφῆναι, καὶ τὸν ἐν Ἱεροσολύμοις ναὸν σὺν τῇ πόλει ἀνοικοδομῆσαι· φησὶν οὖν ὁ Θεῖος Γρηγόριος ὅτι τὴν ἀλήθειαν ὑπερισχύειν ὁ εἰπὼν πειθανὲς ἀποδείκνυται καὶ σοφὸς· ἐγὼ δ' ἂν τὸν χρυσὸν εἴποιμι πάντων ὑπερισχύειν, ὃς καὶ τῆς ἀληθείας πρετιμώμενος τὸ κράτος ἔχειν πειρᾶται.

Τριχῶν ἐν αἷς ἔκειτο τὸ σθένειν ἅπαν,
Ὥσπερ λέγουσι, τῷ κριτῇ Σαμψὼν ποτὲ
Ὃν ἡ κόμη προὔδωκεν ἐξυρημένη.

Καθαπτόμενος ὁ Θεῖος Γρηγόριος τοῦ κυνικοῦ Μαξίμου, ἐν οἰκίσκῳ τινὸς χοραύλου ἀποκαρέντος, εἰς γὰρ πατριάρχας ἑαυτὸν ψηφισάμενος προεβάλλετο, φησὶν, ὅτι τοὺς εὐπρεπεῖς βοστρύχους ἀπέκειρεν, ἐν οἷς εἶχεν τὸ τυφοῦσθαι· ὧν ἐκκοπέντων οὔτε πατριάρχης ἦν, καὶ τῆς κόμης ἐσέρητο δι' ἧς εἶχεν τὸ δύνασθαι πρὸς αἰσχρὰς ὑποθέσεις χερευτρίαις συγγινόμενος καὶ γάμων κόρδαξ χρηματίζων· τὸ δὲ λέγειν, ὡς τὸν Σαμψὼν λόγος ἔχει, κατ' ἀντίφρασιν κεῖται, οὐ γὰρ ὡς τοῦ θείου καθαπτόμενος Σαμψὼν, ἐκείνῳ παρεικάζει τὸν Μάξιμον, ἀλλ' ὅτι τὰς τρίχας πρὸς ὅπερ ἔφαμεν ἔχων, ἀπεσερεῖτο τούτων, καὶ τῶν ἐλπισθέντων διήμαρτεν· ἡ δὲ κατὰ τὸν ἱερὸν Σαμψὼν ἱστορία κεῖται ἐν τῷ ξ' καὶ ε' λόγῳ.

Τί Διογένης τοιοῦτον ἢ Ἀντισθένης;
Τί δὲ πρὸς ἡμᾶς ὁ Κράτης; διάπτυε
Τοὺς περιπάτους Πλάτωνος· οὐδὲν ἡ στοά·
Ὦ Σώκρατες τὰ πρῶτα μέχρι τοῦ φέρεις·
Φθέγξομ' ἐγὼ τί πιστότερον τῆς Πυθίας.

Κεῖται ἡ περὶ τούτων ἐξήγησις ἐν τῷ ριθ' λόγῳ· ἡ δὲ

τῆς Πυθίας εἴρηται μὲν ἐν τῷ ξδ' λόγῳ, λελέξεται δὲ καὶ νῦν πλατυτέρως· Φωκὶς χώρα ἐστὶν ἐν Ἑλλάδι ἐν ταύτῃ ἔστιν πόλις καλουμένη Δελφοὶ· ἐν τῇ πόλει ταύτῃ ἔστιν ἱερὸν τοῦ Ἀπόλλωνος, ὃ καλεῖται Πυθὼ· ἐν τούτῳ τῷ ἱερῷ ἦν ὁ τρίπους καὶ αἱ μαντικαὶ ψῆφοι ἐν τῇ φιάλῃ τοῦ τρίποδος· ἡνίκα οὖν ὁ μαντευόμενος ἠρώτα περὶ τῆς μαντείας αἱ ψῆφοι ἤλλοντο καὶ ἐκινοῦντο ἐν αὐτῇ· τότε οὖν ἡ μάντις ἐνεφορεῖτο, καὶ ἔλεγεν ἃ ἤθελεν ὁ Ἀπόλλων· ἐκαλεῖτο δὲ προφήτις Πυθία.

Καιρὸς γὰρ παντὸς ὡς ἀκούεις πράγματος,
Μέτρον τ' ἄριστον τῶν σοφῶν ἑνὸς λόγου·
Χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα,
Χωρὶς τὰ τῶν ἔξωθεν τῶν τ' ἐμῶν λόγων·
Τῶν μὲν γὰρ εἰσὶ πρὸς ἐπίδειξιν οἱ λόγοι
Ἐν μειρακίσκων συλλόγοις καὶ πράγμασιν
Ἐν οἷς μέγ' οὐδὲν ἀτυχεῖν ἢ τυγχάνειν.

Τὸ καιρὸς τῷ παντὶ πράγματι καὶ μέτρον ἄριστον Σολομῶντος ἐστὶ τοῦ σοφωτάτου· τὰ δὲ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα αἰσχρὰ τυγχάνει· Μυσία γὰρ χώρα ἐστὶν ἐν τῇ Ἀσίᾳ· καὶ γὰρ ἐνταῦθα κατὰ τῆς Καρίας ὄρη, κατέτεμνον ἑαυτοὺς τελοῦμενοι τῇ Ῥέᾳ. Κεῖται δὲ ἐν τῷ ξδ' λόγῳ ἡ ἐξήγησις· χωρὶς τὰ τῶν ἔξωθεν δὲ, φησὶ, καὶ τῶν ἐμῶν λόγων· τὰ μὲν γὰρ τῶν ἔξωθεν ἐν πλάσμασι κεῖται καὶ ψεύδει, ἐν οἷς τοῦ ἀποτυχεῖν ἢ τυχεῖν οὐδὲν μέτεστιν· οἱ δὲ ἡμέτεροι, φησὶ, λόγοι μετὰ τοῦ τυχεῖν καὶ τῆς ἀληθείας πολλὴν παιοῦνται τὴν φροντίδα.

Ἐπεὶ δ' ἐγώ τε καὶ τὸ πορφύρας κράτος
Κιγκλίδος ἦμεν τῆς σεβασμίας ἔσω,
Πάντων ἐπήρθη συμμιγεῖς αἶνος θεοῦ.

Ἐξήγησιν ὁ Θεῖος Γρηγόριος ποιούμενος, πορφύρας κράτος τὴν βασιλείαν ἀνομάζει· τοῦτο δὲ οὐκ ἔστιν μὲν ἱστορία ἀλλ' ἐξήγησις· ὅπως δὲ πορφύρας κράτος λέγεται, πρέπον εἰπεῖν· ἐν Τύρῳ παρὰ τὴν αἰγιαλὸν κύων πεμενικὴ πορευομένη, εὑρεῦσα κογχύλιον ἔφαγεν· εἶτα τὸ αἷμα τῆς κογχύλης ἔβαψεν τῆς κυνὸς τὸ στόμα· ὁ ποιμὴν νομίζων πεπλῆχθαι τὴν κύνα, λαβὼν ἔριον ἀπέμαξεν τὸ αἷμα τοῦ στόματος, καὶ εὑρηται μὲν ἡ κύων μηδὲν ἔχουσα, τὸ δὲ ἔριον τῆς πορφύρας ἀναδεδεγμένον τὴν βαφήν· εἶτα ἐγνωκὼς ὅτι τὸ κογχύλιον τοιαύτην ἔχει δύναμιν βαπτικὴν, ἐθημοσίευσεν αὐτὸ τοῦτο, καὶ οὕτως συνέλεγον ἐν τῇ θαλάσσῃ τὰ κογχύλια, καὶ κατεσκεύασαν τὰς πορφύρας.

Ὅμως δ' ὑπεστέναζεν ὡς φασὶ γίγας
Βληθεὶς κεραυνῷ πρόσθεν αἰτναίῳ πάγῳ,
Καπνόν τε καὶ πῦρ ἐκ βάθους ἠρεύγετο.

Τυφωεὺς ἑκατὸν κεφαλὰς δρακόντων ἔχειν ἱστορεῖται, ὃς κατὰ τοῦ Διὸς ἐφθέγγετο, ὃν καὶ νεωτερίζειν κατ' αὐτοῦ μέλλοντα κεραυνοῖς πλείστοις μόλις καταβαλὼν, δι' ὑπερβολὴν ἰσχύος ἧς ἐκέκτητο, οὐκ ἀρκεσθεὶς τούτοις τῷ αἰτναίῳ ὑποτίθησιν ὄρει, ὅθεν τὴν μέχρι δεῦρο βοὴν ἐκεῖσε γινομένην σεναμὸν εἶναι μυθεύονται τούτου τοῦ γίγαντος· τῷ τοῦ γίγαντος ὑποδείγματι δὲ χρησάμενος ὁ Θεῖος Γρηγόριος τῷ λόγῳ, ὅσον ἔστενεν δέδειχεν ἡ βασιλεία πόλις τούτου σεισκομένη, καὶ γὰρ βοὴ τίς τῶν ἀπὸ τοῦ δήμου λέγεται γεγονέναι, ὥσπερ συνεκβάλλεις ἑαυτῷ τὴν τριάδα.

Ἐξ οὗ τί γίνεθ'; ἡ πολύπλοκος πάλαι
Εἰκὼν ἐν ὕπνοις· χρυσὸς, ἐξῆς ἄργυρος,
Χαλκὸς, σίδηρος, ὄστρακον τὰ πρὸς πόδας·
Δέδοικα μὴ τὰ πάντα λικμήσει λίθος.

Ναβουχοδονόσορ ὁ βασιλεὺς ἐνύπνιον ἐθεάσατο, καὶ τοῦτο ἐπιλαθόμενος, τοὺς μάγους καὶ τοὺς σοφοὺς καλέσας Βαβυλῶνος, ἐζήτει παρ' αὐτῶν μαθεῖν τὸ ἐνύπνιον αὐτοῦ καὶ τὴν σύγκρισιν αὐτοῦ· τῶν δὲ ἀπορούντων εἰπεῖν, προστάσσει τῷ Ἀριὼχ ἄρχοντι τῶν αὐτοῦ πάντας ἀπολέσαι τοὺς σοφοὺς καὶ τοὺς μάγους Βαβυλῶνος· ἀναιρουμένων δὲ αὐτῶν, παρέστη Δανιὴλ τῆς ἀναιδοῦς αὐτὸν γνώμης ἀπείργων, ὑπισχνούμενος τῷ βασιλεῖ τὸ ἐνύπνιον διὰ πνεύματος θείου μετὰ τῆς συγκρίσεως διασαφῆσαι· καὶ στὰς ἐπὶ τοῦ βασιλέως τὸ ἐνύπνιον διεσάφησεν· ἔφη δὲ· ἴδες βασιλεῦ, καὶ ἰδοὺ εἰκὼν κατὰ πρόσωπόν σου, ἧς ἡ κεφαλὴ χρυσῆ, ἀργυροῖ δὲ οἱ ὦμοι, αἱ χεῖρες καὶ ἡ κοιλία χαλκοῖ, οἱ δὲ πόδες καὶ αἱ κνῆμαι σίδηροι, οἱ δὲ δάκτυλοι ὄστρακον ἀναμεμιγμένον· ἐθεώρεις, φησὶν, ἕως οὗ λίθος ἐτμήθη ἄνευ χειρὸς, καὶ ἕως τῆς εἰκόνος ἦλθεν, καὶ συνέτριψεν τὴν εἰκόνα, καὶ ἐπλήρωσε τὴν γῆν· φησὶν οὖν ὁ θεῖος Γρηγόριος ὅτι τοσοῦτον συνήχθη τότε τὰ πράγματα, δημηγορήσαντος αὐτοῦ πρὸς τοὺς φθονοῦντας αὐτῷ τῆς προεδρίας, ὡς ὀκεῖν τὴν εἰκόνα . . . συμμεμιγμένην δέδεικα μὴ πατάξει λικμήσας ὁ λίθος.

Μωαβίταις καὶ Ἀμμανίταις, οἷς οὐ πάλαι
Νῦν εἰσιτητὸν ἐστὶν εἰς ἐκκλησίαν.

Κεῖται ἐν τῷ ιβ' λόγῳ.

Ὁ Λὼτ ἐκεῖνος, πατριάρχης Ἀβραάμ,
Ὁ μὲν βαδίζει, τὴν ἐναντίαν δ' ὅδε,
Ὡς μὴ σθενοῦσθαι τῷ πλάτει τῆς κτήσεως.

Κεῖται ἐν τῷ α' λόγῳ.

Φυσῶντες ἡμῖν ἑσπέριόν τι καὶ τραχὺ,
Τοῖς δ' ἀντεπῆει δῆμος ἰλισφρόνων,

Κάπροι δ' ὅπως θήγοντες ἀγρίαν γένυν,
Ὡς ἂν μιμήσεμαι τί τῆς τραγῳδίας,
Λοξὸν βλέποντες ἐμπύρεις τοῖς ὄμμασιν.

Ὅμηρος ὁ ποιητὴς Αἴαντα τὸν τελαμώνιον καὶ τὸν πριαμίδην Ἕκτορα διαγωνιουμένους παρεισάγων, ἑκάστου τὲ αὐτῶν τὴν θρασύτητα παραστῆσαι βουλόμενος, κάπροις μαινομένοις ἀπεικάζει· τοῦ μὲν γὰρ Ἕκτορος εἰς ἀγῶνα τοὺς ἑλλήνων ἀριστέας προκαλουμένου, διά τινος θειοτέρας τὸ δοκεῖν ψήφου τὸν Τελαμῶνος Αἴαντα συνδιαγωνιούμενον Ἕκτορι λόγος ἔχει· πρῶτα μὲν οὖν τοῖς ἀκοντίοις ἀλλήλους λέγονται βαλεῖν, εἶτα λίθοις, μετέπειτα πάλιν τοῖς ξίφεσιν· ὡς οὖν ἔφαμεν λέουσιν ἢ κάπροις τῶν ἡρώων τὸ θράσος ἀπεικάζει δι' ἐπῶν ὧδε λέγων· – τὼ δι' ἐκπασαμένω δολίχ' ἔγχεα χερσὶν ἅμ' ἄμφω – σὺν ρ' ἔπεσον λείουσιν ἐοικότες Il. ε. 255.
ὠμοφάγοισιν, – ἢ συσὶ κάπροισιν· – Ἑσπέριον δὲ φυσῶντας τοὺς ἐκ τῆς δύσεως φησὶν παρόντας ἐπισκόπους· ἰλιόφρονας δὲ λέγει κατὰ μίμησιν τῆς τραγῳδίας· ὑπὲρ τῆς Ἰλίου γὰρ Ἕκτωρ μέγα φυσῶν τοῖς Δαναοῖς συνεπλέκετο.

Ἐγὼ τέως μὲν ὥσπερ ἵππος δέσμιος,
Καίπερ κακοῖς τε καὶ νόσῳ τετρυμμένος,
Ἔνδον κροαίνων οὐκ ἐπαυσάμην πόδας,
Ἔῤῥηξα δεσμὰ τήν τ' ἀφορμὴν ἀσμένως.

Δείκνυσι μὲν τὸ θερμὸν τῆς προθυμίας ἐκ τοῦ φυσικοῦ ὁρμήματος τοῦ ἵππου· μέμνηται δὲ καὶ ἀλλαχοῦ τοιούτου τινὸς ἐν τῷ εἰς Βασίλειον τὸν θεῖον ἐπιταφίῳ· φησὶ γὰρ ὅτι καὶ ποιεῖ τὸν ὁμηρικὸν ἵππον ὁ πόθος· καὶ ὧδε μὲν ἐποχὴν σημαίνει, ἐκεῖσε δὲ μᾶλλον ἄφεσιν· ἔστι δὲ ὁμηρικὸς ἵππος κατ' ὑπόδειγμα τοῦ Διομήδους ἡ προθυμία· τοῦ γὰρ ἡρῶος τὴν ὀξύτητα καὶ τὴν περὶ τὸν πόλεμον θερμό-

τητα βουλόμενος παρασῆσαι διὰ ὑποδείγματος Ὅμηρος ἵππῳ
Il. ζ. 506. ἀπεικάζει ἐπειπὼν τόδε τὸ ἔπος· – ὡς δ' ὅτε τις σατὸς ἵπ-
πος ἀκοστήσας ἐπὶ φάτνην – δεσμὸν ἀπορρήξας θείει πεδίοιο.
Καὶ τοῦτο μὲν τὸ ἔπος Ὅμηρος περὶ Ἀλεξάνδρου φησὶν τοῦ
καὶ Πάριδος· οὐκ οἶδα δὲ τῶν ἀρχαίων ἱστορικῶν δι' ἣν τίς
αἰτίαν εἰς Διομήδην μετέφρασεν· ὧδε γὰρ ἔχει τὸ ἔπος· –
ὡς υἱὸς Πριάμοιο Πάρις κατὰ Περγάμου ἄκρης – τεύχεσι
παμφαίνων ὡς τ' ἠλέκτωρ ἐβεβήκει – καγχαλόων.

Ἐγὼ δ' Ἰωνᾶς ὁ προφήτης γίγνομαι,
Δίδωμ' ἐμαυτὸν τῇ νεῷ σωτηρίαν,
Καίπερ κλύδωνος τυγχάνων ἀναίτιος·
Ἅραντες ἡμᾶς ῥίξατε κλήρου φορᾷ·
Κῆτός με δέξετ' ἐκ βυθοῦ φιλόξενον.

Κεῖται ἡ ἱστορία ἐν τῷ α' λόγῳ.

ΛΟΓΟΣ ΡΜΖ.

Ed. Lips. p. 250.

ΠΡΟΣ ΜΑΞΙΜΟΝ.

15. Μὴ καὶ σὺ μυσόπνευστος ἡμῖν ἀθρόως,
16. Ὥσπερ λέγονται τῶν πάλαι σοφῶν τινες;
17. Μὴ καὶ σὲ δάφνης ἐξέμηνέ τις κλάδος;
18. Ἢ μαντικῶν πέπωκας ὑδάτων ἄφνω,
19. Ἔπειτα μέτρον ἔβλυσας ἄμετρος ὤν;

Τὸ μὲν τοῦ στίχου μέτρον λέγουσι τινὲς τοῦτον ηὑρῆ-
σθαι τὸν τρόπον· γυνή τις καλουμένη ὡς μὲν τινὲς Σιβύλ-
λα, ὡς δὲ ἄλλοι Φημονόη, ὡς δὲ ἕτεροι Φιλύρα, ἐσείσθη
παρά τινος νεανίσκου· ἡ δὲ γυνὴ ὑβριστικώτερον ἠνέχθη πρὸς
τὸν νεανίσκον, καὶ ὕβρισεν αὐτόν· ἦν δὲ ἡ λεχθεῖσα ὕβρις
ἔμμετρος στίχος, καὶ τῆς ἁρμονίας τοῦ λόγου τῆς γρα-

ἀρεσάσης τοῖς παρισταμένοις, τὸ μέτρον τοῦ στίχου ἔλαβον, καὶ οὕτως ἐτεχνώθη τὰ περὶ τοῦ στίχου· μουσόπνευστος μὲν οὖν ἐστὶν Ὅμηρος, ὥς τινες, οἱ ἐν γὰρ αὐτὸν ἀναγορεύουσι τῆς Καλλιόπης ἥ τις τῶν λοιπῶν προέχει μουσῶν· ὑφ' ἧς ἐμπνευσθῆναι λέγεται, τῇ τε καλλιεπείᾳ πάντας τοὺς ἑλλήνων σοφοὺς ὑπερβάλλειν· οἱ δὲ τὸν Ἡσίοδον φασὶν· οὗτος γάρ, φασὶ, ποιμὴν ὢν ἐν Ἄσκρῃ τῇ κώμῃ τῷ Ἑλικῶνι παρακειμένῃ τὰς μούσας ἐθεάσατο, αἱ δὲ τοῦτον φιλοτιμούμεναι δάφνης αὐτῷ χαρίζονται κλάδον, δι' οὗ τὴν σοφίαν ἐπλούτησεν· ἀσκραιὸς δὲ διὰ τοῦτο Ἡσίοδος κέκληται, ἐπειδὴ φυγοπάτρις διὰ πτωχείαν ὁ τούτου πάτηρ γενόμενος Ἄσκρην ᾤκησε τὴν κώμην, μαντικῶν δὲ πέπωκεν ὑδάτων.

Σαοὺλ προφήτης, Μάξιμος λογογράφος. 21.

Τὸν Σαοὺλ ἐν προφήταις ἡ παραβολὴ ποιεῖ, καθὼς ἐν τῷ ιβ' λόγῳ διεξήλθομεν· τὸν δὲ Μάξιμον ἐν λογογράφοις ἀπαριθμεῖται Γρηγόριος διασύρων αὐτὸν· τοῦ γὰρ Μαξίμου φησὶ λοφογράφου γεγονότος, τίς οὐκ ἂν εἴη λογογράφος; τίς δὲ καθέξει τὴν χεῖρα, ἐπείπερ πολλοὶ εἰσὶν Μάξιμοι καὶ παράφοροι;

Νῦν δ' Ὀρφεὺς ἡμῖν πάντα κινῶν δακτύλοις,
Ἢ τειχοποιὸς Ἀμφίων ἐκ κρουμάτων.

Πολλαχοῦ περὶ τοῦ Ὀρφέως εἴρηται, ὅτι θρὰξ ἦν τὸ γένος· οὗτος δὲ κρούμασι τῆς κιθάρας ἕλκειν λέγεται πάντα· ὁ Ἀμφίων καὶ Ζῆθος διὰ κιθάρας λέγονται τὰς Ἑπταπύλους τῆς Ἑλλάδος οἰκοδομῆσαι.

ΛΟΓΟΣ ΡΜΗ.

Ed. Lips. p. 251.

ΕΙΣ ΕΥΓΕΝΗ ΔΥΣΤΡΟΠΟΝ.

16. Δύο δὲ ταῦτα τῆς βίου κωμῳδίας,
17. Κατηστέρισται ζῶον ἐν γῇ κείμενον,
18. Καὶ γράμμα ποιεῖ τὸν κάκιστον εὐγενῆ.

ΛΟΓΟΣ ΡΜΘ.

Ed. Lips. p. 253.

ΚΑΤΑ ΤΥΜΒΩΡΙΧΩΝ.

Φρυξ ἦν ὁ Μίδας, ὡς δὲ πάντα χρυσίον
Ἦπτει γενέσθαι, τυγχάνει, λιμῷ δέ γε
Θνήσκει μὲν, εὐχῇ πλεύσιος, θνήσκει δ' ὅμως.

Ὁ Μίδας οὗτος Φρυγίας ἦν βασιλεὺς, ἦν δὲ φιλάργυρος καὶ χρυσομανής τις, ὡς τὸ ἔργον ἐδήλωσεν· ηὔξατο οὖν ἵνα οὗ ἐὰν ἅψηται, χρυσὸς γένηται· εἰσηκούσθη οὗτος· καὶ οὗ ἐὰν ἥψατο ἢ χειρὶ ἢ στόματι, χρυσὸς ἐγίνετο· καὶ οὕτως πάντα μὲν ἦν αὐτῷ χρυσὸς· φαγεῖν δὲ μὴ δυνάμενος ἀπώλετο· καὶ γὰρ ἡ τροφὴ ἡ διδομένη αὐτῷ, διὰ τοῦ στόματος ἀπεχρυσοῦτο· ἐφθάρει οὖν τῷ λιμῷ.

Κεῖται ἀλλαχοῦ ἡ ἱστορία.

Ibidem.

Σκείρων τίς οὗτος, ἢ Τυφωεὺς, ἢ γίγας,
Ἧκει τυραννῶν νερτέρευς τύμβον τ' ἐμόν;

Τυφωεὺς ἐστὶν δαίμων πυρώδης καὶ καυσικὸς· τύφει γὰρ αἱ καύσεις εἰσὶν καὶ αἱ καπνοί· τύφος δὲ δράκων ἐστὶν ἐνάλιος· λέγουσι δὲ καὶ Ὄσιριν ὑπὸ τοῦ Τύφωνος διεσπαράχθαι, καθάπερ τὸν Διόνυσον ὑπὸ τῶν Τιτάνων, καθὼς ἐν τῷ ξδ' λόγῳ κεῖται περὶ τούτων· γίγας δὲ πάντως ὁ Ἡρα-

κλῆς λέγεται, τοὺς γὰρ μεγάλους ἀδλους αὐτὸν ἀνυσαι φασίν· ἢ Ὦτος καὶ Ὀφιάλτης οἱ τὸν Ἄρια τυραννήσαντες καὶ τρισκαίδεκα μησὶν ἐν κεράμῳ χαλκῷ καθείρξαντες δέσμιον· ἢ πάντως Πάσσαλος καὶ Ἀλλήμων· ἔστι δὲ Τυφωεὺς ὁ ἐν τῇ Λίτνῃ γίγας.

Κεῖται ἐν τῷ ρμέ λόγῳ ἡ ἱστορία.

ΛΟΓΟΣ ΡΝ.

ΕΝΟΔΙΑ.

Ed. Tollii carm. XVI.

Ὃς με στύλῳ πυρὸς τὲ καὶ νέφους ἄγοι,
Τέμνει δὲ πόντῳ, ῥεῖθρα δ' ἱστῶν λόγῳ,
Τρέφοι δ' ἄνωθεν καὶ κάτωθεν πλουσίως,
Σταυρὸς δὲ χερσὶν ἐκτυπούμενος θράσος.

Πᾶσαι αἱ παροῦσαι ἱστορίαι κεῖνται ἐν τοῖς ἤδη προλεχθεῖσιν, μάλιστα δὲ ἐν αὐτοῖς τοῖς ἐνσδίοις τοῖς δι' ἐπῶν εἰρημένοις.

ΛΟΓΟΣ ΡΝΑ.

ΕΙΣ ΕΜΑΥΤΟΝ.

Ed. Lips. p. 244.

Βεελφεγὼρ σέβοντες,
Οὐ τὸν ὄντα δεσπότην.

Βεελφεγὼρ θεὸς ἐστὶν Μωαβιτῶν καὶ Ἀμμανιτῶν, ᾧ ὁ λαὸς Ἰσραὴλ πορνεύσας ἐτελέσθη.

Κεῖται ἐν τῷ ιβ' λόγῳ.

ΛΟΓΟΣ ΡΝΒ.

p. 182. ΠΡΟΣ ΤΗΝ ΨΥΧΗΝ.

Θέλεις τὰ Γύγεω σει
Τοῦ λυδίου γενέσθαι ;
Καὶ δακτύλῳ τυραννεῖν
Τὴν σφενδόνην ἑλίσσων
Κρύπτουσαν εἰ κρύπτοιτο,
Φαίνουσαν εἰ φαίνοιτο ;

Πλάτων ὁ φιλόσοφος ἐν ταῖς πολιτείαις, ἔστι δὲ οὕτως αὐτοῦ πραγματεία λεγομένη, εἰσφέρει τινὰ μῦθον· λέγει δὲ ὅτι Γύγης τίς ἦν ποιμὴν περὶ τὴν Λυδίαν· οὗτος ποιμαίνων ἐν ὄρει τὰ πρόβατα, περιέτυχε σπηλαίῳ τινὶ, καὶ εἰσελθὼν ἐν αὐτῷ εὗρεν ἵππον χαλκοῦν, ἐν αὐτῷ δὲ τῷ ἵππῳ ἦν ἄνθρωπος νεκρὸς δακτύλιον χρυσοῦν περικείμενος, οὗ δακτυλίου ἡ κεφαλὴ στρεπτὴ ἦν καὶ ἐστρέφετο, ἥν τινα κεφαλὴν καλεῖ σφενδόνην ὁ θεῖος Γρηγόριος· ἔλαβεν οὖν φησὶν ὁ Γύγης τὸν δακτύλιον καὶ ἐξῆλθεν· καὶ ἡνίκα μὲν ἐν τάξει ὁ δακτύλιος, ἑωρᾶτο ὑπὸ πάντων· ἡνίκα δὲ τὴν σφενδόνην ἔστρεφεν τοῦ δακτυλίου, ἀφανὴς ἐγένετο πᾶσιν· ὁ μὲν οὖν Πλάτων τοῦτον εἰσφέρει τὸν μῦθον αἰνιττόμενος, ὡς ὁ δίκαιος ἀνὴρ κἂν τοῦ Γύγου λάβῃ τὸν δακτύλιον, ἵνα μὴ ὁρᾶται ὑπό τινος, οὐδὲ οὕτως ὠφελεν ἀδικεῖν· δεῖ γὰρ τὸ καλὸν δι' αὐτὸ τὸ ἀγαθὸν ἐπιτηδεύεσθαι, καὶ μὴ δι' ἄλλους τινάς· ἔχων οὖν τοῦτον τὸν δακτύλιον ὁ Γύγης ἐλθὼν ἐπὶ τὰ βασίλεια τῶν Λύδων, καὶ ἀντιστρέψας τὴν σφενδόνην, ἐγένετο ἀφανὴς, καὶ εἰσελθὼν ἀπέκτεινε τὸν βασιλέα· ὁ δὲ Ἡρόδοτος ἄλλως ἱστορεῖ τὰ κατὰ τὸν Γύγην,

ἔτι κατ' ὀπιτροπὴν τῆς δισποίνης ἀπέκτεινε τὸν Κανδαύλην, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ.

Θέλεις τὰ Μίδεώ σει,
Τοῦ πλουσίως θανόντος,
Ὦ χρυσὸς ἦν τὰ πάντα,
Χρυσοῦν φέροντα λιμὸν
Εὐχῆς δίκην ἀμέτρου;

Κεῖται ἐν τῷ ριθ' λόγῳ.

Λίχμην θέλεις τινάσσειν
Πνέων ἀρήϊόν τι;
Καὶ στέμματ' ἐξ ἀγώνων,
Θηροκτόνον τε κάρτος;

Λέγουσι τὸν Ἄρεα τῶν πολέμων ἔφορον εἶναι, καὶ ὀργὴν πνέοντα· οὕτως γὰρ φησὶ περὶ αὐτοῦ Ὅμηρος, Ἄρες Ἄρες βροτολοιγέ. Θηροκτόνον δὲ τὸν Ἡρακλέα φησίν· οὕτος γὰρ διαφόρους λέγεται θῆρας ὀλέσαι.

Κεῖται ἐν τῷ β' λόγῳ.

Τὸ δ' ἔσθος ἢ καμήλων
Τρίχες νόμῳ δικαίων,
Ἢ καὶ δέρος, παλαιᾶς
Γυμνώσεως κάλυμμα.

Τὸν Ἰωάννην περιβεβλῆσθαι τὸ ἔνδυμα λέγουσιν οἱ θεολόγοι ἀπὸ τριχῶν καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ ἔχειν· ἡ παλαιὰ δὲ γύμνωσις ἐστὶν ἡ κατὰ τὸν Ἀδάμ.

ΛΟΓΟΣ ΡΝΓ.

d. Lips. 299.

ΠΕΡΙ ΠΑΡΘΕΝΙΑΣ.

23. Ἀδὰμ ἐν παραδείσῳ Μωσῆς ἐν ὄρει Σινᾷ,
24. Λειτουργῶν Ζαχαρίας ὁ πάτηρ τοῦ προδρόμου.

Τὴν παρθενίαν φησὶν ἐν εὐθέτοις ἐτίμων καιροῖς, ὁ μὲν Ἀδὰμ ἐν παραδείσῳ πρὸ τοῦ κτισθῆναι τὴν Εὔαν, μᾶλλον δὲ πρὸ τοῦ μετασχεῖν τοῦ ξύλου τῆς γνώσεως, Μωϋσῆς δὲ ἐν ὄρει Σινᾷ τὸν λαὸν καθαγνίζων καὶ συνουσίας ἀπείργων, καὶ Ζαχαρίας ἐν τῷ ναῷ λειτουργῶν.

33. Καλῶς ὁδεύεις, παρθένε, εἰς ὄρος ἀποσώζου,
34. Μὴ πρὸς Σόδομα βλέψῃς, μὴ στήλη παγῇς ἁλός.

Κεῖται ἡ παροῦσα ἱστορία ἐν τῷ α΄ καὶ β΄ λόγῳ.

47. Ἔπεσεν ἑωσφόρος, ἀλλ' οὐρανοὺς ἀγγέλων·
48. Ἰούδας ἦν προδότης, οἱ δ' ἔνδεκα λαμπτῆρες.

Κεῖνται ἐν τῷ β΄ καὶ γ΄ λόγῳ αἱ ἱστορίαι.

81. Ἀφ' ἧς πεῖραν καὶ Χριστῷ προσήγαγεν ὁ πειράζων
82. Λίθους αἰτῶν εἰς ἄρτους πεινῶντα μετατρέψαι.

Κεῖται ἡ κατὰ τὸν πειρασμὸν ἱστορία ἐν τῷ β΄ καὶ γ΄ λόγῳ.

85. Οὐκ ἐκλείψει σοι καμψάκης ἐλαίου πιστευούσῃ,
86. Κόραξ σε θρέψει, καθάπερ Ἠλίαν ἐν ἐρήμῳ.

Κεῖται ὁμοίως ἡ ἱστορία ἐν τῷ β΄ καὶ γ΄ λόγῳ.

87. Ὁρᾷς Θέκλαν ἐκ πυρὸς καὶ θηρίων φυγοῦσαν.

Κεῖται ὁμοίως ἐκ τῷ β΄ καὶ γ΄ λόγῳ.

88. Παῦλον μέγαν πεινῶντα, καὶ ῥιγοῦντα προθύμως.

Κεῖται ὁμοίως ἐν τῷ β΄ καὶ γ΄ λόγῳ.

ΑΛΛΑΙ ΙΣΤΟΡΙΑΙ.

Πασῶν μὲν τῶν ἔξωθεν ἱστοριῶν, ὧν ἐν τοῖς ῥητορικοῖς αὐτοῦ λόγοις ὁ θεῖος ἐμνημόνευσε Γρηγόριος, τούτων οὐδὶς ἐν τοῖς ἐμμέτροις εἰρημένοις αὐτῷ μνείαν ἐποιήσατο· καὶ πλειόνων ἀσυγκρίτως, ὅμως τινὲς εἰσὶν ὀλίγαι ἱστορίαι ἐν τοῖς ῥητορικοῖς ἐμφερόμεναι, ὧν οὐκ ἐμνημόνευσεν ἐν τῇ βίβλῳ τῶν ἐπῶν· καλὸν δὲ καὶ ταύτας ἐλογισάμεθα παραθέσθαι, ὅπως ἂν μηδὲν τῶν παντελῶς αὐτῷ λελεγμένων ἄθικτον εἴη τοῖς τῇδε τῇ βίβλῳ φιλοπόνως ἐντυγχάνουσιν.

ΙΣΤΟΡΙΑΙ ΕΜΦΕΡΟΜΕΝΑΙ ΕΝ ΤΟΙΣ ΡΗΤΟΡΙΚΟΙΣ ΛΟΓΟΙΣ ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ, ΩΝ ΕΝ ΤΟΙΣ ΕΜΜΕΤΡΟΙΣ ΟΥ ΜΕΜΝΗΤΑΙ.

α. Περὶ τῆς τῶν μάγων θυτικῆς προγνώσεως.

Μάγοι διὰ τῶν θυσιῶν ἔλεγον τὰς προγνώσεις, διὰ τῆς ἡπατοσκοπίας· θύοντες γὰρ καὶ ἀνατέμνοντες, τινὰ σημεῖα ἐθεώρουν ἐν τοῖς τομίοις καὶ ἐν τοῖς ἥπασιν καὶ ἐν τοῖς ἄλλοις, δι' ὧν ἔλεγον τὰ συμβησόμενα· γένος δὲ Μήδων οἱ μάγοι ἐξ ὧν οἱ ἡπατοσκόποι ἐξῆλθον.

β. Περὶ τῆς τῶν Χαλδαίων ἀστρολογίας.

Οἱ Χαλδαῖοι, ὧν ἐστὶν πρῶτος ὁ Ζαρούτρης, καὶ μετ' αὐτὸν Ὀζάνης, ἐπέστησαν τῇ οὐρανίᾳ κινήσει, καὶ εἶπον ὡς τῇ τοιᾷδε κινήσει τῶν οὐρανίων τὰ περὶ τοὺς τικτομένους συμβαίνει· ἀφ' ὧν Χαλδαίων ἔμαθον Ἕλληνες τὴν ἀστρολογίαν, καὶ τοὺς γεννωμένους ἤρξαντο ὑπὸ τὴν τῶν ἄστρων κίνησιν ἀναφέρειν.

γ. Περὶ τῶν Θρακῶν καὶ Ὀρφέως.

Πρῶτοι πάντων ἀνθρώπων Θράκες ἤρξαντο θρησκεύειν καὶ θεραπεύειν θεὸν, καὶ τελετὰς τελεῖν, καὶ μυστήρια συγκροτεῖν, ἐξ ὧν Θρακῶν ἤκουσε τὸ θρησκεύειν ἡ περὶ τὰ θεῖον εὐσέβεια· πρώτερος δὲ πάντων Θρακῶν Ὀρφεὺς λέγεται εἰσηγήσασθαι τὰς τελετὰς κατὰ τὸν τρόπον τῶν τελετῶν· οὗτος δὲ ἐστὶν ὁ Ὀρφεὺς ὁ λεγόμενος διὰ τῆς λύρας θέλγειν καὶ τὰ ἄψυχα, καὶ ἐξημεροῦν τὰ ἄγρια διὰ τῶν κρουμάτων τῆς λύρας.

δ. Περὶ τοῦ λυδίου ἅρματος.

Ἔστιν αὕτη παροιμία ἐπὶ τῶν ἐρίζειν ἐθελόντων καὶ μὴ δυναμένων ἐφικέσθαι· ἔστι δὲ ἡ παροιμία παρὰ λύδιον ἅρμα θέει· παρῆκται δὲ ἡ παροιμία ἀπὸ τῶν λυδίων ἁρμάτων ὡς ταχυτάτων ὄντων καὶ μὴ δυναμένων φθασθῆναι· ἄλλοι δὲ ὅτι ἀπὸ τοῦ Πέλοπος ἅρματος ἤκουσεν ἡ παροιμία· τινὲς γὰρ λέγουσιν ὅτι Πέλοψ λύδιος ἦν καὶ οὐχὶ φρύξ· τῷ οὖν ἰδίῳ ἅρματι ἐνίκησεν τὸν Οἰνομάον, καὶ ἐκ τότε ἡ παροιμία πορῆλθεν, παρὰ λύδιον ἅρμα θέει.

ε. Περὶ Ὀρέστου καὶ Πυλάδου.

Ὀρέστης οὗτος ἔστιν υἱὸς Ἀγαμέμνονος, φιλίαν δὲ τοσαύτην ἔσχεν πρὸς τὸν Πυλάδην, καὶ Πυλάδης πρὸς τὸν Ὀρέστην, ὥστε καὶ ἀποθανόντος Πυλάδου συγκατελθεῖν τὸν Ὀρέστην μέχρις Ἅιδου.

ς. Περὶ τῆς λαβυρίνθου.

Ἐν Κρήτῃ τῇ νήσῳ ἔστιν ὄρος ἐν ᾧ σπήλαιον ἀντρῶδες καὶ δύσκολον περὶ τὴν κάθοδον, καὶ δυσχερὲς περὶ τὴν ἄνοδον, ἐν ᾧ λέγεται ὁ Μινώταυρος ἐμβληθῆναι· ἐπεὶ οὖν δυσχερὲς τὸ ἐκβῆναι τοῦ λαβυρίνθου, νῦν ὁ θεῖος Γρηγόριος ἔλαβεν αὐτὸ ἐπὶ τῶν ἀφύκτων λόγων· ὧν οὐδεὶς ἐδύ-

νατο ἐνεργεῖν, ἀλλὰ πάντως ἠλίσκετο· ἐπιφέρει γὰρ καὶ τὰς ἄρκυς· εἶδος δὲ ἐστὶν δικτύου παχυσχοίνου, ὃ ἵστασι πρὸς θήραν ἄρκων ἢ ἐλάφων ἢ κατὰ τῶν ἰσχυροτέρων ζώων.

ζ. Περὶ τῶν Σκεδάσου θυγατέρων.

Οἱ Λακεδαιμόνιοι ἐν τῷ πελοποννησιακῷ πολέμῳ μετὰ τὸ κατὰ κράτος νικῆσαι τοὺς Ἀθηναίους, ἠβουλήθησαν καὶ τοὺς ἰδίους συμμάχους πολεμῆσαι, καὶ ὁρμήσαντες κατὰ Θηβαίων, πρὶν προσεγγίσαι πολεμῆσαι τῇ πόλει, γενόμενοι ἐν Λεύκτροις, πόλις δὲ Θηβαίων αὕτη, συμβαλόντες ἡττήθησαν, Ἐπαμινώνδου στρατηγοῦ Θηβῶν εὐδοκιμήσαντος· τὸ δὲ πάθος τοῖς Λακεδαιμονίοις γέγονεν ἐν Λεύκτροις ἐξ αἰτίας τοιαύτης· Σκέδασος ἐν Λεύκτροις ὢν εἶχε τρεῖς θυγατέρας· τινὲς δὲ τῶν Λακεδαιμονίων πάλαι παρ' αὐταῖς ἐπιξενωθέντες, μίξει τὰς κόρας ἐνύβρισαν· φθαρθέντες οὖν οἱ Λακεδαιμόνιοι μήπως θημτσιεύσωσι τῷ ἰδίῳ πατρὶ τὴν ἀσέλγειαν, ἀναιροῦσιν αὐτάς· ἐπανελθὼν οὖν ἐν τῇ οἰκείᾳ πόλει τοῖς Λεύκτροις ὁ Σκέδασος, καὶ μαθὼν τὸ γεγονὸς κατηράσατο πᾶσι τοῖς Λακεδαιμονίοις παρ' αὐτὸν τὸν τάφον τῶν θυγατέρων αὐτοῦ ἀτυχῆσαι· διὸ καὶ ἡ ἀτυχία ἔφθασεν ἐν Λεύκτροις τοὺς Λακεδαιμονίους.

η. Περὶ τῶν πυθαγορικῶν κυάμων.

Πυθαγόρειοι γένος φιλοσόφων ἐκ Πυθαγόρου τοῦ σαμίου· οὗτοι δι' αἰνίγματος τὰ τῆς φιλοσοφίας ἐμάνθανον δόγματα· παρεδίδοτο δὲ πρὸς τοῖς ἄλλοις καὶ τοῦτο τὸ αἴνιγμα, κυάμους μὴ ἐσθίειν, τοῦτ' ἔστι μὴ προδιδόντας τὸ δίκαιον θωρακοῦσθαι χρήμασιν· εἰ γὰρ Ἀθήνησι πάλαι δικασταὶ ἀντὶ ψήφων κυάμοις ἐχρῶντο πρὸς κατάκρισιν ἐν τοῖς δικαστηρίοις· φησὶν οὖν ἐκ τῶν κυάμων τῶν ἐκ τοῦ δικαστηρίου μηδὲν ἐσθίειν.

θ. Περὶ Σκηπίωνος καὶ Ἐπαμινώνδου.

Ὁ Ἐπαμινώνδας Θηβαῖος ἦν τὸ γένος, μέγιστος στρατηγὸς, στρατηγήσας ἐν τῷ λευκτρικῷ πολέμῳ, μαθητὴς γενόμενος Φιλολάου τοῦ πυθαγορίου· οὗτος πολεμῶν ἐνεκρατεύετο πάνυ καὶ ἀπὸ βρωμάτων καὶ ἀπὸ ἀφροδυσίων καὶ πάσης ἡδυπαθείας· διὸ καὶ μέγιστα κατὰ Λακεδαιμονίων ἔστησε τρόπαια· ὁ δὲ Σκηπίων καὶ αὐτὸς στρατηγὸς ῥωμαίων ὅμοιος κατὰ τὴν δίαιταν τὸ ἦθος τῷ Ἐπαμινώνδᾳ· ἠρίστευσε δὲ καὶ αὐτὸς ἐν τοῖς πρὸς Καρχηδονίους πολέμοις, ὃς ἐκ τῆς νίκης τοῦ ἔθνους τὴν ἐπωνυμίαν ἔλαβεν, καὶ ἐκλήθη Σκηπίων ἀφρικανός· Ἀφροὶ δὲ οἱ Καρχηδόνιοι λέγονται.

ι. Περὶ Ἀντισθένους.

Οὗτος Ἀντισθένης κυνικὸς ἦν φιλόσοφος, ὃς τυφθεὶς καὶ πληγεὶς τὸ πρόσωπον, λαβὼν χαρτίον καὶ ἐγγράψας εἰς τὸν τύψαντα, ἐκόλλησεν εἰς τὸ μέτωπον αὐτοῦ, καὶ οὕτως περιεπάτει.

ια. Περὶ τοῦ ἐν Ῥώμῃ φιλοσόφου.

Πολεμουμένης τῆς Ῥώμης ὑπὸ βαρβάρων, ἐπὶ . . . (1) τοῦ βασιλέως, φιλόσοφός τις στὰς ὅλην τὴν ἡμέραν ὑπὸ τὸν ἥλιον προσηύξατο, καὶ ἔπεσεν πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ κατέφλεξεν τοὺς βαρβάρους καὶ αὐτὸν τὸν φιλόσοφον.

ιβ. Περὶ τοῦ ποτιδαιώτου.

Ποτίδαια πόλις ἐστὶν ἐν τῇ Θράκῃ κειμένη· ἐν ταύτῃ φιλόσοφος ἦν· οὗτος ἐν χειμερινῷ καιρῷ πανύχιος, τοῦτ' ἔστιν ὅλην τὴν νύκτα, εὐχόμενος τοσοῦτον φησὶ μετάρσιος γέγονε τὴν ψυχὴν, ὥστε μὴ αἰσθάνεσθαι τοῦ κρυοῦς τοῦ

(1) Etiam in Nonno edito desideratur imperatoris romani nomen.

χειμῶνος· ἔκρασιν δὲ λέγει τὸ ἐκρῆναι τὸν ῥιπίσαντα ἑαυτοῦ, καὶ ὡς εἶπεν μετάρσιον γενέσθαι τὴν ψυχήν.

ιγ. Περὶ τοῦ τριστέγου.

Λέγεται ὁ Ἡρακλῆς διὰ τριῶν ἐσπέρων κυηθῆναι καὶ τεχθῆναι· τοιαῦτα γὰρ τινὰ μυθεύουσιν περὶ αὐτοῦ· ἐμοὶ δὲ φασὶν τοῦτον αὐτὸν Ἡρακλέα ἐν μιᾷ νυκτὶ πάσαις ταῖς Θεστίου θυγατράσι μιγῆναι καὶ παιδοποιῆσαι πάσας ἐξ αὐτοῦ· ὥστε διὰ ταῦτα καὶ θεσπιῆσαι αὐτὸν, καὶ τοῦτο τρισκαιδέκατον ἆθλον ἀνεμάσαι· αἱ δὲ Θεστίου θυγατέρες πεντήκοντα ὑπῆρχεν.

ιδ. Περὶ τοῦ ἱμάντος Ἀναξαγόρου.

Desideratur historia haec in codice.

ιε. Περὶ τῆς Ἐχέτου καὶ Φαλάριδος ἀπανθρωπίας.

Ἔχετος τῆς Ἠπείρου τύραννος ὑπῆρχεν· οὗτος ὠμότατος ὢν, ἐπενόει παντοίας τιμωρίας καὶ κολαστήρια· πρὸς τοῦτον οἱ θέλοντες ἀφειδῶς κολάσαι διέπεμπον, ὡς Ὅμηρος περὶ αὐτοῦ δι' ἐπῶν φησὶν, εἰς Ἔχετον βασιλῆα βροτῶν θηλήμονα πάντων· ὁ δὲ Φάλαρις τοιοῦτος τίς ἐστιν, καὶ οὗτος καινοτέρων κολαστηρίων γέγονεν εὑρέτης· ἦν δὲ τὸ γένος σικελιώτης· οὗτος Διονυσίῳ τῷ τυράννῳ χαριζόμενος ἔντι ὠμοτάτῳ καὶ τιμωρητικῷ, ἐπενόησεν βοῦν χαλκοῦν ἐν ᾧ ἔδει βάλλειν τοὺς κολαζομένους καὶ πῦρ ἀνακαίεσθαι, ἵνα φησὶν ἔνδον ὄντες καὶ καιόμενοι καὶ βοῶντες διατρεχούσης τῆς φωνῆς διὰ τοῦ στόματος τοῦ ταύρου, δόξῃ ὁ ταῦρος μυκηθμὸν ἀποτελεῖν καιόμενος· τούτου δὲ τοῦ Φαλάριδος τὸ ἀπάνθρωπον θεασάμενος ὁ Διονύσιος, αὐτὸν τοῦτον ἐνέβαλεν εἰς τὸν βοῦν, καὶ καύσας ἀπέκτεινεν. Odyss. α 84.

ις. Περὶ τῆς Ἄϊδος κυνέης.

Ὅμηρος ὁ ποιητὴς εἰσφέρει τὸν Δία ἀσρασίαν τινὰ καὶ

ἀφανείαν ἐμπεσόντα περὶ τοὺς Ἕλληνας, ὥστε μὴ ἐρᾶσθαι· λέγει μυθικώτερον, ὅτι τὴν κυνέαν τοῦ Ἅιδου περιέβαλεν αὐτοῖς ὥστε μὴ ἐρᾶσθαι· ἡ δὲ κυνέα περικεφαλαία ἐστὶ τοῦ Ἅιδου, τοῦτ' ἔστιν τοῦ Πλούτωνος· λέγει δὲ καὶ κυνέαν νέφος εἶναι τί ἐν ᾧ κρύπτονται οἱ θεοὶ, φησὶν, ἀπ' ἀλλήλων.

ιζ. Περὶ Ξάνθου καὶ Χαλκίδος.

Item haec historia deest in codice.

ιη. Περὶ τοῦ Παλαμήδους.

Οὗτος ὁ Παλαμήδης εὐβοεὺς ὢν τὸ γένος, Εὔβοια δὲ νῆσος ἀπάντικρυ τῆς Ἀττικῆς ἐστὶν, λέγεται πρῶτος ἐφευρεῖν τὸ ἀριθμεῖν καὶ ταβλίζειν καὶ πολλαῖς ἄλλαις κεχρῆσθαι μεθοδίαις· οὗτος δὲ ὁ Παλαμήδης εἷς ἐστὶν τῶν στρατευσαμένων κατὰ τὸν Ἴλιον, ἀπέθανεν δὲ ἐν Τροίᾳ κατ' ἐπιβουλὴν Ὀδυσσέως· Ὀδυσσέα γὰρ ἔσχεν ἐχθρὸν διὰ τοιαύτην αἰτίαν· τοῦ Ἀγαμέμνονος προτρεψαμένου τὸν Ὀδυσσέα ἐπὶ τὴν Τροίαν ἔξοδον, μὴ θέλων ἀπελθεῖν ὁ Ὀδυσσεὺς καὶ μανίαν προσποιησάμενος καὶ βαλὼν ὄνον καὶ ὄϊν ἅμα ἀροτριῶν ἐμμανίας προσποιήσει, ὁ Παλαμήδης ἤλεγξεν δὲ οὕτως, τὸν Τηλέμαχον τὸν υἱὸν αὐτοῦ προθεὶς πρὸ τοῦ ἄροτρου· εἶτα φθάσας ὁ Ὀδυσσεὺς περὶ τὸ παιδίον ἐπῆρεν τὸ ἄροτρον, ἵνα μὴ πλήξῃ τὸ παιδίον, καὶ ἐγνώσθη ὅτι νηφάλιός ἐστιν· ταύτην οὖν τὴν μῆνιν μηνιῶν ὁ Ὀδυσσεὺς ἐν τῇ Τροίᾳ, ποιεῖ πλαστὴν ἐπιστολὴν ὡς ἀπὸ Πριάμου πρὸς Παλαμήδην περὶ προδοσίας τῶν Ἑλλήνων, καὶ ὑποτίθησιν ἐν τῇ τοῦ Παλαμήδους σκηνῇ· ὕστερον κατηγορίας γενομένης κατὰ Παλαμήδους ὡς προδότου, ηὑρέθη ἡ ἐπιστολὴ, καὶ τέθνηκεν ὑπὸ Ἀγαμέμνονος καὶ πάντων τῶν Ἑλλήνων.

ιθ. Περὶ τοῦ Θρησκεύειν.

Ὀρφεὺς λέγεται θρᾷξ ἀπὸ γένους· οὗτος διελεγχόσας τὰ Ἑλλήνων μυστήρια, ἐδίδαξεν πῶς τὲ καὶ δεῖ τιμᾶν τοὺς θεούς· τοῦτο οὖν τὸ τιμᾶν θεούς, ἐκάλεσε θρησκεύειν· παρῆκται δὲ ἀπὸ τοῦ εἰσνεῖ θεοδερκεύειν, τοὐτέστιν θεὸν ὁρᾶν· τὸ δὲ μυεῖσθαι εἴρηται, ἢ παρὰ τὸ μυστήρια καὶ ἀπόρρητα τελεῖσθαι, ἢ διὰ τὸ μυοῦντα τὰς αἰσθήσεις καὶ ἐπέκεινα γινομένους πάσης σωματικῆς φαντασίας, καὶ οὕτως εἰσδεχομένους τὰς θείας ἐλλάμψεις.

κ. Περὶ τῆς ὀνειρομαντείας.

Τελμισσὸς πόλις ἐστὶν Λυκίας, αὕτη δὲ παλαιστάτη πόλις· ἦν δὲ καὶ ἐπὶ τῶν χρόνων τοῦ Κροίσου· οὗτοι λέγονται πρῶτοι τοὺς ὀνείρους εὑρεῖν καὶ διακρίνειν καὶ τὰ τέρατα· ἔλεγον γὰρ εἰ γέγονέ τί παράδοξον, ὅτι τόδε σημαίνει, καὶ πάντως ὡς ἂν εἶπεν συνέβαινεν ἐξέρχεσθαι.

κα. Περὶ τῆς οἰνιστικῆς Ξενοκράτους.

Λέγονται πᾶσαν τὴν οἰνιστικὴν οἱ Φρύγες εὑρεῖν· τῆς δὲ οἰνιστικῆς τὸ μὲν ἐστὶν ὀρνεοσκοπικὸν, ὅπερ ἐξηῦρον Φρύγες, τὸ δὲ οἰκοσκοπικὸν, τὸ δὲ ἐνόδιον, τὸ δὲ χειροσκόπιον, τὸ δὲ παλματικόν· ὀρνεοσκοπικὸν οὖν ἐστὶν, ὅτ' ἂν πετομένου τοῦδε ἢ τοῦδε τοῦ ὄρνιθος, ἢ ἐμπρὸς ἢ ὀπίσω ἢ δεξιᾷ ἢ ἀριστερᾷ, εἴπομεν ὅτι τόδε σημαίνει· λέγεται δὲ πρῶτος αὐτὴν ἐξευρηκέναι Τελεγόνος· οἰκοσκοπικὸν δὲ ἐστὶν ὅτ' ἂν τὰ ἐν τῷ οἴκῳ συμβαίνοντα ἐξηγήσηται καὶ εἴπῃ ὅτι τόδε σημαίνει, ἐπειδὴ ἐν τῇ στέγῃ ἐφάνη γάλη ἢ ὄφις ἢ μῦς, ἢ ἐκαινώθη ἔλαιον ἢ μέλι, ἢ οἶνος, ἢ ἄλλο τί, τόδε σημαίνει· ταῦτα δὲ συνεγράψατο Ξενοκράτης· ἐνόδιον δὲ ἐστὶν, ὅτ' ἂν ἐξηγήσεται τὰ ἐν τῇ ὁδῷ ὑπαντῶντα, ὅτι ἐάν σοι ὑπαντήσῃ τίς τόδε βαστάζων, τόδε συμβήσεται· ἐὰν

ὁ θεῖνα, τόδε· ἐὰν ἀλώπεκι συναντήσῃς ἢ θρκάδι ἢ κόρακι ἢ ἑταίρῃ ζώῳ, τάδε συμβαίνει, ἅπερ ὁ Πόλλης συνεγράψατο· χειροσκόπιον δὲ ἐστὶν ὅτ' ἂν διὰ τῆς ἐκτάσεως τῶν χειρῶν καὶ τῶν ῥυτίδων εἴπωμεν ὅτι τόδε αὐτὸν σημαίνει, ἢ ὅτι γαμεῖ, ἢ παιδοποιεῖ, ἢ τί τοιοῦτον, ἅπερ Ἕλενος συνεγράψατο· παλματικὸν δὲ ἐστὶν τὸ διὰ τῆς πάλσεως τοῦ σώματος γνωριζόμενον· οἷον ἐπάλθη ὁ δεξιὸς ὀφθαλμός τόδε σημαίνει, ἢ ὦμος, ἢ μηρός, ὃ συνεγράψατο Ποσειδώνιος καὶ ἄλλοι πολλοί.

κβ. Περὶ θουλοσπόρων Σκυθῶν καὶ μαστιγίων.

Τῶν νομάδων Σκυθῶν μέρος τί ἐξῆλθεν ἐκ τῆς Σκυθίας πλανώμενον ἐπὶ λῃστείᾳ· εἴασαν δὲ τοὺς οἰκέτας οὗτοι μετὰ τῶν γυναικῶν τυρεύειν τὸ γάλα, τοὺς δὲ οἰκέτας αὐτῶν ἐξετύφλουν οἱ Σκύθαι, καὶ οὕτως παρεῖχεν αὐτοῖς τυρεύειν· χρόνου οὖν ἐγγενομένου, καὶ τῶν Σκυθῶν τῶν ἐξελθόντων μὴ ὑποστρεφόντων, αἱ γυναῖκες φοιτῶσι παρὰ τοῖς ἐκτυφλωθεῖσι δούλοις, καὶ συγγίνονται παῖδες ἀντὶ τῶν ἐξελθόντων Σκυθῶν· ἦσαν δὲ δοῦλοι κατὰ τὸ σπέρμα· οἱ οὖν πάλαι ἐξελθόντες Σκύθαι ὑποστρέψαντες εὗρον τοὺς ἐκ τῶν δούλων γεννηθέντας ἡβήσαντας καὶ ἐναντιουμένους αὐτοὺς αὐτοῖς, καὶ γενομένου πολέμου μεταξὺ τῶν θουλοσπόρων καὶ τῶν ἐπανελθόντων Σκυθῶν, ἥττωνται πάνυ οἱ ἐπανελθόντες· τούτοις οὖν ἡττηθεῖσιν εἷς τις συνεβούλευσεν μὴ ὅπλοις αὐτοῖς πολεμῆσαι ἀλλὰ διὰ μάστιγος· τὸ γὰρ δι' ὅπλων φησὶ πολεμῆσαι τινὰς ὡς ἀπὸ ἴσων πρὸς ἴσους ἐστὶν ὁ πόλεμος, τὸ δὲ διὰ μαστίγων αὐτοῖς ἐπελθεῖν ὡς ἀπὸ δεσποτῶν εἰς δούλους ἐστίν· οἱ οὖν θουλοσπόροι θεασάμενοι τοὺς Σκύθας μετὰ τῶν μαστίγων ὑπέκυψαν ὡς ἰδίοις δεσπόταις, καὶ οὕτως κατελύθη ὁ πόλεμος.

κγ. Περὶ τῶν Θετταλικῶν ἵππων.

Πᾶσα πόλις κατ' ἐξαίρετον τί ἔσχεν ἴδιωμα, εἶεν ἡ Θετταλῶν χώρα ἔσχεν τοὺς ἵππους, ἡ τῶν Ἀθηναίων τὰ μέταλλα τοῦ ἀργυρίου, ἡ Ἰνδία τὴν χρυσίτιδα ψάμμον, ὡς καὶ ἡ Λακεδαιμονίων κύνας θηρευτικοὺς, ἐνθεν καὶ οἱ λακωνικοὶ κύνες, καὶ γυναῖκας ἀνδρείους καὶ ἀπτοήτους· ἔσχεν δὲ καὶ ἡ Σικελία τὴν Ἀρέθουσαν πηγὴν, ἧς ἐρασθεὶς ὁ Ἄλφιος ποταμὸς, διαδὺς τὴν θάλασσαν παρὰ τὴν Ἀρέθουσαν πηγὴν ἀνεδόθη.

κδ. Περὶ Πλάτωνος ἐν λόγοις πόλεως.

Πλάτων ὁ φιλόσοφος συνεγράψατο σύνταγμα, ὅπερ πολιτείαν ἐπέγραψεν· ἐν τούτῳ τῷ συντάγματι λέγει ὁποίαν δεῖ γενέσθαι πόλιν, καὶ ἐκ πόσων ἀνθρῶν συγκειμένην, καὶ ποίοις ἔθεσι καὶ τρόποις πολιτευομένην· αὕτη δὲ αὐτῷ ἡ πόλις λόγῳ μόνον συνέστη, ἔργῳ δὲ οὔτε συνέστη οὔτε ἐπολιτεύσατο· ἐν ἐκείνῳ οὖν τῷ συντάγματι λέγει τοῦτο τὸ ῥησίδιον, ὅτι ὑποκείσθωσαν ἡμῖν οἱ πολῖται ἵν' ἴδωμεν αὐτῶν κινουμένην τὴν ἐπίνοιαν.

κε. Περὶ τοῦ ὁ Φάνης καὶ ὁ Ἤρι καὶ ὁ Παῖος.

Ἐν τοῖς ὀρφικοῖς ποιήμασιν εἰσηνέχθη τὰ δύο ταῦτα ποιήματα μετὰ καὶ ἄλλων πολλῶν, ὧν τὸν μὲν Φάνητα εἰσφέρει αἰδοῖον ἔχοντα ὄπισθεν περὶ τὴν πυγήν· λέγουσι δὲ αὐτὸν ἔφορον εἶναι τῆς ζωογόνου δυνάμεως· ὁμοίως δὲ καὶ τὸν Ἤρι καὶ Παῖον λέγουσιν ἑτέρας ἐφόρους δυνάμεως εἶναι· περὶ δὲ τοῦ ὁ πάντας καταπίνων θεοὺς, οὐ λέγει περὶ Ἤρι καὶ Παίου, ἀλλὰ περὶ τοῦ Κρόνου· λέγεται γὰρ οὗς ἔτεκεν υἱοὺς, πάλιν καταπιεῖν καὶ ἐμῆσαι οὓς ἤθη κατέπιεν· λέγεται γὰρ λίθον καταπιεῖν ἀντὶ τοῦ Διὸς, καὶ τοῦ λίθου κατελθόντος, ἐμῆσαι πάντας.

κς. Περὶ Ὠκεανοῦ καὶ Θέτυος.

Τοῦτον εἰσφέρουσι τὸν μῦθον οἱ ποιηταὶ ὅτι Ὠκεανὸς πατὴρ ἐστὶ πάντων τῶν θεῶν, ἡ δὲ Θέτυς μήτηρ· ἀνδρόγυνον δὲ ὁ Ὠκεανὸς καὶ ἡ Θέτυς, καὶ ὅτι πάλαι διέστησαν ἀπ' ἀλλήλων, διὰ δὲ δυσωπήσεως τῆς Ἥρας γίνεται πάλιν συνάφεια αὐτῶν καὶ φιλία· ὁ δὲ μῦθος, φησὶν, αἰνίττεται, ὅτι ὁ Ὠκεανὸς μέν ἐστιν ἡ ὑγρὰ φύσις· ἡ δὲ Θέτυς ἡ ξηρὰ, τουτέστιν ἡ γῆ· καὶ ὅτι πάλαι τῆς ὑγρᾶς φύσεως μὴ συγγινομένης τῇ γῇ, οὐδὲν ἐζωογονεῖτο, καὶ ἀπόλλυτο πάντα· εἶτα ἡ Ἥρα ὡς ἔφορος οὖσα τῆς συζεύξεως, καταλλάττει τὰ δύο στοιχεῖα, καὶ γίνεται λοιπὸν ζωογονία.

κζ. Περὶ τοῦ πολέμου τῶν θεῶν.

Ἀθηνᾶ μὲν καὶ Ἥρα φροντίζουσαι τῶν Ἑλλήνων ἐπολέμουν πρὸς Ἀφροδίτην καὶ Ἄρεα φροντίζοντας τῶν Τρώων· εἴπεις δὲ πολέμους καὶ τοὺς ἀπὸ τῶν γιγάντων πρὸς τοὺς θεοὺς, καὶ τοὺς ἀπὸ τῶν Τιτάνων πρὸς Διόνυσον.

κη. Περὶ τοῦ τῶν Αἰθιόπων ἀρίστου.

Ὅμηρος φησὶν ὅτι ὁ Ζεὺς ἀπῆλθεν ἐν τῇ Αἰθιοπίᾳ ἐπ' ἄριστον· οἱ γὰρ Αἰθίοπες ἀριστοποιήσαντες ἐκάλεσαν αὐτόν τε καὶ τοὺς ἄλλους θεοὺς σὺν αὐτῷ· τὸ δὲ ἄριστον τῶν Αἰθιόπων καὶ ἡ δίαιτα αὕτη, θυσία ἦν γινομένη τῷ Διὶ·
Il. α. 423. τὰ δὲ ἔπη εἰσὶν ταῦτα· Ζεὺς γὰρ ἐς Ὠκεανὸν μετ' ἀμύνονας Αἰθιοπῆας - χθιζὸς ἔβη μετὰ δαῖτα, θεοὶ δ' ἅμα πάντες ἕποντο.

κθ. Περὶ Ζωπύρου.

Δάρειος ὁ Περσῶν βασιλεὺς πολιορκῶν τὴν Βαβυλῶνα ἐπὶ χρόνον πολὺν, καὶ δυσπορθήτου οὔσης αὐτῆς, καὶ σχάλλοντος ἐπὶ πολὺν καιρὸν, Ζώπυρός τις ἀνδρεῖος τὴν ψυχὴν, ὡς ἔδειξεν τὸ πρᾶγμα, καὶ οὐκ ἄδοξος παρὰ τῷ Δα-

ρώπῳ, μηχανᾶται τοιόνδε· κόψας ἑαυτοῦ τὴν ῥῖνα καὶ τὰ ὦτα, καὶ μάστιξιν ἑαυτῷ ξάνας δεινῶς, αὐτομολεῖ δῆθεν πρὸς τοὺς Βαβυλωνίους ὡς δεινὰ πεπονθὼς παρὰ τοῦ Δαρείου· εἶτα ἀπελθὼν, προσποιεῖται εὔνοιαν τοῖς Βαβυλωνίοις στρατηγῆσαι ὑπὲρ Βαβυλωνίων καὶ ἀνελεῖν πολλοὺς τοῦ Δαρείου· συνθεὶς δὲ σύνθημα μετὰ τοῦ Δαρείου ἡμέραν ὡρισμένην ἐν ᾗ δεῖ αὐτὸν προσβαλεῖν τῇ Βαβυλῶνι, ἐν ταύτῃ πείθει τοὺς Βαβυλωνίους λαβεῖν τὰς κλεῖς τῶν πυλῶν· εἶτα λαβὼν ἤνοιξεν καὶ εἰσήγαγεν τοὺς Πέρσας, καὶ οὕτως ἐχειρώθη ἡ Βαβυλών· ταῦτα δὲ Ἡρόδοτος ἐν τῇ γ' τῶν ἱστοριῶν φησί.

λ. Περὶ τοῦ ἑταῖρε καὶ τοῦ προυπίνειν.

Ὁ Πλάτων καὶ πάντες οἱ φιλόσοφοι τοὺς γνησίους ἐρασὰς τῶν λόγων, ἑταίρους καλοῦσιν οἷον φίλους· ὁ οὖν Ἰουλιανὸς ὡς δῆθεν φιλοσοφήσας, οὐκ ἀπαυθαδιάζετο τῇ βασιλείᾳ, ἀλλ' ἐμιμεῖτο δῆθεν Πλάτωνα καὶ τοὺς ἄλλους ἑταίρους πάντας καλῶν, καὶ πολὺ τοῦτο τὸ ὄνομα αὐτοῦ ἐν ταῖς συνουσίαις ἦν· τὸ δὲ προπίνειν τοῦτο ἐστὶν· πάντες οἱ ἀρχαῖοι βασιλεῖς ἐπιτελοῦντες ἑορτὴν πάνδημον, ἐν φιάλαις ἢ χρυσαῖς ἢ ἀργυραῖς κιρνῶντες ἐδέχοντο μὲν παρὰ τοῦ οἰνοχόου αὐτοὶ, ἀπέπινόν δε μικρὸν ἐκ τῆς κύλικος ὡς συμβόλου ὄντος τούτου φιλίας πολλῆς, καὶ τότε παρεῖχεν ᾧ ἂν ἐβούλετο χαριζόμενος καὶ τὴν κύλικα, καὶ ἐκαλεῖτο μὲν αὐτὸ τοῦτο προὐπίνειν· ἡ δὲ ἡμέρα, φιλοτήσια· τὸ δὲ λαρυγγίζειν μίμησις ἐστὶν φωνῆς ὅτ' ἂν τὶς ἐπιτερπόμενος οἷς λέγει ἐπιβήσει τῇ φωνῇ καὶ στενοῖ αὐτὴν, ὥστε δοκεῖν ἐν τῷ λαρυγγιᾷν παρακατέχεσθαι.

λα. Περὶ Ἡρακλῆς μαίνεται καὶ Μεγάρη.

Μεγάρη οὕτω καλουμένη Κρέοντος τοῦ Θηβῶν βασιλέως

θυγάτηρ ἐγαμήθη τῷ Ἡρακλεῖ, καὶ ἐπαιδοποίησεν ἐξ αὐτῆς· ἡ δὲ Ἥρα ἀπεχθῶς ἔχουσα πρὸς τὸν Ἡρακλέα διὰ πολλὰ, ἐνέβαλεν αὐτῷ μανίαν, καὶ μανεὶς ἀπέκτεινεν τὰ τέκνα αὐτοῦ τὰ ἐκ τῆς Μεγάρης.

λβ. Περὶ τῶν κεκομμένων καὶ διεσπασμένων Θεῶν.

Αὕτη δοκεῖ εἶναι περὶ τῶν Τιτάνων καὶ Διονύσου ἡ ἱστορία· ἔστι δὲ τοιαύτη· Περσεφόνη γεννᾷ τὸν Ζαγραῖον Διόνυσον ἐκ τοῦ Διὸς συλλαβοῦσα αὐτὸν· τοῦτον γεννηθέντα οἱ Τίτανες, δαιμονίων δὲ τάξις, φθονήσαντες τῷ Διονύσῳ ὡς ἐκ Διὸς ἔχοντα τὴν γέννησιν, διασπαράσσουσιν αὐτὸν· ἄλλοι δὲ φασὶν ὅτι καθ' ὑπόθεσιν τῆς Ἥρας διεσπάσθη ὑπὸ τῶν Τιτάνων ὁ Διόνυσος· καὶ περὶ μὲν τῶν διεσπασμένων Θεῶν αὕτη καὶ περὶ τοῦ Διονύσου· περὶ δὲ τῶν κεκομμένων οὐδὲ μία τίς φαίνεται ἡμῖν ἱστορία ἢ περὶ τῶν γιγάντων· αὐτοὶ γὰρ πολεμεῖν θέλοντες τοῖς θεοῖς, οἱ θεοὶ ἀντιστρατευσάμενοι ἐπολέμησαν καὶ ἔκοψαν αὐτούς, ὕστερον τοῦ Διὸς καὶ τὸν κεραυνὸν αὐτοῖς ἐκπέμψαντος.

ΕΞΗΓΗΣΙΣ ΩΝ Ο ΘΕΙΟΣ ΓΡΗΓΟΡΙΟΣ ΕΦΥΣΙΟΛΟΓΗΣΕΝ ΕΝ ΤΟΙΣ ΕΜΜΕΤΡΩΣ ΑΥΤΩ ΕΙΡΗΜΕΝΟΙΣ ΠΡΟΣΤΑΣΣΟΜΕΝΟΥ ΣΤΙΧΟΥ.

Ed. Billii carm. I.

498. Αὐτὰρ ἐγὼ, εἰ καί με κακὴ κάλυψε μέλαινα
499. Καὶ ὀνοφερὸν προπάροιθεν ἰὸν χέεν ἐχθρὸς ἐμεῖο,
500. Σηπίη ὡς ἐμέωσα καθ' ὕδατος, ἀλλὰ καὶ ἔμπης,
501. Τόσσον ἔτ' εἰσορόω καὶ δέρκομαι ἔσσον ἄριστα.

Σηπία γένος ἐστὶν τῶν ἐναλίων· ἔχει δὲ φυσικὴν μελανίαν· ὥσπερ οὖν καὶ οἱ ὄφεις, ἄλλη μὲν τῶν ὄφεων ἔστιν ἀναιρετικὴ, τῆς δὲ σηπίας οὐκ ἔστι· μόνον δὲ καθ' ὕδατος χεομένη, τὸ περὶ αὐτὴν ὕδωρ θολοῖ· ταύτην μὲν οὖν

ἐπίκουρον φυσικὴν κέκτηται τὴν μελανίαν, ὡς εἰ τὴν ἀσπίδα τῶν ἀμυντηρίων βελῶν ἀποτριπτικὴν ἐν πολέμῳ· καὶ γὰρ αὐτὴ τοῖς ἁλιευτικοῖς ἀγκίστροις ἐνεχλευμένη, καὶ τῶν θαλάμων ὥσπερ βιαίως ἀφελκομένη, τὴν μελανίαν ἐμεῖ, τοσαύτην ἔχουσα τὴν ἐνέργειαν, ὡς τὸ περὶ αὐτὴν ἅπαν ὕδωρ διαχλῦσαι, τῶν δὲ θηρευτῶν ἐκ τοῦ συγχεῖσθαι τὸ δι' αὐτῆς ὕδωρ, ὅπου τὸ θήρατρον ἐμβάλλειν ἀπειρούντων, αὐτη διὰ τῆς μελανίας τῶν ἀγρευόντων ἀποδιδράσκει.

Οἷσιν ἄδην ἐδάρασσας ἐμὲν κέαρ εἴτέ με πικρῆς 560.
Τινύμενος κακίης εἴτ' ἀλγέσιν, ὡς ὅτε πῶλον 561.
Παντοίοισι δρόμοισι καὶ ἡλιβάτοισι δαμάζων. 562.

Πώλους ἔθος ἐστὶν τοῖς σοφοῖς τὰ πολλὰ, ἀλλὰ μὴν καὶ τῇ θεοπνεύστῳ γραφῇ τὰς ἡμιόνους καλεῖν· εὖται δὲ φυσικὸν ἔχουσι στρῆνος· ὁ μὲν γὰρ ἵππος ὥσπερ δύναμιν ἔχει φυσικὴν, οὕτω καὶ πραότητα, τῆς εὐγενείας ὑπογράφων εἰκόνα, τὸ γὰρ εὐγενὲς εὔτροπον δηλονότι· πῶλοι δὲ, τοῦτ' ἔστιν ἡμίονοι, συγκεχυμένην ἔχουσι τὴν γέννησιν· ἵππων γὰρ καὶ ὄνων ἐξεγένοντο· πᾶν οὖν δυσγενὲς, δηλονότι καὶ δύστροπον· φυσικὴν οὖν ἔχοντες, ὡς ἔφημεν, τῆς ἀθερίτου, μᾶλλον δὲ παραφυοῦς γεννήσεως τὴν ἀταξίαν, λακτίζουσι καὶ σπαράσσουσι τὸν ἐπιβάτην ὑποπτύοντες, καὶ τὸν ἐπιβάτην ἀπωθούμενοι, τὰ πολλὰ προσκαταῤῥήσσοντες· πολλῇ δὲ βίᾳ κρατούμενοι, παντοίοις δρόμοις καὶ ἡλιβάτοις ἀνεδίαις δαμάζονται, ῥοπάλοις μαστιζόμενοι, καὶ πικροτέροις ἀγόμενοι τρόποις· τοιοῦτον ἐστὶν ὃ φησὶν ὁ θεῖος Γρηγόριος· οἱ πειρασμοὶ τοῖς μὲν διὰ κακίαν, τοῖς δὲ δοκιμῇ τῆς ἀρετῆς ἐπαγόμενοι, πολυτρόπως θεοῦ συγχωρήσει ἢ καὶ παροράσει.

Ξείνην τερπωλὴν εἶην ἔχων, ὡς ὅτε πηγὴν 610.

611. Διψαλέη ψυχρὴν ἔλαφος σχεδὸν ἄνδρας ἀρίστους.

Τὴν ἔλαφον ἐπὶ τὰς πηγὰς ὑδάτων ἐπιπεσεῖν ὁ Θεῖος ἔφη Δαβὶδ· αὕτη δὲ φυσικὸν οὐκ ἔχει τὸ πρὸς τὰς πηγὰς ἐπείγεσθαι, τοῦ δὲ σβέσαι τὴν δίψαν χάριν ἐπιτρέχει· καὶ γὰρ ἐν ταῖς ἐρήμοις διαιτωμένη, τῶν ἰσβόλων ἑρπετῶν τὴν γαστέρα πληροῖ, καὶ τῇ δίψει συγκαίεται· ψυχρὰν δὲ πηγὴν καταλαβοῦσα, τῆς ἐνδεμύχου καύσεως παρηγορεῖται· φησὶν οὖν ὁ Θεῖος Γρηγόριος ὅτι ποικίλων πειρασμῶν καὶ παθῶν ὑπ' ἐκκαύμασιν τοῖς ἀναπεπλησμένοις ὡς ταῖς ἐλάφοις τὸ ψυχρὸν, οὕτω δὴ καὶ τούτοις ἀνδρῶν ἀγαθῶν ὁ συνδυασμὸς γένοιτ' ἂν παρηγόρησις.

Carm. II.
104. Τὸν βροτὸν, ὅνπερ ἔτευξεν ἐοῦ θηλύτερα κόσμου,
105. Ῥίζαν ἐμὴν, καὶ σπέρμα πολυσχιδὲς βιότοιο
106. Ἄνδιχα μοιρήσας μεγάλῃ ζωαρκεῖ χειρὶ
107. Πλευρὴν ἐκ λαγόνων μούνην ἕλε τὴν ῥα γυναῖκα
108. Δειμάμενος, καὶ φίλτρον ἐνὶ πραπίδεσσι κεράσσας
109. Ἀμφοτέρεις, ἐφέηκεν ἐπ' ἀλλήλοισι φέρεσθαι,
110. Οὐ πᾶσ' οὐδ' ἐπὶ πάντας, ὅρον δ' ἐπέθηκε ποθοῖσι,
111. Τὸν ῥα γάμον καλέουσιν, ὅλης ἀμέτροις χαλινόν.

Τὸν ἐπ' ἀλλήλοις πόθον, τοῦ τε ἀνδρὸς φημὶ καὶ τῆς γυναικὸς, φυσικῶς ἐντεθεῖσθαι φησὶν ὁ Θεολόγος ἀρχῆθεν ὑπὸ τοῦ δημιουργοῦ τοιοῦτον, ὥσε καὶ μὴ βουλομένοις αὐτοῖς, ὅμως ἐξ ἐμφύτου κινήσεως ἀλλεπαλλήλοις ἐπείγεσθαι· οὐκ ἐπὶ πᾶσι δὲ φησὶ τοῦτ' ἔσιν, οὔτε πρὸς ἑκάστην τῶν θηλυτέρων τοῦ ἀνδρὸς εἶναι τὴν ἔφεσιν, οὐδὲ πάλιν τῆς γυναικὸς ἐπὶ πᾶσι τοῖς ἄῤῥεσιν, ὁροθέσιον δὲ θέμενος ὅπερ ἐστὶν κατὰ συζυγίαν, τὸν κτηνώδη κατ' ἀγέλης ὧδε τρόπον ἀποτρέπει· καὶ τοῖς μὲν ἄλλοις κτήνεσιν ἀφραδέουσιν ἐπαλλήλοις τὸ μαίνεσθαι παρέσχεν ἡ φύσις ἀγεληδόν· ἀν-

θρώποις δὲ κατὰ συζυγίαν· καί τοι φυσικῶς ὁ πόθος ἐγκείμενος ὡροθετεῖται· καὶ τὸ μὲν φέρεσθαι πρὸς συνουσίαν φυσικῶς ἔγκειται πᾶσι, τὸ δὲ μὴ κεχρῆσθαι ταῖς ὁρμαῖς ἀλλ' ἐγκρατεῖν φύσεως καὶ βιάζεσθαι, μόνης ἐστὶν ἀρετῆς καὶ τῶν ὑπὲρ φύσιν πολιτευομένων.

Εἰ δ' ἐτεὸν φοίνιξι πόθου νόμος ὑψικόμοισι 241.
Πηγνυμένους θήλυν τὲ καὶ ἄῤῥενα εἴαρος ὥρῃ 242.
Ἐρνοκόμων παλάμῃσι βρύειν βοτρυώδεα καρπόν. 243.

Τὸ μὲν ἐμφυλλίζεσθαι φυσικὸν οὐκ ἔστιν ἐπὶ τῶν ἄλλων φυτῶν· καὶ γὰρ παρ' ἑτέρων ἐμφυλλιζόμενα καὶ τὸν οἰκεῖον ἀποσώζει βλαστὸν, καὶ τὸν παρ' ἑτέρου δείκνυσιν ἐν ἑαυτῷ μεμερισμένως· ὁ δὲ φοίνιξ οὐχ οὕτως, ἀλλ' ἐκ τοῦ συγγενοῦς ἐμφυλλίζεσθαι φυσικὸν ἔχων τὸ μὴ δίχα τοῦ ἄῤῥενος τὸν καρπὸν ἀποτίκτειν· οἱ γὰρ φυτοκόμοι ταῖς ἰδίαις χερσὶν κατά τινα τόπον τῆς τοῦ φυτοῦ κορώνιδος διανοίγοντες ἀπόμοιραν εἰσβάλλουσιν ἄῤῥενος, ὥσπερ δὲ τὸ φυτὸν καταγάστριον ὑποδεχόμενον σπέρμα, κἀντεῦθεν ἐγκοιμωνοῦν τὸν ἔγκαρπον τοκετὸν, ὥριον εὐκαίρως ἀποδίδωσι.

Εἰ δὲ καὶ ἐκ δυάδων λιθάκων λίθος εἰς ἓν ἰούσης 244.
Τίκτεται, ὡς ἐνέπουσι λίθων ἐπιΐστορες ἄνδρες, 245.
Ἔστι καὶ ἀψύχοισι γάμος καὶ δεσμὸς ἔρωτος. 246.

Ὁ μὲν λίθος ἄψυχος ἐστὶ δηλαδὴ καὶ ἀναίσθητος, οὔτε μίαν πρὸς τὰ ψυχικά τε καὶ αἰσθητὰ κοινωνίαν κεκτημένος· πολλὴ δέ τις ἐν τοῖς λίθοις διαφορὰ, κατ' εἶδος φημὶ καὶ ἁφὴν· οἱ μὲν γὰρ ἄλλων εἰσὶν εὐχροώτεροι καὶ σκληρότεροι, καὶ μείζους ἢ ἐλάττονες, πάντες ὅμως δὲ λίθοι· τούτων γένος ἐστὶν φυσικὸν ἢ κατ' αἴσθησιν, ἢ οὐκ οἶδ' ὅτι καὶ λέγειν ἐχρῆν κινούμενον ὅμως· καὶ γὰρ σὺν ἀλλή-

λεις ἀποτιθέμενοι λίθακες δύο, τρίτον ἀπογεννῶσιν, ὥσπερ τὴν ζωτικὴν ἐκμιμούμενοι φύσιν.

535. Οὐχ ὡς δὴ φερέοικον ὑπ' ἄχθει ὀστρακόεντι
536. Ἕλκυσαν μογερῶς ὑγρὸν δέμας ἴχνεσι νωθρεῖς.

Φερέοικος ἐστὶν ἡ χελώνη, τὸ μὲν σῶμα διυγρὸν ἔχουσα καὶ ἀπαλώτερον, ὀστρακώδες γε μὴν τὸ σκηνάδιον· ἔχει μὲν οὖν ἐπικείμενον βάρος τῷ τρυφερῷ σώματι, καὶ φυσικῶς συνεζευγμένον· ἔθεν καὶ νωθρώτερον βαδίζει φυσικῶς ἐμποδιζομένη· ὅπερ οὖν ἐπὶ τῆς ψυχῆς καὶ τοῦ σώματος τοὔμπαλιν ἐπὶ τῆς χελώνης ἔστιν ἰδεῖν· ἡ μὲν γὰρ ἐλαφρὰ λέγεται ψυχή, τὸ δὲ σῶμα μόλιβδος καταβαρεῦσα· πειρᾶται γοῦν φυσικῶς καθέλκειν τὴν ἐλαφρὰν τὸ βαρύτερον· ἔχει δὲ δύναμιν ἡ ψυχὴ ἡ κατὰ φύσιν ἀνθεφέλκειν τὸ σῶμα· τὸ μὲν γὰρ ἀναίσθητον καθ' ἑαυτὸ θεωρούμενον, ἡ δὲ λογικὴ τέ καὶ νοερά τινα τρόπον καὶ τοῦ σώματος δέσποινα· διὸ καὶ ποτὲ καθελκομένη πάσχει τὸ παρὰ φύσιν· ἡ δὲ χελώνη φυσικὸν ἔχει τὸ κρατεῖσθαι, ὥσπερ ἐποχήν τινα τὸ περικείμενον ἐνδεδυμένη σκηνάδιον· καὶ βαδίζει μὲν τὸ ζῆν καὶ κινεῖσθαι, νωθρὰ δὲ τῇ φυσικῇ τοῦ βάρους ἀνάγκῃ· ὅπερ οὖν φησὶν ὁ θεῖος Γρηγόριος πάσχουσιν οἱ γάμῳ προσομιλοῦντες, βαδίζουσιν μὲν ἐθέλοντες πρὸς θεόν, νωθρότερον δὲ τὸ περίκεισθαι τὴν γαμήλιον ἀχθηδόνα· τοῦτο γὰρ ἀποδεῖξαι σκοπὸς τῷ θεολόγῳ, τῷ κατὰ τὴν χελώνην ὑποδείγματι.

538. Οὐδ' ὡς ἀμφιβίοισι νέμος καὶ χέρσον ἔχουσαν
539. Καὶ μαλακοῖς ναίουσαν ἐν ὕδασι νυκτὶ καὶ ἠῖ.

Ἀμφίβιον ἐστὶν ἅπαν ἐνυδρόχερσον, ὡς οἱ πηδητικοὶ βάτραχοι καὶ παγοῦροι λεξοδρομοῦντες, ὅσα τε βιοῖ τοῖς μαλακοῖς ὕδασιν καὶ τῇ ξηρᾷ διαιτώμενα· καὶ γὰρ ὥσπερ εἰ-

οἶν ἃ μὴ χωρὶς εἶεν τε ζῆν ὕδατος, αὐδις δ' ὅπερ ἐν ὕδασι ζῆν τῶν ἀμηχάνων· οὕτω δὴ κατ' ἄμφω ζῆν ἴδιοι νόμοι εἰσὶν ἅπερ, νόμοι δὲ γενικῶς διατρέχων, φύσις ἐστὶν δηλονότι· καὶ τούτους δὲ τοὺς γεγαμηκότας ἀπεικάζει Γρηγόριος ὁ πανάριστος, πῇ μὲν τοῖς μαλακωτέροις τοῦ γάμου τρόποις ἐντετηκότας· πῇ δὲ τοὺς κατ' ἀρετὴν τραχυτάτου βίου τῇ στερρότητι προσανέχοντας, τῷ πρὸς ἀρετὴν ἐπιπλάστῳ σχήματι μορφουμένους.

Ἀσπίδος οὐ μέγα τύμμα δίδωσι δέ γ' αὐτίκα πότμῳ
Ὑπναλέῳ, καὶ τερπνὸς ἀποπνείουσιν ὄλεθρος. Carm III. 291. 292.

Τῶν ἐχιδναίων γενῶν ἰοβόλων ἀσπὶς μικρὸν μὲν καθάπτεται τύπτουσα, τοσαύτην δὲ τὴν ἐνέργειαν ἔχει, ὡς ἡδονὴν ἡγεῖσθαι τὸν ὄλεθρον· ὥσπερ οὖν οἱ ψωριῶντες ἡδονὴν ἐκ τοῦ πάθους κνιζόμενοι περιποιοῦνται, τοῦ χαιμοῦ κατὰ τοῦ σώματος ἐπιφάνειαν καὶ τοῦ αἵματος ἐπιτρέχοντος, οὕτω δὴ καὶ τοῖς ὑπὸ τῆς ἀσπίδος τυπτομένοις αἷμα κατακάρδιον ἐπιτρέχει σὺν μελανίᾳ· τῇ μὲν οὖν ξέσει τοῦ σώματος, καὶ τῇ τῶν φυσικῶν πόρων κινήσει, τὴν ἡδονὴν προσγίνεσθαι, ἀναμφίβολον· ἐφέλκεται δὲ τὸν ὕπνον θαλπόμενον καὶ τὸ σῶμα· καὶ γὰρ οἱ μεθύοντες, ὕπνῳ βαθεῖ καταφέρονται ὑπὸ τῆς τοῦ οἴνου θερμότητος συγκαιόμενοι, καὶ μικρὸν ἀνανήφοντες ἀμέλει τῷ ψυχρῷ πρισανέχουσιν ὕδατι τὴν προσγινομένην παραμυθούμενοι δίψαν, οὐκ οἰνοποσίᾳ τὸ λοιπὸν ἀλλ' ὑδροποσίᾳ· τοσαύτη μὲν ἐκ φύσεως τῷ θηρίῳ καυστικὴ πρόσεστι δύναμις, ὡς ἅμα τῷ τυπτῆσαι τὸ κατακάρδιον αἷμα διαθερμᾶναι, καὶ πρὸς ὕπνον ἐφελκύσασθαι, καὶ τερπνὸν τοῖς ἀποψύχουσιν ἀποπιῆσαι τὸν ὄλεθρον· οὕτω μὲν οὖν, φησὶν ὁ θεῖος Γρηγόριος, μικρὰν ἡδονὴν τῇ ψυχῇ τὸ δακεῖν ἐνδέμενος ὁ θαίμων, ἢ τινὰ

τῶν εὐτελῶν φροντίδα βιωτικὴν, τερπνῶς ἐν ὕπνῳ τῇ ῥᾳθυμίᾳ καταφονεύει.

526. Ὡς δ' ὄρνιν φοίνικα φάτις θνήσκοντα νεάζειν
527. Ἐν πυρὶ τικτόμενον πολλῶν ἐτέων μετὰ κύκλα,
528. Γηραλέης κονίης ξεῖνον γόνον αὐτογένεθλον,
529. Ὡς οἵ γε θνήσκοντες ἀείζωοι τελέθουσιν.

Φήμη τίς ἐστὶν περὶ φοίνικος ὀρνέου ὡς μόνον ἐστὶν, ζεῦγος μὴ κεκτημένον· τοῦτο δὲ κατὰ χρόνον τινὰ (σχε)δὸν λέγουσι δὲ πεντακοσίων ἐτῶν, ἀποθνήσκειν τοῦτον τὸν τρόπον· συλλέγει ξύλα θησαυρίζων εἰς ἕνα τόπον, ἐφ' ὃν ἀφ' ὕψους ῥοιζηδὸν καταφερόμενον ἀναδίδωσι πῦρ, ὅθεν ἀναφλέγεται πυρκαϊὰ· θνήσκει δὲ φησὶ συγκαιόμενον, ἐκ τῆς κονίης δὲ πάλιν ἀναφύεται· τοῦτο δὲ μῦθος ἐστὶν γραώδης, ἑλληνικῆς ἀπήχημα τερατολογίας· οὐδὲ γὰρ τοῖς κατὰ τὸν Νῶε πτηνοῖς ἢ κτήνεσι καὶ θηρίοις ἀπηρίθμηταί τι· δύο δύο γὰρ ἢ ἑπτὰ ἑπτὰ πρὸς αὐτὸν εἰς τὴν κιβωτὸν ἀπετέθη τῶν πάντων, ἄρσεν καὶ θήλυ· πᾶσα σὰρξ διεφώνησεν ἀπὸ τοῦ γεναμένου κατακλυσμοῦ, πλὴν τῶν ἐν τῇ κιβωτῷ· ὡς μῦθον εἶναι φάσμα τὸν περὶ τοῦ φοινικόνος ὀρνέου λόγον· οὐ γὰρ ὡς ἀληθὲς ὁ θεολόγος τοῦτο παρεισάγει βέβαιον ἀποδεικνὺς, ἀλλ' εἶναι φήσι κατονομάζει· ταύτῃ δὲ τὸν κατὰ τοὺς παρθενεύοντας βίον ἐξεικονίζει· καὶ γὰρ ὥσπερ φησὶν ἔστι φήμη τὸν φοίνικα νεάζειν τικτόμενον ἐν πυρὶ πολλῶν μετὰ κύκλους ἐνιαυτῶν, οὕτω δὴ καὶ οἱ βιοῦντες κατ' ἀρετὴν ἅπαντες ἀποθνήσκοντες τοῖς ἐν κόσμῳ βιωτικοῖς, ἀθάνατοι γίνονται, τῷ πόθῳ τοῦ δεσπότου Χριστοῦ πυρπολούμενοι.

Μηδὲ τέῃ ζωῇ βαλέην ἐχενήϊδα σάρκα
Ἥ τε καὶ ἰεμένην περ, ὅμως κατὰ νῆα πέδησεν.

Φησὶν ὁ πάνσοφος τὰ θεῖα Γρηγόριος ὅτι δεσμὸς ἐστὶν

ἡ σὰρξ ἤτοι τὸ φρόνημα τῆς σαρκὸς τοῖς κατὰ θεὸν πολιτευομένοις· ἐκ παραγώγου δὲ τοῦτο φησὶ καὶ . . . ἐν θαλάσσῃ ὃν καλοῦσιν ἐχενήϊδα, μικρὸς μὲν καὶ λίαν εὐτελέστατος, ᾧ κατὰ τῆς ῥάχης ὀστέον προσήδρυται, καὶ μάλα βραχὺ· φορτίδι δὲ περιτυγχάνων οὗτος μυριαγώγῳ σκληροῖς ἀνέμοις ἐλαυνομένῃ τῇ σκάφῃ προσπήγνυσι τὸ κατὰ τῆς ῥάχης ὀστέον· ταύτην δὲ διεμποδίζει καίπερ φορῶς ἑλκομένην, μὴ συγχωρῶν προβαίνειν περαιτέρω, καὶ τοῖς ἀσχέτοις περ ὕδασιν ἐπιπλέουσαν· τοσαύτην δύναμιν εὐτελέστατος ὢν ἐκ φύσεως ἔλαχεν· οἷον ἐστὶν, ὁ θαυμάσιος φησὶ θεολόγος, τὸ τῆς σαρκὸς φρόνημα, κἂν μικρὰ φροντὶς εἶναι δοκεῖ καὶ τῶν εὐτελῶν, ὅμως ἐπέχει τὸν ἰσχυρὸν καὶ ταχύτατον πλοῦν, καὶ τῆς ψυχῆς τὸν κατὰ θεὸν δρόμον παρεμποδίζει.

Ὦ φύσι παμμητείρα, σὰ δ' οὐκ ἐμὰ θαύματα λέξω, 534.
Ὅσσα καὶ ἐν χέρσοισι καὶ ἐν πελάγεσσιν ἔθηκας. 535.

Τὴν φύσιν ὁ θεολόγος Γρηγόριος πάντων μητέρα φησὶ, καὶ γὰρ ἐστὶν πάντων γενέτις· πᾶν γὰρ ὃ πέφυκε τῶν ὄντων φύσις ἐστὶν, ὃ δὲ μὴ φύσις ἀνύπαρκτον δηλονότι· τὰ σὰ δὲ θαύματα φησὶν ὦ φύσι μήτερ ἁπάντων διηγήσομαι, ὅσα καὶ ἐν θαλάσσῃ ἐποίησας καὶ ἐν τῇ γῇ.

Πυνθάνομ' ὡς πτερόεσσα τρυγὼν τρυγόνος φιλίοιο 536.
Χηρωθεὶς ὁμόλεκτρον ἑὸν ποθέουσα σαόφρων, 537.
Οὐ δέχεται ποσὶν ἄλλον ἑῆς καθύπερθε καλιῆς. 538.

Ὄρνεον ἡ τρυγὼν τῶν καθαρῶν προσαγορευομένη, σωφροσύνην δὲ φυσικὴν ἔχει καὶ πολὺν τὸν εἰς τὸν ὁμόζυγον πόθον· αὕτη μὲν ἐκ παρθενίας αὐτῆς ἄρρενι * συνάπτεται καὶ τῷ πρὸς αὐτὸ τέρπεται γάμῳ, τούτῳ μόνῳ προσανεχομένη, δεύτερον οὐκ ἐπιδεχομένη· καὶ ζῶντι μὲν τὴν πρὸς

* cod. ὄρνη.

τὸν ἀμίαντον κίττην διαφυλάττει, θνήσκοντι δὲ καὶ θηρωμένῳ τῆς αὐτῆς ἔχεται φιλίας, οὐκ ἐπιδέχεται γὰρ ἕτερον ὄρνιν ὑπεράνω τῆς καλιᾶς, τὸν ἐκ παρθενίας ἐμέζυγον ἐπιποθοῦσα, μὴ παόντος δὲ συμπάσχουσα τρόπον, καὶ εἰς αἴσθησιν ἐρχομένη πλανᾶται, στάσιν ἀνὰ τὰς ἐρήμους οὐκ ἔχουσα, μέχρις ἀλῷ καὶ αὐτὴ τῷ πένθει, μακρὰ βοῶσα σωφρόνως τῷ πάθῳ τοῦ ἀνδρὸς ἡ σοφὴ συνφθειρομένη.

540. Οὐδὲ μὲν οὐ λακέρυζα μελάγχροος, ἀλλὰ καὶ αὐτὴ
541. Ζώει κουριδίοιο πόθου τρηθεῖσα κορώνη,
542. Πάντα πόσιν συγέουσα ἐπὴν φίλον ὄρνιν ὀλέσσῃ.

Ὄρνεον ἡ κορώνη μέλαν τῶν ἀκαθάρτων προσαγορευόμενη, σωφροσύνην δὲ φυσικὴν ὥσπερ οὖν καὶ ἡ τρυγὼν κεκτημένη αὐτή· ἐπειδὰν γὰρ τὸν προσφιλῆ καὶ παρθενικὸν ὄρνιν ἀπολέσῃ, πάντα μισεῖ ἄῤῥενα ὄρνιν· φλύαρον δὲ ταύτην ὁ Θεολόγος φησὶν, οὐ τὸ προσφυὲς ἐνταῦθα καὶ φυσικῶς ὑποφαίνων· οἱ μὲν γὰρ κόρακες τὸ πολλὰ κράζειν ἅπαντες ἔχουσι πεφυκὸς, ὃς αὐτὸς ἀλλαχοῦ τοῦτο δηλῶν ὁ Θεολόγος φησὶ, δεῖπνον ἔθηκαν ἀμετρβοαῖς κοράκεσσιν· ἡ δὲ πενθοῦσα κορώνη καὶ ξένον παρὰ τοὺς ὁμογενεῖς ὄρνεις κυκοῦσα, τοῦτον σεσημείωται τὸν τρόπον· τῶν μὲν γὰρ ἄλλων εὐτάκτως φωνοβολούντων, ἐξ ὧν τῆς οἰωνοσκόπεις πρόσεσιν οἰωνίζεσθαι, μᾶλλον ἀνενδότως αὐτὴ καὶ ὡς ἐκ περιστάσεως λεπτοτέρᾳ φωνῇ τὸ πένθος κατασημαίνει, μηδεμίαν ἔχουσα στάσιν ἄσχετα περικράζουσα, πενθικὸν ἀλαλάζουσα, ταῖς ὑποσυρομέναις φωναῖς καὶ ταῖς ἐκ τόπων εἰς τόπους συνεχέσιν ἀμείψεσιν· οὕτω μὲν οὖν ἡ μελάγχροος ἀλλὰ σώφρων, τὸ πρὸς τὸν ἐμέζυγον φίλτρῳ συνδιόλλυται κορώνη.

543. Ἰχθύσι δ' εἰναλίοισι νόμος, παυροῖς μὲν ἀθέσμος

Ἀμφὶ γάμους, πολλοῖς δὲ σωφροσύνης τὸ μέμηλε, 544.
Καὶ θαλάμων, ἀλόχων τε· δίκη δὲ τὸ κύνδαυ ἀνάσσει. 545.

Τοὺς θαλασσίους ἰχθύας ὁ θεῖος Γρηγόριος περὶ τὴν γαμικὴν ἕρεξιν φυσιολογῶν, τοὺς μὲν φησὶν ἀθεμίτους, τοὺς δὲ σωφροσύνης φροντίζοντας· εἰ μὲν γὰρ αὐτῶν ἀγεληδὸν ἐπέρχονται τὸν ἔαρος φέροντες ἀσημάντους, εἰ δὲ φροντίζουσι περὶ γυναικῶν, καὶ παστάδας τοῦτ' ἔστιν θαλάμους, κατασκευάζουσιν ἑαυτοῖς, καὶ ὥσπερ αἰδούμενοι προφανῶς ἀναιδεῖν ἐπιμιχθῆναι, κατὰ τοὺς θαλάμους εἰσιόντες ταῖς ἰδίαις μόνον συγγίνονται γαμεταῖς ἐπ' ἀλλήλοις τερπόμενοι καὶ τοῖς θαλάμοις προσκαρτεροῦντες καὶ μηδενὶ τῶν ἔξω μιγνύμενοι· δίκη δὲ φησὶν ὁ θεῖος θεολόγος παρ' αὐτοῖς βασιλεύει, καὶ γὰρ τοῖς πορνεύουσιν οὐ συμμίγνυνται· μάχονται δὲ καὶ περὶ θαλάμων εἰκὸς, καὶ τοὺς ἀκρασίᾳ φύρδην ἐπιόντας ἀποτρέπουσιν, φυσικὴν λαχόντες τὴν εἰς τοῦτο κατάστασιν.

Ἄλλοι δ' οὐ πλέονεσσιν ἑνὸς μογέουσι τόκοισιν, 546.
Ἄλλοι δ' εἰαρινῇ μούνῃ φιλότητι γάνυνται, 547.
Καὶ πλέονες, μέτρον δὲ φύσις ἐπέθηκε πόθοισι. 548.

Τῶν μὲν οὖν ἰχθύων εἰσὶν οἵ τινες ἅπαξ τίκτοντες ἀρκοῦνται, καὶ δευτέραις οὐκ ἐπιτρέχουσι συνουσίαις· ὥσπερ τῇ φύσει δουλεύοντες, καὶ τὸ πλέον παρὰ φύσιν ἡγούμενοι· μέτρον δὲ τούτοις τῶν πόθων ἡ φύσις ἐπέθηκεν· οἱ δὲ πλείους τῶν ἰχθύων, κατὰ τὸν τοῦ ἔαρος καιρὸν ἐπιμαίνονται τοῖς γάμοις, τότε πρὸς συνουσίαν ὥσπερ ἐκ τῆς τῶν καιρῶν εὐκρασίας κινούμενοι, μένουσι δὲ τὸν ἐπίλοιπον χρόνον ἀφροδισιῶν ἄτερ, ὡς οὐκ ὄντως παρ' αὐτοῖς ἄῤῥενος ἢ θηλείας διατελοῦντες.

Καιρὸς δ' αὖ φιλότητος ἐνήθεος ἐστὶν ἅπασιν 549.

560. Ἠερίοις, ἁλίοις τε, καὶ ὅσσ' ἐπὶ γαῖαν ὀδεύει.
561. Οὐδ' ἐκτὸς προχέουσιν ὄρου φύσιν, ἀλλὰ δέονται
562. Ὥρια μαργαίνοντες ἐπὴν σφέας εἶαρ ἐγείρῃ.
563. Καί ῥ' οἱ μὲν μιγάδεσσιν ἐπαΐσσουσι γάμοισι,
564. Τοῖς δ' ἄλοχοί τε μέλουσι φίλαι, καὶ θεσμὸς ἔρωτος·
565. Οἰστρόκοιτος δ' ἄλλοισιν ἐπάρκιος ἔπλετο μίξις.

Φησὶν ὁ θεῖος Γρηγόριος ὅτι καιρὸς ἐστὶν ἐπιτήδειος πᾶσι τοῖς ἀερίοις καὶ ἐναλίοις καὶ ἐπιγείοις τοῦ γάμου καὶ τῆς πρὸς ἀλλήλους μίξεως· οὐδὲν δὲ τῶν ὄρων τῆς φύσεως ἔξωθεν διεκχέει, οὐδὲ παρὰ τὸ συγγενὲς ἀλλογενεῖ μίγνυται· ὅρος δὲ φύσεως ἐστὶν ἡ σπερματικὴ καταβολή τε καὶ δύναμις· οὐδὲν οὖν τῶν ἁπάντων παρὰ τὸν συγγενέστερον ὅρον τῆς φύσεως καταβάλλεται, δεσμοῦνται τρόπον τινὰ πάντα, μαινόμενα μὲν εὐκαίρως, ἐπειδὰν ὁ τοῦ ἔαρος καιρὸς διεγείρει, μετὰ τὸ τὴν φύσιν ἐξυπηρετήσασθαι δὲ ἐπεχόμενα· τὸ μὲν οὖν θῆλυ τῶν ἀῤῥένων ἐγκυμωνῆσαν ἀποτρέχει· τοῦ δὲ θήλεως κατὰ γαστρὸς ἔχοντος, διὰ τῶν αἰσθητηρίων ἀντιλαβόμενον, ἀποπηδᾷ τὸν ἄῤῥενα· διὸ καὶ τὴν γυναῖκα θηλυτέραν οἱ σοφοὶ προσηγόρευσαν· πασῶν γὰρ ἐν πάσῃ τῇ κτίσει θηλειῶν μετὰ τὴν σπερματικὴν σύλληψιν οὐκ ἐπιδεχομένων τὸ ἄρσεν, ἡ γυνὴ τοῦτο ποιεῖν οὐ παραιτεῖται, καὶ μετὰ τὸ συλλαβεῖν ἐπιδεχομένη τὸν ὑπερματιστὴν ἄρσενα· καὶ πᾶν μὲν ἄλλο τί τῶν γενῶν θῆλυ προσαγορεύεται, θηλυτέρα δὲ ἡ γυνὴ τοῦτον ὡς ἔφη μὲν τὸν τρόπον, τοῦτ' ἔστιν θηλείας θηλυκωτέρα· καὶ μέν τοι τῶν ἀερίων καὶ χθονίων καὶ θαλαττίων εἰσὶν ἃ ταῖς θηλείαις ἀκρατῶς μίγδην ἐπιπηδῶσιν, ἅς δὲ φρουτὶς ἐστὶ καὶ γαμικῶν θαλάμων καὶ προσφιλῶν γαμετῶν· ἄλλοι δὲ πλὴν ἑνὸς οὐ μεχθοῦσι τοκετοῦ, τῇ φύσει τὸ πρόσφορον χαριζόμενοι, καὶ

αὐτῷ τοῦ δημιουργοῦ λόγου προςάγματι πειθαρχοῦντες, ὡς ἐντεῦθεν τὴν ἀκρατείαν παρὰ φύσιν εὔδηλον εἰσενηνέχθαι· καὶ γὰρ αὐτὸς ἐπάγει Γρηγόριος ὁ θεολόγος ὧδε φάσκων· εἰ δὲ καὶ τοῖς ἀνοήτοις περὶ σωφροσύνης λόγος ἐςὶν, καὶ ταύτης μέλει τούτοις, ὦ ἄνθρωπε, τὸ πλάσμα τοῦ θεοῦ κατ' εἰκόνα τιμηθεὶς οὐ σωφρόνως ζήσαιο, καὶ τῶν ἀνοήτων ὑπερέκεινα θελήσας παντὶ ποῦ δῆλον.

Ἄλλοις αὐτομάτη σαρκὸς δέσις οὐχ ὑπ' ἔρωτος 568.
Θειοτέρου τὴν οὔτι σωφροσύνην καλέουσιν. 569.
Ἔμπαγε μὴν γέρας ἐστὶ θεόσδοτον ὕβριος ἐκτὸς 570.
Ζώειν, εὐδιόωντά τ' ἔχειν νόον, ἠδ' ἀτίνακτον. 571.

Τοῖς μὲν, φησὶν ὁ θεολόγος Γρηγόριος, ἀφ' ἑαυτῆς ἡ σὰρξ δέδεται, τῶν πρὸς συνουσίαν μηδενὸς λόγον ποιουμένη· ταύτην δὲ σωφροσύνην οὐ λέγουσιν οἱ σοφοὶ· τὸ γὰρ παρὰ γνώμην ὥσπερ ἐξ ἀδυναμίας ἐγκρατεῖν ἡδονῆς, οὐκ ἂν κληθείη σωφροσύνη· τιμὴν δὲ καὶ δῶρον θεῖον ὁ θεολόγος καλεῖ τὸ ζῆν ὁπωσοῦν χωρὶς ὕβρεως, καὶ τοῦ πάθους ἠρεμεῖν ἐν τούτῳ τῷ μέρει, καὶ τὸν νοῦν ἀσάλευτον ἔχειν· τὸ γὰρ μὴ πρὸς ἡδονῆς παρενοχλεῖσθαι, τὸν νοῦν ἀκλόνητον διαφυλάττει· σώφρονες μὲν οὐκ εἰσὶ τινὲς οἱ φυσικῶς, ἢ κατ' αἰτίαν τινὰ τῆς ἡδονῆς ἐςερημένοι· ζῶντες δὲ καθ' ὃν ἔφημεν τρόπον ἀτάραχοι, θεόθεν γέρας ἔχουσι τοῦτο.

Οὐδὲ πυρὸς μαλεροῖο διατρέχει ηὔτε γαίης 579.
Σκαίρουσα χθαμαλοῖσι ποσὶν τυτθὴ σαλαμάνδρη. 580.

Τῶν ἐρπιςικῶν γενῶν εὐτελέςατον ἡ σαλαμάνδρα· τοσαύτην δὲ δύναμιν ἔχει φυσικὴν, ὡς πυρκαϊὰν κατασβεννύειν· καὶ γὰρ φλογὸς ἰσχυρᾶς ἀναριπιζομένης, μέση διαλλωμένη, τοῖς εὐτελεςάτοις ποσὶν ὥσπερ σκιρτῶσα, τὴν τοσαύτην σβέννυσι φλόγα, φυσικὴν πρὸς τοῦτο δύναμιν κεκτημένη.

581. Ἰχθὺς δ' ἔμπυρος ἐστὶ, καὶ οὐ πυρὶ δάμνατ' ἀπίσῳ

582. Ἔμπυρος, αἰθόμενος δὲ μέσης διαλάμπεται ἄλμης.

Ἔστιν ἐν θαλάσσῃ τὶς ἰχθὺς ἔμπυρος· οὗτος γὰρ μέσην διατρέχει τὴν θάλασσαν ἐπιπολάζων τοῖς ὕδασι ῥιζηδὸν· ὑφάπτεται δὲ ῥιζούμενος, καὶ φλόγα πολλὴν ἀναριπίζει μέσος τῶν ὑδάτων· οὗτος μὲν οὖν ἐμπυριζόμενος, οἰκοθεν γὰρ ἀναριπίζει τὴν φλόγα, οὔτε τῷ πυρὶ δαμάζεται συνφλεγόμενος, οὐδ' ὑπωσοῦν λωβᾶται· μένει δὲ ζῶν καὶ τοῖς ἄλλοις ἰχθύσιν ὑφέρπων, καὶ τὸν βυθὸν διανηχόμενος συνδιαιτᾶται, φυσικὴν ἔχων τὸ πυρὰν οἰκοθεν ἀναφλέγειν, ὑπὸ δὲ τοῦ πανδαμάτορος πυρὸς μὴ διόλλυσθαι· μέσην δὲ τὴν θάλασσαν διατρέχων, τὰ μὲν παρατυγχάνοντα κύματα διασχίζει, μένει δὲ λαμπόμενος καὶ τοῖς πολλοῖς ὕδασι μὴ σβεννύμενος, τῇ καυστικῇ τῆς φύσεως ἐπιδόσει τῶν θαλαττίων κυμάτων ἐπικρατῶν.

583. Οὐδὲ λίθος μάγνησσα σιδήρεον ὁλμὸν ἀνέλκει.

Λίθος ἐστὶν ὁ μαγνήτης· οὗτος φυσικὴν ἔχει δύναμιν ὥστε τὸν σίδηρον ἀνειμᾶσθαι· καὶ γὰρ ὑπεράνω τιθέμενος σιδήρου, τοῦτον ἀνέλκει, κἂν ὁλμός τε ᾖ, κἂν ὅτι τῶν βαρυτάτων καὶ μήκοθεν τιθέμενος ἑμοίως ἐφέλκεται τοῦτον, φυσικὴν εἰς τοῦτο δύναμιν κεκτημένος.

584. Οὐδ' ἀδάμας ἀδάμαντος ὅδ' οὐ σέλας ἧκε σιδήρῳ.

Ὁ μὲν ἀδάμας λίθος ἐστὶν ἐξ αὐτῆς δηλῶν τῆς προσωνυμίας τὸ τῆς φύσεως ἀνυπότακτον καὶ στερρὸν· οὗτος δὲ σιδήρῳ τῷ πανδαμάτορι τυπτόμενος μᾶλλον αὐτὸν ἀντιτύπτει· καὶ γὰρ ὡς κηρὸς ὁ ἀδάμας ἐπεισέρχεται· μολίβδῳ δὲ τοὐναντίον δαμάζεται, θλᾶται γὰρ, ἐπειδὰν αὐτῷ προσαγῇ.

585. Θεινόμενος, ἄλλος δὲ σελάσσεται ὕδατι βαιῷ.

586. Ὕδατι μὲν σέλας ἧκεν ἀπηγάσθη δ' ἄρ' ἐλαίῳ.

Ἐνταῦθα τυπτόμενος εἰς μέρος λόγου κεῖται τῷ περὶ τοῦ ἀδάμαντος στίχῳ προσκείμενον· ἡ δὲ ἄλλος . . . συντάξεως ἀρχὴν ὑποφαίνει· ἄλλος δή, φησὶ, σκληύνεται ὕδατι μικρῷ λίθος, τοῦτ' ἔστιν ἄλλος· καὶ γὰρ ἐν ταῖς λίθοις γένος ἐστὶν ὅπερ ἀνάπτει ῥαντιζόμενον ὕδατι· ὁπόσον γὰρ προσεγγίζει τῷ ῥείθρῳ νοτιζόμενον, τοσοῦτον καιόμενον ἀποβάλλει τὴν λαμπηδόνα, προσψαύων δὲ τῷ ἐλαίῳ σβέννυται· τὸ μὲν λίθον ὄντα σελαγίζοντα παρὰ φύσιν κεκτημένος, τὸ δὲ τρέφειν τὸ πῦρ τῇ τοῦ ὕδατος φύσει καὶ τῷ ἐλαίῳ κατακαιμίζειν, ὑπὲρ φύσιν ἐπιδεικνύμενος.

Ὅσσα δ' αὖ καὶ τῶνδε παρείτερα θαύματ' ἔασσιν 587.
Τίς κεν ἀριθμήσειεν, ἐπεὶ παρὰ πολλὰ ἀγορεύειν. 588.
Παίζει γὰρ λόγος αἰπὺς ἐν εἴδεσι παντοδαποῖσι 589.
Κίρνας ὡς ἐθέλει κόσμον εἰν ἑνθα καὶ ἔνθα. 590.
Πολλὰ δ' ἀπὸ πλεόνων μυθήσεται ὧν τὰ μὲν αὐτὸς 591.
Εἶδρακον, ὧν δὲ βίβλοι, ὧν δ' οὔατα πίστιν ἔδωκαν 592.

Πολλῶν ὁ θεῖος Γρηγόριος φύσεις σκεψάμενος, καὶ τῷ λόγῳ προσθέμενος τοῦ δημιουργοῦ λόγου τὴν παμποίκιλον θαυμάζει τέχνην, ὧδε λέγων· ὅσα πάλιν καὶ τούτων πρότερα θαύματα εἰσὶν, τίς ἂν διηγήσεται; ἢ τίς ἐξαριθμήσεται; ἐπειδὴ πάρεστι πολλὰ βουλομένοις ἡμῖν διηγήσασθαι· παίζει γὰρ, τοῦτ' ἔστιν εὐθρυπτεῖ καὶ τέρπεται τοῖς ἑαυτοῦ κτίσμασιν ὁ ὑψηλὸς λόγος τοῦ θεοῦ, ἐν ταῖς παντοδαπαῖς μορφαῖς καὶ φύσεσιν διαχωρήσας τὸν κόσμον τὸν ἴδιον, ὡς ἠθέλησεν· πολλὰ δὲ, φησὶ, δυνάμενος διηγήσασθαι, ἐκ πολλῶν ὀλίγα διαγορεύω, ὧν αὐτὸς μὲν αὐτόπτης ἐγενόμην, τὰ πολλὰ καὶ ὧν πίστωσιν ἔλαβον βεβαίαν βίβλοις ἐντυχὼν, καὶ δι' ἀκοῆς πληροφορηθεὶς ἀληθέστατα.

Οὐχ εἷς μὲν ποταμοῖσι κάτω ῥόος ἐστὶν ἅπασιν; 595.

594. Εἶς δὲ νόμος πελάγεσσιν ἐπ' ἠπείροσι φέρεσθαι;
595. Εἶς δὲ πυρὸς φλογέοντος ἄνω δρόμος ἅλμασι κύφοις;
596. Ἀλλ' ἔμπης ποταμὸς πικρὴν διανήχεται ἅλμην,
597. Καὶ ποταμός περ ἐὼν, οὐδ' ὕδατι μίσγεται ὕδωρ.
598. Ναῦται δ' ἐκ πελάγους γλυκερὸν ποτὸν ὑδρεύονται,
599. Νῆα ῥόῳ πελάσαντες ἐπειγομένῳ ποτὶ γαῖαν.

Ὅρα μοι, φησὶν ὁ Θεολόγος Γρηγόριος, ὅσον ἡ φύσις καὶ ἐν αὐτῷ βιάζεται τοῖς στοιχείοις τοὺς ἰδίους ὅρους ἀμείβουσα· τοῖς μὲν γὰρ ποταμοῖς εἰς τὸ πρανὲς ὁ δρόμος ἐστὶν· ῥεῖ γὰρ ἐπὶ τὸ κατωφερὲς ἡ τοῦ ὕδατος φύσις· ἀλλὰ καὶ ῥείθρῳ συνερχόμενον μίσγεται ῥεῖθρον ἀκρατὲς ἐν τῇ φύσει καὶ ἄστατον· ἡ δὲ θάλασσα τοῖς αἰγιαλοῖς ἀναβράζουσα τὸν σάλον ἐπιῤῥίπτει, ὥσπερ ἐξ ὕψους κατὰ πρανοῦς ἐπὶ τοῖς αἰγιαλοῖς . . . σα· ὡς δὲ καὶ τοῦ πυρὸς ἡ φύσις ἀνατρέχει τοῖς κύφοις πηδήμασιν· ὅσον γὰρ αἴθίζεται, τοσοῦτο τὴν φλόγα ἀναριπίζει· καὶ τὸ μὲν πῦρ ἄνω πηδᾷ, τοῖς δὲ κάτω προσέρπει τὸ ὕδωρ κιρνώμενον εὐδιαχύτοις· ἀλλ' ὅμως ὁ Ἀλφειὸς τῆς ἀρκαδικῆς ἀπερευγόμενος ποταμὸς πρὸς τὴν ἐν Σικελίᾳ πηγὴν, λέγω δὴ τὴν Ἀρέθουσαν, διὰ μέσης χωρεῖ τῆς θαλάσσης· τὸ δὲ ποτάμιον ὕδωρ εὐ συγκιρνᾶται τῷ θαλαττίῳ· ναῦται δὲ γλυκὺν πότον ὑδρεύονται τῆς θαλάσσης, ἐν μέσῳ τοῖς ἐπειγομένοις ἐπὶ τὴν γῆν ῥεύμασιν τοῦ Ἀλφείου τὴν ναῦν προσεγγίζοντες, καὶ γλυκὺν ἀρυόμενοι νᾶμα.

600. Εἰβείης δ' ἀρ' ὅπωπα θρασὺν πόρον οὐδ' ἐπίφραστον
601. Περθμὸν ἁλὸς κλιδὰ παλισσυτοῖσι ῥεέθροις
602. Μαινόμενον, πάντος δὲ ῥέει καὶ ῥεῖθρον ἄνεισιν.

Πῶς, φησὶν ὁ θεῖος Γρηγόριος, νόμος ἐστὶν ὥσπερ οὖν καὶ ἐστὶν ἐπὶ τῇ σενῇ τὸ θαλάττιον ἐπείγεσθαι κῦμα; τῆς

γε μὴν Εὐβοίας ὁ Θρασὺς πόρος καὶ ἀγνωστος ἅπασι μᾶλλον· αὐτόθι μὲν οὖν ἐστὶ πόρος στενὴ θάλασσα, ὃ καὶ κληῖδα καλοῦσι θαλάσσης· οὗτος δὲ τῆς ἐπισθερμίτας ῥύμασιν ἀγριουμένης ἀνατρέχει· καὶ ἡ μὲν θάλασσα ῥέει, τὸ δὲ ῥεῖθρον ἀναπεδιζόμενον, ἐπισθέρμιτον ἀνατρέχει, τὴν φύσιν βιαζόμενον τὴν κατωφερῆ· τοῦτο δέ τινες προσαγορεύουσιν Χάρυβδιν ἢ ἄμπωτιν· Ἀριστοτέλης μὲν οὖν ἀπὸ τοῦ ἡλίου τὰ πλεῖστα τῶν πνευμάτων φησὶ κινεῖσθαι καὶ περιφέρεσθαι, ὑφ' ὧν ἐμβαλλόντων ἀνειδεῖν τὴν ἀτλαντικὴν θάλασσαν, καὶ τὰς πλημμύρας κατασκευάζειν· λιγόντων δὲ ἀντιπεριισπωμένων ὑποβαίνειν, ὅπερ εἶναι τὴν ἄμπωτιν· οὕτω μὲν οὖν ὁ Ἀριστοτέλης φυσιολογεῖν ἔδοξεν· συνθέας δὲ ὁ ῥασσαλιώτης τῇ πληρώσει τῆς σελήνης τὰς πλημμύρας, τῇ δὲ ἐκλείψει τὰς ἀμπώτιδας ἀτλαντικὴν ἀντίθεσιν· Τιμόθεος δὲ τοὺς ἐμβάλλοντας ποταμοὺς εἰς τὴν ἀτλαντικὴν διὰ τῆς Κελτικῆς αἰτιᾶται, πορθοῦντας μὲν τὰς ἐφέδους καὶ πλημμυρεῖν ποιοῦντας, ὑφελκυντα δὲ ταῖς ἀνατομίαις καὶ ἀμπώτιδας ἐργαζομένους· ὁ δὲ θεῖος Γρηγόριος ἀνεπινόητον φησὶ τὸν πόρον ἀνθρώποις, τῆς ἐν τῇ κτίσει θαύμασι συναριθμῶν καὶ αὐτὸ, ὅτι πάντως ῥέει μὲν ὁ πόντος, τὸ δὲ ῥεῖθρον ἄνεισιν ἐπισθερμίτοις ῥοθίοις ἐπειγόμενον.

Ὠκεανὸς δ' οὖν ἕλκετ' ἀπὸ χθόνος, εἴτ' ἐπὶ χέρσον 603.
Ἔρχετ' ἐπιγομένοισι μεταίσσων ῥοθίοισι, 604.
Καὶ πεδίον καὶ πόντος ἐπ' ἠϊόσι κιμμερίοισιν. 605.

Ὠκεανός ἐστιν ὁ περικυκλῶν πᾶσαν τὴν ὑπ' οὐρανόν· οὗτος μὲν ἀπὸ τῆς γῆς ἐπὶ τὴν γῆν ἔρχεται μεθορμῶν τοῖς κύμασι τοῖς ἐπειγομένοις, ἐπέρχεται μὲν ἐπὶ τὸ πεδίον, καὶ θάλασσαν τοῖς κιμμερίοις αἰγιαλοῖς· Κιμμέριοι δὲ εἰσὶν ἔθ-

νος πρὸς τοῖς πέρασι τῆς γῆς· ἀπὸ μὲν οὖν τῆς γῆς ὠκεανὸς ἔξεισιν πᾶσαν τὴν γῆν συνπεριέχων, εἰς δὲ τὴν θάλασσαν ἐπειγόμενος τοῖς ῥεύμασιν μεθορμᾷ πάλιν κατὰ τοὺς αἰγιαλοὺς φερόμενος, καὶ πρὸς ἑαυτὸν ἐπιστρεφόμενος, τήν τε θάλασσαν καὶ τὴν πεδιάδα διατρέχων, οὔτε τῇ θαλάσσῃ συγκέχυται, καὶ πρὸς ἑαυτὸν ἐπανέρχεται.

606. Ἄλλος δ' αὖ ῥόος εἶσι πυρὸς φλόγες εἰ ἐτεόν γε
607. Αἰτναίων σκοπέλων ἀπερεύγεται ἑλκὸς ἄπιστος
608. Πῦρ ποταμὸς, τὰ δ' ἄμικτα, μίγη Χρυσοῖο θέλοντος.

Ὄρος ἐστὶν ἐν Σικελίᾳ, ὅπερ Αἴτνην καλοῦσιν, Ἕλληνες δὲ κρατῆρας Ἡφαίστου· ἐντεῦθεν πῦρ ἀναδίδεται, ποταμὸς δὲ κατὰ τὴν ὑπορίαν ἐστὶ διατρέχων, ἔνθεν μὲν οὖν πολλάκις ἀναδιδόμενον τὸ πῦρ τῷ ποταμῷ συγκιρνᾶται, καὶ τὰ ἄμικτα μίγνυται· τὸ μὲν γὰρ πῦρ ἀκινώνητον ἐστὶ τῷ ὕδατι, μίγνυται δὲ καὶ συμφύρεται καὶ διατρέχει, συμμεμιγμένον ὕδωρ καὶ πῦρ ποταμηδὸν φερόμενα, θαῦμα μέγα μέχρις αὐτῆς διατρέχοντα τῆς θαλάσσης.

609. Οἶδα καὶ ἐν βαιοῖσιν ὁμοίϊα θαύματ' ἀείσαι·
610. Ἔστι τίς ἐν καρποῖσι κερασβόλος, ὡς ἐνέπουσιν,
611. Ὅς μοῦνος τῶν ὅσσα φύει ζείδωρος ἄρουρα,
612. Ἐσκληκὸς καὶ ἄτεγκτον ἔχων δέμας, οὐδ' ἐνὶ γαίῃ
613. Λύεται, οὐδ' ἔμβρεσι διαίνεται, ἀλλὰ πέπηγεν
614. Λυαλέος, κεράων στερεώτερος ἤματα πάντα.
615. Οὗ τὸ κέρας βέβληκε βοὸς κέρας, εὖτ' ἀροτῆρες
616. Δεξιτερὴ προχέησιν ἑὴν ἐς καρπὸν ἄρουραν.
617. Ἔνθεν ὅ γ' ἐκ κεράων καὶ σύνεμα καὶ φύσιν ἔσχεν.

Ὁ κερασβόλος καρπός ἐστιν κατάξηρος ἐν τῇ γῇ μηδαμῶς τοῖς ὄμβρεσι ἀπαλυνόμενος· οὗτος δὲ τοσαύτην ἐκ φύσεως ἐνέργειαν ἔχει, ὡς τὸ κέρας τοῦ βοὸς ἐπιῤῥίπτειν, ἐπειδ'

ἂν ἀρετριῶν τούτῳ περιτύχειν· διὸ καὶ περισβίλος καλεῖται, τὴν φύσιν ἔχων ὡς ἀπὸ τῶν κεράτων ἀντίτυπον· τὴν ἐνέργειαν δὲ τοσαύτην, ὡς ἀποσπᾶν τοῦ περιτυγχάνοντος αὐτῷ βοὸς τὸ δεξιὸν κέρας αὐτομάτως ἐν τῷ ἀρετριᾶν.

Ταῦτα φύσις· σὺ δ' ἄκουε καὶ ὅσσ' ἐβιήσατο τέχνη. 619.
Ψῆρες μὲν λαλέουσιν ὁμοίιον ἀνθρώπεσσιν, 620.
Φωνῆς ἀλλοτρίης ζηλήμενες, ἣν ἐδίδαξεν 621.
Εἴδωλον ξεστεῖο κατ' ἐσόπτροιο φανῆναι 622.
Ψηρὸς, κρυπταδίην τε ἰεὶς ὅπα κερδαλέος φώς. 623.

Ἡ μὲν φύσις προείρηται διεκόσμησεν, ἀλλὰ καὶ ἡ τέχνη τοσαῦτα κατορθῶσαι δεδύνηται· τοὺς γὰρ ψῆρας λαλεῖν ἐξεδίδαξεν· οἱ ψῆρες οὗτοι δὲ γένος εἰσὶν ὀρνέων, φυσικὴν ἔχοντες ζηλοτυπίαν· λαλοῦσι δὲ ζηλοῦντες τοῦτον τὸν τρόπον· οἱ γὰρ πανοῦργοι τῶν ἀνθρώπων καὶ σοφισταὶ ζωγραφοῦσι τὸ ὄρνεον αὐτὸ κατ' ἐσόπτρου φαινόμενον, ὡς δι' ἐξεσμένου κλωβοῦ, καὶ τῷ εἰδώλῳ τὸ ζῶν παριστῶσι· λαθραίως δὲ πανοῦργος ἀνὴρ πέμπει φωνὴν· οἰόμενον προσῆχθαι φωνεῖ καὶ αὐτὸ τὴν τοιαύτην τῷ δοκοῦντι φωνὴν ἀπηχοῦν, ὡς ἐνεχθεῖσαν ἀκήκοεν· οὕτω τε τῇ συνηθείᾳ τρανῶς λαλεῖν ἐκδιδάσκεται.

Καὶ κόρακες κλέπτουσιν ὅμως ὅπα. 624.

Κλέπτουσι φησὶ φωνὴν καὶ οἱ κόρακες, τοῦτ' ἔστι μιμοῦνται· περὶ μὲν οὖν τοῦ λαλεῖν, οὐκ ἔστιν ἡμῖν ἀπόδειξις ἐναργὴς, τῶν κοράκων φωνῆς δὲ μάλιστα μὲν· εἰσὶν γὰρ οἱ παρεστήκασιν τοῖς κόραξιν κράζουσιν, οὗτοι δὲ τὴν φωνὴν εἰς λεπτότερον ἢ θασύτερον μεταβάλλουσιν· οἱ δὲ ζηλοῦσι τούτους, ὡσαύτως αὐταῖς κατὰ τὴν φωνὴν ἀλλοιούμενοί τε καὶ παρεικαζόμενοι· μῦθος δὲ περὶ τοῦ ἰκτῖνος τοῦ ὀρνέου τοιοῦτος ἐστὶν· οἱ γὰρ ἰκτῖνες, τοῦτο τὸ ὄρνεον, οὐκ ἦσαν

φησὶν ἄνωθεν ἄμουσοι, μέλος δὲ εἶχον ἴδιον· ἵππον δὲ χρεμετιζόντων ἀκούσαντες, εἰς ἔρωτα ἦλθον τῆς ἐκείνων φωνῆς, καὶ μιμεῖσθαι πειρώμενοι, συναπεβάλλεσυν ἧς εἶχεν, ἃ μαθεῖν ἐσπετήδευεν· χρεμετίζειν μὲν γὰρ οὐκ ἔμαθον, ἄδειν δὲ ἐπελάθοντο· τοῦτο δὲ τοῖς τὰ μὴ προσήκοντα ζητοῦσι τοῦ μύθου τὸ αἴνιγμα· καὶ γὰρ ἐπάγει τὸ ἐπιμύθιον ὧδε· ἄγει τῶν ὄντων τὴν στέρησιν ἡ τοῦ μὴ προσήκοντος ζήτησις.

Ὡς δ' ἐρατόχρως

625. Ψιττακὸς ἀγκυλόχειλος ἔσω πλεκτοῖσι δόμοισι

626. Ἀνδρόμεον φώνησε, καὶ ἤπαφεν ἀνδρὸς ἀκουήν.

Ὁ ψιττακὸς ὄρνεον ἐστὶν εὐειδὲς, ὑπερήφανον μάλισα, ὥσπερ οὖν ὁ ταὼς τῷ κάλλει σεμνυνόμενος· ἀλλ' ὁ μὲν ταὼς τὸ κάλλος ἐν τοῖς ὀρνέοις κέκτηται μόνον, ὁ δὲ ψιττακὸς καὶ τινὰ πρὸς τοῦτοις αἴσθησιν ὡς ἔστιν εἰπεῖν φυσικήν· οὗτος ἀνθρωπίνην φωνὴν διδασκόμενος, μανθάνει γὰρ τοὺς δεσπότας προσαγορεύειν, καὶ τινὰς ἄλλους προσφέρειν λόγους· ἐν πλεκτοῖς δὲ κλωβοῖς καθειργόμενος ἀνθρωπείαν φωνὴν αἰφνίδιον ῥοιέμενος, τῶν ἀκουσάντων τὴν ἀκοὴν ἐξηπάτησεν.

627. Ἐν ποσσὶν δὲ κάλωες ἐπήορι, ὧν καθύπερθεν.

Εἰσὶν ἐν ἀνθρώποις οἱ λεπτοὺς ἐφ' ἵππους κάλους διατείνοντες, καὶ δι' αὐτῶν βαδίζοντες ἀλεῶς, οὓς καὶ νευροβάτας καλοῦσι, τῇ τῆς νάβλης πρὸς τὸ σπαρτίον ὁμοιότητι· πολλὰ δὲ τῇ τέχνῃ παίζουσι κατ' ἄερος ἐπὶ σπάρτης, ἐκδιδύσκονται τοὺς χιτῶνας, εἶτα περιβάλλονται, καθέζονται, διανίσανται, ὀρχοῦνται, κινοῦνται, πηδῶσι, καὶ πολλὰ τοῖς ὁρῶσι διὰ τῆς τέχνης ὑπογράφουσιν εὐκατάπληκτα.

Στυγερὴ δὲ δι' ἠέρος ἄρκος ὁδεύει. 628.
Ἐν δὲ δίκης θώκοισι δικασπόλος ὥς τις ἐχέφρων 629.
Ἐζομένη νώμησε δίκης ἰθεῖα τάλαντα, 630.
Ὡς δοκέει παλάμῃσι νόον δ' ἐψεύσατο καὶ θήρ. 631.

Πολλὰ μὲν φασὶν περὶ τῆς ἄρκτου γέλωτος ἄξια, κἂν ὅτι τῶν ἀγρίων ἐστὶν θηρίων ἐπιτηδειότερον αὐτὸ πρὸς μάθησιν τῶν ἄλλων, οἱ τῶν ζώων τὴν φύσιν σκεψάμενοι διαγράφοντες, ὡς μὲν ὀρχεῖται, καὶ παλαίει, καὶ γελωτοποιοὺς μετέρχεται τρόπους· οὔπω δὲ διὰ τοῦ ἀέρος ὁδεύειν αὐτὴν ἀκηκόαμεν, ὅμοια τοῖς νευροβάταις ἐκ τέχνης ἐπιδεικνυμένην· Γρηγόριος δὲ ὁ πανάριστος ὡς καὶ δι' ἀέρος ὁδεύει διηγόρευσεν· τοσοῦτον ἡ τῶν ἀνθρώπων ἐπιστήμη καὶ τέχνη κατόρθωσεν, ὡς καὶ θῆρας παρασκευάσαι τῶν ἀνεφίκτων κατατολμᾷν· αὕτη δὲ καὶ τοῖς δικαστικοῖς θρόνοις ἐγκαθημένη, κινεῖ τῆς δίκης τὰ ζυγὰ τὸ δοκεῖν ἐμφρόνως ταῖς χερσὶ σχεδιάζουσα, καὶ πάντα πλὴν τοῦ λαλεῖν ἐπιδείκνυσιν, ὅσα τοὺς δικαστὰς εἰκὸς ἐπιδείκνυσθαι, καὶ τὸν νοῦν ἀνόητος θὴρ τῶν ἀνθρώπινον διαψεύδεται.

Καὶ βροτὸς ἐξέδιδαξεν ἃ μὴ φύσις· ὡς δὲ λέοντος 632.
Εἶδον ὑπὲρ νώτοιο λεοντοκόμον βριαροῖο 633.
Ἐζόμενον, θηρὸς δὲ μένος ὑπεδάμνατο χειρὶ, 634.
Καὶ ῥ' ὁ μὲν ἡνιόχευεν, ὁ δ' ἤγετο βρυχαλέος θὴρ 635.
Ῥίψας λοίγιον ἆσθμα, καὶ ὃν σαίνεσκεν ἄνακτα. 636.

Τοσαῦτα μὲν ἄνθρωπος ἐδίδαξεν, ὅσα φύσις οὐκ ἐδίδαξεν· ὁμοίως ὑπεράνω τοῦ λέοντος τοῦ βριαρωτάτου τὸν λεοντοκόμον ἐστὶν ἰδεῖν καθεζόμενον· ὁ μὲν οὖν λέων, φύσιν κέκτηται βριαρότητα, τὴν δὲ δύναμιν πολὺ ἐστὶ καὶ τὴν καρδίαν ἀδάμαστος· ἀλλ' ὁ τοσοῦτος ὡς πρόβατον ἄγεται τῇ τέχνῃ δαμαζόμενος τῶν ἀνθρώπων· οὐ τοῦτο δὲ μόνον

ἀλλ' ὅτι καὶ τὸν δεσπότην σαίνων κολακεύει· τοῦτο γὰρ αὐταῖς ὄψεσι παραλαβεῖν ὁ θεῖος ἔφη Γρηγόριος, καὶ τὸ φθαρτικὸν φύσιν αὐτὸν θυμὸν ὁ βρυχητὴς ἀποβαλλόμενος λέων τὸν ἴδιον ἐκολάκευε δεσπότην, ὡς πῶλος εὐήνιος κατὰ νώτου τὸν οἰκεῖον ἐπιφέρων παιδαγωγόν.

637. Ὡς δὲ καὶ ἀργιόδοντα βαρὺν μεγακήτεα θῆρα
638. Ἶνδος ἄγει καθύπερθε πάϊς ὀλίγῳ ὑπὸ κέντρῳ
639. Νωμῶν οἷά τε νῆα θέρας κρατερὸν ἐλέφαντος,
640. Τολμήεις ὃς πρῶτος ἐμήσατο θῆρα δαμάσσαι,
641. Καὶ ζυγὸν αὐχένι θῆκεν καὶ ἤγαγεν ἅρμα πέλωρον.

Τοῖς μὲν φυσιολόγοις πολὺς ἐστὶν ὁ περὶ τοῦ ἐλέφαντος λόγος· οὗτοι δὲ τὰ πολλὰ διημαρτήκασιν, ἀθήλου τῆς φύσεως τῶν πλειόνων καθεσώσης· ὁ δὲ θεῖος Γρηγόριος αὐτοῖς ἐγκαλλωπίζεται τοῖς φαινομένοις, δι' ὧν τῆς ἀνθρωπίνης τέχνης τὸ μέγιστον σεμνύνει καὶ προσφυὲς· φησὶν οὖν ὅτι τὸν ἐλέφαντα θῆρα πᾶς ἴνδος ἄγει ὑπὸ μικρῷ κέντρῳ κινῶν, ὥσπερ ναῦν, τὸν ἰσχυρὸν τουτονὶ θῆρα καὶ παναγριον· ἔρα δὲ, φησὶν, ὅτι καὶ τολμηρὸς ἦν ἐκεῖνος ὁ ἄνθρωπος ὅς τις πρῶτος ἐβουλεύσατο δαμάσαι τὸν ἐλέφαντα· καὶ γὰρ ἔδει μόνον θεασάμενον θᾶττον ἀποπηδῆσαι, καὶ μὴ τοῖς ἀνθρώποις ἀγαγεῖν τεράστιον ὄχημα, ὁ δ' οὐ μόνον οὐκ ἀπεπήδησεν ἄνθρωπος ἀλλὰ καὶ ἤγαγεν καὶ κυβερνᾷ, καθάπερ ναῦν, οἰακίζων οἷ θέλει τὸν θηρατὸν τεράστιον, ὑπὲρ νῶτον αὐτοῦ καθεζόμενος καὶ κεντρίζων· τοσαῦτα μὲν ἡ τέχνη τῶν ἀνθρώπων· οὐ δὲ φησὶν, ὦ ἄνθρωπε, τοὺς θῆρας δαμαζομένους τῇ τέχνῃ βλέπων τῶν ἀνθρώπων, ἄπιστον ἔχεις νῦν τῇ παρθενίᾳ μὴ κατερθῦσθαι ῥᾴδιον τοῖς ἐθέλουσι ταύτην διαγρεύων; ἄπαγε τῆς ἀτοπίας· ὅτι λόγον ἔχων ἐγγὺς βεβηκὸν, φησὶν ὁ θεῖος Γρηγόριος, καὶ

νεῦν κεκτημένος θεοειδῆ, τοῖς θηρίοις τὸ πλέον διανέμεις· εἰ θηρῶν μὲν τὴν δύναμιν ἔκαμψε βία, σὺ δὲ νεῦν ἀδίδακτον κέκτησαι, καὶ τὸν λόγον ἐγγὺς ἐπίκουρον, τῇ τε τῶν ἀγαθῶν ἐλπίδι τρεφόμενος, ῥᾷον ταύτην βουλόμενος καταρθώσειας, ταύτην δὴ τῶν ὑπὲρ φύσιν οἰόμενος· καὶ γὰρ ἐστὶν· σκόπει τὰ προρηθέντα ὡς ἡ τρυγὼν σωφρονεῖ τῶν κατὰ φύσιν ἐπιλανθανομένη, κορώνη δὲ τὸν ἀνύβριστον ἀσπάζεται βίον τὸν ὄρνιν αὐτῆς ἀπωλέσασα, ἰχθῦες δὲ σεμνῷ τῷ γάμῳ προσομιλοῦσιν ἅπαξ τοῦ χρόνου μαινόμενοι καὶ μοχθοῦσιν οὐ πλέον ἑνὸς τοκετοῦ· φυσικῶς τὰ πολλὰ τῶν ὑπὲρ φύσιν ἐκράτησεν, ὡς ἡ μικρὰ σαλαμάνδρα εὐτελεστάτοις ποσὶν ἀποσβέννυσι φλόγα πυρὸς, τῶν φθοροποιῶν οὐδὲν ὑπομένουσα· καὶ τὴν θάλασσαν ἔμπυρος ἰχθὺς διανήχεται, μὴ τῷ πυρὶ δαμαζόμενος· καὶ λίθος μαγνήτης βραχύτατος ὢν σιδήρεον ὁλμὸν ἀνέλκει· καὶ τύπτοντι σιδήρῳ βραχύτατος ὢν ὁ ἀδάμας εἰσελαύνει· καὶ λίθος ὕδατι καταλάμπεται, ἐλαίῳ δὲ σβέννυται· καὶ τὴν πικρὰν θάλασσαν ποταμὸς γλυκὺς διανήχεται μὴ μισγόμενος· καὶ τῆς Εὐβοίας ὁ πόντος ῥεῖ, καὶ τὸ ῥεῖθρον ὑπὲρ φύσιν ἀνατρέχει, τοῖς ὀπισθίοις ἀναποδιζόμενον· ὠκεανὸς δὲ ἀπὸ τῆς γῆς ἐπὶ τὴν θάλασσαν φερόμενος, εἰς τὴν γῆν πάλιν ἀνατρέχει· καὶ ποταμὸς καὶ πῦρ τῆς Αἴτνης ἀπερευγόμενον μίγνυται· καὶ καρπὸς ὁ κερασβόλος ἐν γῇ κείμενος τοῖς ὄμβροις οὐ λύεται, καρπὸς καίπερ ὑπάρχων οὐ δ' ὅλως ἁπαλύνεται· καὶ ψῆρες φωνὴν πέμπουσιν· καὶ ψιττακὸς διδασκόμενος ἀνθρώπινον ἀποφθέγγεται· νευροβατοῦσι δὲ τέχνῃ μὲν ἄνθρωποι κατ' ἀέρος φερόμενοι, τοῦτο δὲ ποιεῖν καὶ τοὺς θῆρας διδάσκουσιν, αὐτοὺς δὲ νοῦν διαψεύδεσθαι, καὶ δικαστικὸν προκαθέζεσθαι τοῖς σχήμασιν ἐκπαιδεύουσιν· λέοντας παιδαγω-

γεῦσι τῶν τεραστίων ἐλεφάντων ἐποχούμενοι· ταῦτα τοίνυν ὁρῶν, ὦ ἄνθρωπε, μὴ τὸν ἐνάρετον δύσκολον ὑποπτεύσειας βίον· θεοῦ γὰρ συνεργείᾳ τῶν ὑπὲρ φύσιν εὐκόλως ἐπιβήσῃ σὺν ἐλπίσι χρησταῖς κουφιζόμενος.

Ἐκ τοῦ ιβ' λόγου.

carm. Ἀλλ' ἔμπης τά με θυμὸς ἐποτρύνει καὶ ἀνώγει,
18. Φθέγξομαι, οὐκ ἐθέλων μέν, ἀτὰρ λόγον ἔκτοθι ῥήξω
19. 20. Ψυχῆς, ὡς ὅτε ῥεῦμα βιώμενον ἔνδοθι λάβρῳ
21. Πνεύματι καὶ σήραγγας ἐπιτρέχων οὐκ ἐπίσπτα
22. Καγχλάζει, καί που τί διεκπίπτει δαπέδοιο,
23. Ῥηγνυμένης ὠδῖνος ἀνὰ στόμα, τοῖα πέπονθα.

Τὰ θερμὰ λουετρὰ τοῦτον εἶναι τὸν τρόπον φησὶν ὁ θεολόγος Γρηγόριος, ὡς ὑπέκειται πλῆθος ὑποχθόνιον· τοῦτο δὲ βιαζόμενον τὸ ὕδωρ στενωπὸν ὑποτρέχει, καὶ τῇ βίᾳ ξενοχωρούμενον κοχλάζει· πᾶν γὰρ βιαζόμενον πῦρ ἀποβάλλει, διεκπίπτει δὲ τῶν στενωπῶν ἀναβράζων καὶ πῦρ ἐρευγόμενον· εἰ δέ τις ἄλλος περὶ τῶν θερμῶν λόγος ἐστὶν, πλάσμα τοῦτον ὑπολαπτέον.

83. Πουλιπόδες πέτρῃσιν ἐειδόμενοι χρόα μύθῳ.

Πρὸς τοὺς ἀλλοτρόπους καὶ σχηματιζομένους εὐσέβειαν τοῦτο φησὶν ὁ θεῖος Γρηγόριος, καὶ τοὺς ἐξομοιουμένους τοῖς πράγμασιν· οἱ γὰρ ὀκτάποδες παγοῦροι τὸ σῶμα ταῖς πέτραις ἐξομοιοῦσιν, ὡς δοκεῖν τοὺς θηράτορας τῆς πέτρας ἐξοχὴν εἶναι τὸ φαινόμενον.

Ἐκ τοῦ ιε' λόγου.

carm. Πόρτις μὲν διάλυξεν ἐὸν κευθμῶνα τεκούσης,
7. Καὶ σκαίρει, γλυκερὸν τ' οὖδαρ ἀνακραδάει.
8. 9. Καὶ τριετὴς ζυγὸν ἦρε, καὶ εἵρυσεν ἄχθος ἀπήνης,
10. Λύχνα δ' αὐχενίῳ κάρτει μίξε μέγαν.

Ἄρτις τὸ νέογνον λέγεται τῶν βοῶν, ἡνίκα τὸν κρυπτῆρα τῆς τεκούσης διελισθήσει, σκαίρει καὶ τὸν γλυκερὸν ἀνακρούει μαζὸν, τριτὴς δὲ τὸν ζυγὸν εἵλκει τῆς ἀράξης· διὸ καὶ βάρβαλις τότε καλεῖται· τῷ κράτει δὲ τῷ αὐχενίῳ τὸν μέγαν ὑποτίθησιν αὐχένα.

Νεβρὸς δ' αἰολόδερμος ἐπὴν διὰ γαστρὸς ὀλισθῇ, 11.
Αὐτίκα μητρὸς ἑῆς πὰρ ποδὶ θῆκε πόδα. 12.
Φεύγει δ' ὠμοβόρους τε κύνας καὶ ἵππον ἐλαφρὸν, 13.
Καὶ λόχμης πυκινῆς κεύθεται ἐν λαγόσιν. 14.

Ἡ ποικιλόδερμος ἔλαφος ἐπειδ' ἂν τῆς τεκούσης διολισθήσῃ, αὐτίκα παρὰ τὸν πόδα τῆς μητρὸς τὸν ἴδιον τίθησι πόδα· φεύγει δὲ καὶ τοὺς κύνας τοὺς ἀγρευτὰς, καὶ τοὺς κυνηγέτας, καὶ τὸν ἐλαφρὸν καὶ δρομαῖον ἵππον τοῖς ἄλσεσι κρυπτομένη, καὶ παραχρῆμα τοῦ τεχθῆναι τοσοῦτον ἰσχύει δραμεῖν φύσιν λαχοῦσα πρὸς δρόμον ἐπιτηδείαν.

Ἄρκτοι δ', οὐλομένων τε συῶν γένος, ἠδὲ λέοντες 15.
Τίγρις τ' ἠνεμόεις παρδαλέων τε γένος, 16.
Αὐτίκα φρίξεν ἔθειραν ἐπὴν κε σίθηρον ἴδηται, 17.
Φρίξεν, καὶ κρατεροὺς ἆλτ' ἐπὶ θηρολέτας. 18.

Οἱ προλελεγμένοι θῆρες ἀγριώτατοι καὶ ὡριὴ ὡεῖραν πολλάκις λαβεῖν τὸν θυμὸν ἔμφυτον κεκτημένοι, πρὸς μὲν τὸ καλὸν εἰσὶν ἀνεπιτήδειοι, πρὸς δὲ τὸ κακὸν ἕτοιμοι καὶ προχειρότατοι· καὶ γὰρ λέοντες καὶ παρδάλεις καὶ τίγρεις, ἄρκτοι καὶ σῦες ἀγριώτεροι τὸν σίθηρον ἐπειδὰν ἴδωσιν ἀνορθοῦσι τὴν τρίχα, καὶ τοῖς ἰσχυροῖς ἐπιπηδῶσι θηρολέταις ἑτοίμην ἔχοντες τὴν ὁρμὴν εἰς τὸ κακοποιῆσαι.

Ἄρτι δ' ἄπτερος ὄρνις ἐΰπτερος οὐ μετὰ θηρὸν 19.
Ἠέρα δινεύει πολλὸν ὕπερθε δόμου. 20.

Ὁ μὲν ὄρνις ἄπτερος τῶν ὠῶν ἔξεισιν, ταχέως δὲ πτε-

ρῦται καὶ περὶ τὸν ἀέρα ἀναστρέφεται, μηδένα μόχθον ὑπομένων, ἀλλ' ἅμα τὸ γενέσθαι τὴν πρὸς τὸ ζῆν κομιζόμενος ἐπιτηδειότητα.

21. Ξυθὴ δ' αὖ τε μέλισσα λίπε σπέος, εἶκεν ἔτευξεν
22. Ἀντίθετον, γλυκερεῦ πλῆσε γόνοιο δόμον.

Ἡ μέλισσα καὶ αὐτὴ τὸν ἴδιον εἶκον παραγρῆμα τοῦ γλυκυτάτου μέλιτος ἔπλησεν, μηδὲν τὸ παράπαν μοχθήσασα· πάντα δὲ ταῦτα τοῦ ἑνὸς ἔαρος ἔργον, τῆς γῆς αὐτῆς πλουσίως τὴν τροφὴν χαριζομένης· ὥσπερ δὲ χωρὶς πόνου παρήχθησαν καὶ ζῶσιν ἀμεγητὶ, τὰς πρὸς τὸ ζῆν ἀφορμὰς ἐξ αὐτῆς γεννήσεως εἰληφότες, οὕτω δὴ καὶ θνήσκουσιν ἀπόνως, μηδὲν λυπηρὸν ὑπομένοντες.

27. Καὶ πτερὸν ὄρνιν ἔθρεψε ταχὺν καὶ ἄγκεα θῆρα,
28. Βαιὰ πονησαμένους, φροντὶς ἐφηματίη.
29. Λὶς δὲ μέγας καὶ θῆρα τὸν ἔκτανεν, ὥσπερ ἄκουσα,
30. Λάψας, δαιτὸς ἑῆς λείψαν' ἀποστυγέει.
31. Ἄλλότε μὲν δαίσαθ' ἑτερήμερος, ἀλλότε δ' αὖ τε
32. Λάψε ποτὸν βριαρῶς, γαστέρι μέτρα φέρων.
33. Τοσσάτιον κείνοισιν ἀμοχθότερος βίος ἐστὶν,
34. Πέτρη καὶ κλαδεῶν, οἷκος ἀεὶ σχεδίης·
35. Ἀρτεμέες κρατερὴ περικαλλέες, ἣν δὲ δαμάσσῃ
36. Νεῦσος, νηπενθεῖς ἀλκίμων ἄσθμα λίπεν.

Συγκρίνων ὁ θεῖος Γρηγόριος τῆς εὐτελείας τὸν ἐπίμοχθον βίον, παρεισάγει τοὺς ὄρνεις καὶ θῆρας, δεικνὺς ὡς ἄπονος αὐτοῖς τὸ πλεῖστον καθέστηκεν ὁ βίος· οἱ μὲν γὰρ ὄρνεις ἀμόχθως γεννῶνται, τὸ δὲ πτερὸν αὐτοὺς τάχειον τρέφει· τοὺς δὲ θῆρας τὸ τῆς ζωῆς αὐτοσχέδιον αἵ τε πέτραι καὶ οἱ σύνδενδρι τόποι καὶ κλαδεῶνες, οὐ μόνον ἀπόνως φυλάττουσιν, ἀλλὰ καὶ ὑγιεῖς καὶ περικαλλεῖς ἀπερ-

γάζονται· λέων δὲ τῶν θηρίων ὁ βασιλικώτατος τῆς ἰδίας θήρας τὸ λείψανον ἀπεχθάνεται τῇ γαστρὶ μέτρα φέρων καὶ τοῦ φονευθέντος ὑπ' αὐτοῦ θηρὸς ὅσον ἐπαρκὲς ἀπαντλῶν τοῦ αἵματος βριαρῶς· οὕτω μὲν οὖν καὶ ζῶσιν ὑγιεῖς καὶ θνήσκουσιν ἀπενθεῖς, μηδὲν ὑπομένοντες λυπηρὸν, ὧν ἄνθρωποι πάσχουσιν· οὐ γὰρ γονεῖς αὐτοῖς καὶ φίλοι παρακάθηνται ἢ προσγενεῖς τῶν ἐσχάτων ῥημάτων ἢ διαταγμάτων ἐπιθυμοῦντες, οὐδ' ἰατροὶ τὸν καιρὸν τῆς ζωῆς κατασοφιζόμενοι, οὐδὲ τὴν κόμην αὐτοῖς ἀποκείρονται, καὶ θρηνοῦσιν ἀνύποιστα, ταύτην μόνην τιμὴν τοῖς θνήσκουσιν ἐπιστάμενοι, καὶ τοῦτο γέρας αὐτοῖς χαριζόμενοι· θῆρες μὲν οὖν εἰς τὸν βίον ἀμόχθως παρήχθησαν, τοῦτον δὲ πάλιν ἀπόνως παρατρέχουσιν, οὐ πυρετῷ δαμαζόμενοι καὶ νόσοις παμποικίλοις, ἀλλ' ἀδεῶς φθειρόμενοι, καὶ θαρσαλέως ἐκπνέοντες, ἀνδρείως τὲ διολλύμενοι.

Ἄθρει καὶ μερόπων δειλὸν γένος, ὥς κε τόδ' εἴπῃς, 41.
Ἢ ῥ' ἐτεὸν μερόπων οὐδὲν ἀκιδνότερον. 42.
Ῥοιῆς ἔκγονος εἰμὶ, μόγῳ δέ με γείνατο μήτηρ· 43.
Ἐθρέφθην πολλοῖς καὶ στυγεροῖς καμάτοις 44.
Ἀγκὰς ἔχεν μήτηρ με γλυκὺν πόνον· αὐτὰρ ἔπειτα 45.
Γαῖαν ἐπεξεόμην ἄλγεα τειρόμενος· 46.
Ἔνθεν ἔβην τετράκωλος ἐπ' οὐδέος, ἔνθεν ἀέρθην 47.
Ἴθμασιν ἐν τρομεροῖς κλεπτόμενος παλάμαις. 48.
Ἔνθεν νοῦν ὑπέλαμπον ἀναυδέος ἴχνεσι φωνῆς, 49.
Ἔνθεν δ' αὖ μύθων δάκρυσ' ὑφ' ἡγεμόσιν. 50.
Εἰκοσέτης συναγειράμενος καὶ πήμασι πολλοῖς 51.
Πρόσθεν ὑπηντίασα ὥς τις ἀεθλοφόρος. 52.

Ὅρα φησὶν ὁ θεῖος Γρηγόριος τῆς ἀνθρώπινης φύσεως τὸ ἐπίπονον, ἵνα ἀληθῶς εἴπῃς, ὄντως τῶν ἀνθρώπων οὐ-

δὲν ἐστὶν ἀσθενέστερον· ἀπ' ἀγορεύσεως γεγένημαι, πολλῷ δὲ μόχθῳ τέτοκεν ἡ μήτηρ με, πολλοῖς δὲ καὶ μισητοῖς πόνοις ἀνετράφην, οἷον γαλακτοτροφούμενος, καὶ τὰ νηπιότητος πάσχων, ἀνεπισημόνως κλαυθμυριζόμενος, ἀηδιζόμενος, καὶ ταῖς ἀγκάλαις τῆς μητρὸς γλυκὺς πόνος ἐπικείμενος· μετὰ ταῦτα τὴν γῆν ἐπεξεύμην ἐφ' ἕδρης συρόμενος καὶ πολλοῖς πόνοις ἔνδεν καταπονούμενος, καὶ ταῖς ἐκ τῆς ἀνοίας κινδυνεύων σωματικαῖς συμφοραῖς ἐκ τοῦ τὴν γῆν καθ' ἕδρης ἐπιξέεσθαι, τετράκωλος ἐπορεύθην χερσὶ καὶ ποσὶ κατακαμπτόμενος κεκυφώς· ἐντεῦθεν ἤρθην ἐπὶ τῆς γῆς συντρόμοις βήμασι ταῖς χερσὶν ὑποκλεπτόμενος· εἶτα τὸν νοῦν ἀμυδρῶς ὑπέλαμπεν ψελλίσμασιν ἢ τισὶν ἀνοήτοις κινήμασιν σεμνυνόμενος· ἐντεῦθεν ὑπὸ τοῖς ἄρχουσι τῶν λόγων ἐκάμνωσα θάκρυα πολλὰ, μαστιζόμενος καὶ πολὺν πόνον ἐκ τοῦ μανθάνειν καρπούμενος· πολλοῖς καὶ ὑπήντησα κακοῖς εἰκοσαετὴς γενόμενος, ἢ τέχναις δαμαζόμενος, ἢ μόχθοις ὀδιπεριῶν συντριβόμενος ἢ νόσοις πολυτρόπως μαχόμενος· ταῦτα μέν φησιν ἤδη πέπονθεν ἀνὴρ εἰκοσαετής· τοῖς δὲ ἔνεστι, τὰ δὲ πάλιν ἐλπίζει· γαμετῆς καὶ παίδων φροντὶς, καὶ τῶν βιωτικῶν ἀτυχιῶν τὲ καὶ ἐπιβούλων σύλησον δέος, κτῆσις, καὶ δασμογράφοι, καὶ φόρος, καὶ φορολόγος πικρὸς, δικαστήρια, δικολογίαι, μάσιγες, ἀπειλαὶ, δεσμωτήρια, συκοφαντίαι, δικαστὴς ἀπάνθρωπος, καὶ δήμιος ἀπαραίτητος, πόλεμοι, φυγαὶ, καὶ θράσος βαρβαρικὸν, δούλιος ζυγὸς ἐλευθερικὴν ἡμέραν ἀτιμάζων, πικροῦ δεσπότου καθημερινὴ συμφορὰ, θαλασσοπορίαι, κίνδυνοι, ναυάγια, κλέπται, λῃσταὶ γῆς ἀποστερηταὶ, καὶ θαλάσσης καταπονισταὶ, ξένης ἄνειδος χώρας, ἀλλοτρίωσις δὲ πατρίδος· πάντα ταῦτα τοῦ βίου παίγνιον τοῦ ἐδυνηροῦ·

καὶ μέν τοι καὶ τὰ δοκοῦντα τερπνὰ τοῖς ἀνθρώποις, ἴα κόρος μὲν ὑβριστής ἐστιν, καὶ βόρος ὁ λιμὸς ἔχει τι μικρὸν· τὰ δὲ λοιπὰ πάντα ἄμορα *, τάρις ἡ γαστὴρ δυσωδίας ἀεὶ πεπληρωμένος, τοῖς γάμοις αἱ μοιχεῖαι παρέπονται, τοῖς τοκετοῖς ἡλιτόμηνα καὶ παράσημα ἀμβλωθρίδιά τε ἐκπτώματα, καὶ παῖδες παράφορει καὶ μογγιλάλαι τῶν τεκόντων ὄνειδος καὶ τῆς ἀνθρωπίνης γενεᾶς παίγνιον ἀεὶ γέλασον· μέριμνα μὲν ἡ πολυτεκνία, δυστεκνία δὲ λύπη, μόχθος ἡ πενία· πλοῦτος δὲ οὐ μόνον ἀβέβαιος, ἀλλὰ καὶ ἐπίβουλος, τὸ κάλλος εὐδιάλυτον ἔαρος ἄνθος, ἄρτι νέος ῥοδοειδὴς σφριγῶν τὸ σῶμα καὶ ἡβάσκων· εἶτα γέρων σκυθρωπὸς ἐρυσιδόμενος καὶ κεκυφώς· τίς ἡ δίκη, τί τὸ κέρδος τῆς ἀνθρωπίνης ζωῆς; εὐθέως ἀρχομένῳ μὲν ὁ τόπος σκοτία τῆς εἰκήσεως, ἐρχομένῳ δὲ πρὸς τὸ φῶς, πρῶτον αὐτῷ τὸ δάκρυον γίνεται· πρὸ γὰρ ἀποδύρεται τοῖς κατὰ τὸν βίον ὅσοις μέλλει κακοῖς συναντήσεσθαι· τῆς μὲν τικτούσης ὡς ἐκ τάφου προέρχεται γαστρὸς, ὁδεύει δὲ τὸν βίον τρέχων ἐπὶ τάφον ἐπὶ τοὺς λαγόνας τῆς προμήτορος γῆς· ἐκ δὲ τοῦ τάφου τῷ πυρὶ πολλάκις θάπτεται ἀποτόμως· τὸ μὲν οὖν φίλτρον ἐν ἀνθρώποις ἄπιστον ἐστὶν· ἄρτι φίλος, μετ' ὀλίγον ἐπίβουλος, σήμερον ἐπαινέτης, κακήγορος αὔριον· ταῦτα φησὶν ὁ θεῖος Γρηγόριος, εἴ τις ἐπὶ πλάστιγγος ταλαντεύει, πολλῶν εὑρήσει τὴν τῶν κακῶν πλάσιγγα ἐπιβαροῦσαν, τὴν τῶν ἀγαθῶν ἔμπαλιν κουφιζομένην· οὕτω μὲν οὖν καὶ θηρίων καὶ πετεινῶν εὐτελέστερος ὁ ἐκτὸς ἡμῶν ἄνθρωπος, καὶ πάντων τῶν ἐν βίῳ μοχθηρότερος ἡμῶν ὁ βίος, ὅσον ἧκεν ἐνταῦθα, πλὴν εἰ μὴ θεὸς γένοιτ' ἂν τὸ προκείμενον, καὶ τῶν ἐν ἐλπίσι κειμένων ἀγαθῶν δι' ἀρετῆς ἡ ἀπόλαυσις, εἷς ἀναπνεῖ καὶ γέγηθεν ὁ ἔσω κατὰ θεὸν ἡμῶν ἄνθρωπος.

* ita cod

141. Τελμήσω τινὰ μῦθον ἐτήτυμον ὡς ῥα Θεῖο
142 Παίγνιον ἐστὶ βροτός.

Φησὶν ὁ Θεῖος Γρηγόριος ὅτι λόγον ἐρῶ τελμηρὸν, ὡς παίγνιον ἐστὶν ὁ ἄνθρωπος τοῦ Θεοῦ· καὶ ἐπάγει τούτοις

144. Ἄζομαι ἐξαπίνης ἐξεφάνην ἕτερος.

Τοῦτ' ἔστιν ἐντρέπομαι ταῖς μεθηλικιώσεσιν ἐξαπίνης φαινόμενος ἕτερος εἶσιν νήπιος, παῖς, ἠβάσκων, νεόχμος, νεανίας, ἀνὴρ, ἡμιγέρων, γέρων, πολλαῖς μεταβολαῖς ἑλισσόμενος.

153. Ὡς πηγῆς ῥοὸς ἐστὶν ἐπίῤῥομος, αἰθόμενον δὲ
154. Πῦρ οὐδὲν εἶδε μίαν ἄτρεπον, ἄλλετ' ἄνω.
155. Ὡς μέγας ἔσι βροτὸς, καὶ ἄγγελος, ἣν ἀπαΐξας
156. Ὥσπερ ὄφις στικτοῦ γήρας ἔνθεν ἴει.

Φησὶν ὁ Θεῖος Γρηγόριος ὅτι διπλοῦς ἐστὶν ὁ ἄνθρωπος, ἐκ ψυχῆς καὶ σώματος συγκείμενος· καὶ τὸ μὲν σῶμα ἐκ γῆς συνέστη, καὶ νεύει πρὸς γῆν· ἡ δὲ ψυχὴ θειοτέρας ἐστὶν ἐπιπνοίας ἀπόῤῥοή· ὥσπερ οὖν τῆς πηγῆς τὸ νεῦμα τοῖς ἁλωτέροις ἐπίῤῥομον ἐστὶν, οὕτω δὴ καὶ τὸ σῶμα πρὸς τὰ βιωτικὰ καθελκόμενον φέρεται· ὡς δὲ τὸ πῦρ καιόμενον οὐδὲ μίαν εἶδεν ὁδὸν, ἀλλ' ἄνω πηδᾷ μὴ προτρεπόμενον, οὕτως ὁ κατὰ Θεὸν ἄνθρωπος τῶν ἐπιγείων ἀφορμᾷ, πρὸς τὸ συγγενὲς ἐπειγόμενος, πνεῦμα τὸν βίον κατὰ τοῦ βίου καταλιμπάνων, ὡς οἱ ὄφεις τὸ κατόδυνον γῆρας τῇ καταῤῥίκτῳ συνεκδύνονται δερματίδι· καὶ οἱ ὄφεις ἐπειδὰν γηράσωσι, κατὰ τοὺς στενωποὺς εἰσδύνοντες ἀπεκδύονται τὴν δορὰν, συνεκδυόμενοι καὶ τὸ γῆρας· δέρματι δὲ παρείκασται τοῦ ὄφεως τὸ κατάστικτον τῆς ποικίλης ἁμαρτίας.

Ἐκ τοῦ νθ' λόγου.

Ed. carm. XLVII.
159 Νῦν γε μὲν εἷς τεκέεσσιν πατὴρ πτερὸν εἷα νεοσσοῖς
160. Αἰετὸς ὠκυπέτης πλησίον ἱπτάμενος.

Ἰδύνει νεόπηκτον ἔτ' ἦμαρ ἐν λαγένισσιν 161.
Δινεύντ' εὔπω θαρσαλέῃ πτέρυγι. 162.

Φησὶν ὁ θεολόγος Γρηγόριος ὅτι τοῖς προβαίνειν ἀρχομένοις τῆς ἀρετῆς τῇ ἑῴᾳ, ἰδυντὴρ ὁ πνευματικὸς καθίσταται πατήρ, καθάπερ ταῖς ἰδίαις νεοσσοῖς ἀετὸς πλησίον ἱπτάμενος καὶ τὸ πτερὸν αὐτοῖς ἰδύνων, ὅτ' ἂν εὔπω θαρσαλέως ταῖς λαγόσιν ἀναστρέφωνται τοῦ ἀέρος· καὶ γὰρ ὁ πατὴρ προσιπτάμενος κλίνοντας μὲν ἀνορθοῖ, θαρρεῖν ταύτῃ δὲ παρασκευάζει.

Ἐκ τοῦ ξα' λόγου.

Ed. carm. XLIX.

Ὦ πάτερ, εἴ μ' ἔφυσας βαιὴ χάρις· ἦ γὰρ ἁπάντων 1.
Εἷς νόμος οὗτος ἄνωθεν ἔρως μερόπων ἀλόγων τε 2.
Κάμπτεσθαι φιλότητι, λόγου δ' ἰότητι σοφοῖο, 3.
Τικτομένους τίκτοντας ἐφημέριον βίον ἕλκειν, 4.
Καὶ ζωὴν φθινύθοντας ἐπ' ἀσταχύεσσιν ἐΐσιν. 5.

Σκοπὸς οὗτος τῷ θεολόγῳ Γρηγορίῳ φυσικὸν παραστῆσαι τὸ πρὸς τοὺς παῖδας ὑπὸ τῶν γονέων φίλτρον, καὶ ὡς μέχρι θανάτου καὶ μερισμοῦ ψυχῆς καὶ σώματος διϊκνεῖται· καὶ τοῦτο παρίστησιν ἐξ αὐτῆς τῆς φύσεως ὧν τε πάσχουσιν καὶ ποιοῦσιν ὑπὲρ τῶν ἰδίων τέκνων οἱ γεγεννηκότες· παρεισάγει δὲ τὴν ἄλογον πρῶτον φύσιν ὧδε φάσκων, ὡς παρὰ παίδων πρὸς τοὺς τεκόντας.

Ἀλλ' ἔθρεψας ἔπειτα, βοῶν δέ τε καὶ κρατερῇσιν 6.
Οὐθατ' ὑποσκαίροντες ἀνακρούουσι καρήνας, 7.
Μόσχοι τ' ἠδὲ φέρουσιν πόνον γλυκερῆς ὑπ' ἀνάγκης. 8.

Αἱ δαμάλεις ἐπειδὰν γεννήσωσι, τὴν θήλειαν τοῖς νεόγνοις προβαλλόμεναι θαψιλῶς τοῦ γάλακτος ἐμφορεῦσιν· οἱ δὲ μόσχοι κερεσθέντες ταῖς ἑαυτῶν κεφαλαῖς ἀνακρούουσιν τὸν μασθὸν ἀτακτοῦντες· εὐθὲν δὲ τῷ γένει τῶν θηλειῶν ἀπαλω-

τερον ἐστὶν τοῦ μαζοῦ καὶ πολλὴν ὀδύνην ἐμποιεῦν· κἂν γὰρ πάθος κἂν πληγὴ, κἂν ὅ τι τῶν λυπηρῶν καθάψηται παντοίας θήλης, κίνδυνον ἐμποιεῖ θανατηφόρον· οὕτω μὲν οὖν αἱ μόσχοι τῶν μητρικῶν μασθῶν ἀτάκτως ταῖς κεφαλαῖς καθαπτόμενοι, πολὺν αὐταῖς τὸν πόνον ἐμποιοῦσιν· αἱ δὲ καίπερ ἀλγοῦσαι δεινῶς, ὑπομένουσιν ὅμως, οὔτε τοὺς νεόγνους ἀποτρέπουσαι, καὶ τὰς ἐκ τῶν πόνων ἀλγηδόνας γενναίως ὑπομένουσιν, τῷ φίλτρῳ τῶν νεόγνων κουφοτέραν τιθέμεναι τὴν ἀχθηδόνα.

9. Ὄρνις δ' ἄπτερα τέκνα φίλης καθ' ὑπερθε καλιῆς
10. Ἀμφὶ περιτρύζει, καὶ τείρεται ἔνθα καὶ ἔνθα,
11. Μάστακ' ἀλητεύουσα τροφὸς κενεὴ καὶ ἄπαστος·
12. Φίλτρῳ γὰρ συνέθησε φύσις τοκέας τὲ γόνους τὲ,
13. Μνησαμένη τοκέων τόδε φάρμακον, ὥς κε βαρείας
14. Κουφοτάτεισι πόθοισιν ἐλαφρίζωσιν ἀνίας.

Αἱ χελιδόνες μάλιστα καὶ πᾶν ὄρνεον ἄλλο, πλὴν τῶν κοράκων, ὑπεράνω τῆς καλιᾶς τῶν νεοσσῶν περιτρύζει καὶ καταπονεῖται τῇδε κἀκεῖσε περιπλανώμενον ὡς τροφὴν κομίσαι τοῖς νεοσσοῖς, αὐτὸ μένον ἄγευστον καὶ κενόν· τοῦτο γὰρ βούλεται τὸ κενὲη τροφὸς καὶ ἄπαστος, ὅτι πᾶν αἱ μητέρες τοῖς τέκνοις παραχωροῦσιν, οὐδὲ τὴν αὐτὴν αὐτοῖς μεριζόμενοι δαῖτα· καὶ τῶν ἐπιβούλων εἴ τι προσερπύζον ἴδοιεν, τῶν νεοσσῶν περίπτανται καὶ συγγὸν ὑποτρύζουσι· τῷ φίλτρῳ γὰρ ἡ φύσις συνέθησε τοὺς γονεῖς τοῖς τέκνοις, καὶ τὰ τέκνα τοῖς γονεῦσιν, ὑπόμνημα μᾶλλον δὲ παραμύθιον ἐνθεμένη, τὰς βλαβερὰς ὡς ἂν λύπας τοῖς ἐλαφροῖς κουφίζωσι πόθοις· οἱ δὲ κόρακες ἀσπλαγχνίας εἰκονίζουσι χαρακτῆρα, μόνοι γὰρ τῶν ἄλλων ὀρνέων ἀποτίκτοντες τοὺς νεοσσοὺς, καταλιμπάνουσιν ἀπροσκέπτους, οὐδὲν αὐτοῖς τῶν πρὸς

βίαν φροντίζοντες· ταύτῃ τοι φησὶν ὁ θεῖος Δαβὶδ ἐν ταῖς πρὸς θεὸν μεγαληγορίαις· ὁ διδοὺς τροφὴν πάσῃ σαρκὶ, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτὸν· ἀποδεικνὺς τὴν θείαν καὶ μέχρις τῶν εὐτελῶν διηκοῦσαν πρόνοιαν· ἀπορηθέντες γὰρ οἱ τῶν κοράκων νεοσσοὶ τῇ καλιᾷ προσκαθήμενοι χαίνουσιν τὸν θάνατον προσδεχόμενοι· καὶ δὴ τούτοις ἡ θεοῦ πρόνοια κατὰ τοῦ στόματος ἀποδρύφους ἐμπεσεῖν καὶ κώνωπας παρασκευάζει, μέχρις αὐτοὺς τὸ πτερὸν διαθρέψαντες τοῦ ἀέρος λαγόσι παραπέμψῃ.

Τοὔνεκα καὶ θριμεῖα νέη περὶ πέρτακι μήτηρ. 15.
Ὡς δὲ κύων σκυλάκεσσιν ἑοῖς, καὶ πτηνὰ νεοσσοῖς 16.
Δῆριν ἄγει, στικτὴ δὲ διέσσυται ἀγριόθυμος 17.
Πάρδαλις ἐκ ξυλόχοιο, συῶν δέ τε μαίνεται ἀλκὴ 18.
Χαίτη δενδρήεσσα, κόρης σέλας, ἀτμὸς ὀδόντων 19.
Θηγομένων καναχηδὰ, γένυς δέ τε βαλλέται ἀφρῷ 20.
Ἰεμένων τεκέεσσιν ἀμύνεμεν ἠὲ δαμῆναι, 21.
Οἶστρος γὰρ τόδ' ἔπεισεν ἀδιδάκτοισι νόμοισι. 22.

Τῆς περὶ τὰ τέκνα χάριν φιλίας ἡ μὲν δάμαλις θριμεῖα γίνεται περὶ τὸ μοσχάριον αὐτῆς, ἐπειδὰν τί τῶν ἐπιβούλων προσεγγίζον καταναίσῃ· οἱ δὲ κῦνες περὶ τῶν νεόγνων σκυλακίων ἄσχετα μαίνονται καὶ πικρὸν ἀμφυλάσκουσιν, ἴσον ἀνθρώποις καὶ θηρίοις ἐφορμῶντες ἰσχυροτέροις· τὰ δὲ πτηνὰ τῶν ἰδίων νεοσσῶν ὑπερμάχεται κατά γε τὸ ἐγχωροῦν, ἅπαν κακὸν ἀποτρέποντα τούτων· ἡ δὲ κατάσικτος πάρδαλις ἀγριόθυμος τοῦ δρυμοῦ θιορμᾷ τῶν ἰδίων σκύμνων προπολεμοῦσα, λέαινα θριμυτάτη καὶ τοῖς προσεγγίζουσι κίνδυνον ἐπάγει θανατηφόρον βρυχωμένη καὶ τῶν ἰδίων σκύμνων τὴν ἐπιβουλὴν ἀνακόπτουσα· τῶν ὀλεθρίων δὲ συάγρων ἡ δύναμις μαίνεται, θρὶξ ὑποφρίσσουσα καὶ δενδρώ-

δης ἐκείνοις, τῶν ὀφθαλμῶν δὲ καταλάμπεται πῦρ, τρισμὸς ὀδόντων ἐπὶ τούτοις ἠχιστικῶς ἀκουομένων, εἶτα τὸ γένειον ἀφρῷ καταραινόμενον βάλλεται· πάντων προθυμουμένων τοῖς τέκνοις βοηθῆσαι ἢ ἀποθανεῖν· ὁ γὰρ πόθος ἔπεισε τούτοις ἀδιδάκτοις νόμοις, τοῦτ' ἔστι τοῖς φυσικοῖς.

23. Σφῆκες δ' αὖ πέτρῃσιν ἐνίμενοι ἣν τιν' ἴδωνται
24. Πλησίον, οὐδὲ φέροντα κακὸν τεκέεσσι νεόγνοις
25. Πετρόθεν ἐκχυμένοις, σφατὸς ἀθρόος ἀμφὶ πρόσωπα
26. Βομβεῦσιν, κέντροις δὲ πικροῖς βάλλουσιν ὀδίτην.

Οἱ σφῆκες ταῖς τῶν πετρῶν παρακαθεζόμενοι τραγλαῖς, αὐτόσε γὰρ ἐμφωλεύουσιν, ἐπειδὰν ἴδωσιν παροδίτην μηδὲν κακὸν αὐτοῖς ἐπιφερόμενον, τῶν νεόγνων περιμελούμενοι θᾶττον τῶν πετρῶν ἀποκυθέντες, στρατὸς ἄσχετος βόμβον καταπληκτικὸν ἀποτελοῦσι, πικροῖς δὲ κέντροις τὸν ἄθλιον βάλλοντες ὀδυπόρον πολλάκις καὶ τοῦ ζῆν ἀπαλλάσσουσι.

27. Ἔστι καὶ ἐν βύθοισι πόθου νόμος, εἰ ἔτεόν γε.
28. Δελφὶς εἰναλίων βασιλεύτατος, ἤν τιν' ἴδηται
29. Θῆρ ἁλὸς ἠπεδανοῖσιν ἐπιπλώοντα τεκέεσσιν
30. Ἠὲ γένυν ἁπλώσας εἴσω γόνυ αὖθι ἕδεκτο
31. Λάπτων ὥς τιν' ἐδητύν, ὅπως μὴ θηρσὶ γένηται.
32. Οὐδ' αὖ γε πρὶν κευθμῶνος ἀπέπτυσε φόρτον ἄπιζεν,
33. Πρὶν θηρὸς κρατερσῖο φυγεῖν ζονέεσσαν ἀπειλήν.
34. Τῆμος δ' ἐκ λαγόνων ὠδῖν' ἠρεύξατο κύφην.

Τῶν ἐναλίων ὁ βασιλικώτατος δελφίνος εἴ τινα τῶν θαλασσίων θηρῶν τοῖς μικροῖς αὐτοῦ τέκνοις ἐπιπλέοντα ἴδῃ, τὴν ἰδίαν διαπλώσας σιαγόνα, τὰ τέκνα πάλιν ἐντὸς ὑποδέχεται καταπίνων ὥσπερ βρῶσιν τινά, ὅπως ἂν τοῖς θηρίοις μὴ κατάβρωμα γένοιντο· οὗτος δὲ τοῦ κρυπτῆρος, τοῦτ' ἔστιν τῆς κοιλίας, οὐδαμῶς ἀναδίδωσι τὸν βαρὺν ἐκεῖνον φόρ-

τον καὶ παρὰ φύσιν ἐγκύμονα, πρὶν τοῦ κίτους τὸν κρατερὸν τὴν στεναχτικὴν ἐκφύγῃ ἀπειλήν· ὡς ἂν δὲ τὸ θηρίον παρέλθοι καὶ τὸν κίνδυνον διαδράσειε, τότε δὴ τῶν πλευρῶν τὸν βαρὺν ὡς ἐλαφρὸν ἔξεμεῖ τοκετὸν, τοσαύτην ἐδύνην πρὸς τὰ τέκνα φυσικῷ ὑριστάμενος φίλτρῳ· ταῦτα φησὶν ὁ Θεῖος Γρηγόριος ὡς παρὰ παίδων πρὸς γονεῖς ἀποδεικνύντα πᾶν ὅπερ ἐπιμελὲς ἐστὶν περὶ τοὺς παῖδας τοῖς γονεῦσιν, τοῦτο καὶ θηρίοις προσεῖναι καὶ πετεινοῖς καὶ ἰχθῦσι καὶ πᾶσι τοῖς κατὰ κόσμον περὶ τὸν ἴδιον τοκετόν· τί οὖν ἐστὶν περισσὸν ἐν ἀνθρώποις ὃ τοῖς τέκνοις παρὰ τὴν λοιπὴν κτίσιν καρποῦσθαι τοῖς ἀνθρώποις γένοιτ' ἂν περισπούδαστον, αὐτὸς διδάσκει δι' ὧν ἐπάγει, φάσκων ὡς παρὰ τῶν παίδων πρὸς τοὺς γονεῖς οὐ χρυσὸν ποθῶ οὐδὲ ἄργυρον οὐδὲ τὰ σήρων λεπτὰ καὶ παμποίκιλα νήματα, οὐδὲ λίθους διαυγεῖς, οὐδὲ γῆν πολύμετρον κυμαίνουσαν καρποὺς ὁμοίαν τῆς Αἰγύπτου, οὐδὲ πλῆθος θεραπόντων καὶ τετραπόδων ἀγέλας· γάμος δὲ τοῖς θέλουσι φροντιζέσθω, δέσποιναν ἄγων ὑψηλὴν καὶ τιμωμένην ἀχθηδόνα· καὶ θρόνος ἄλλοις ποθείσθω καιροῦ φρύαγμα πίπτων, ὃς πολλοὺς πατῶν ὑπ' ὀλίγων πατεῖται πολλάκις καὶ χειροτέρων· οὐδὲν γὰρ βέβαιον ἐν ἀνθρώποις ὃ παρὰ τὰ κτήνη τοῖς τέκνοις οἱ ὄντως γονεῖς περιποιήσαιντο· πλὴν εἰ μὴ τῶν λόγων ἡ δύναμις τὸ φυσικὸν κάλλος τῆς εἰκόνος δι' οὗ τῆς κτηνώδους φύσεως καὶ θηριώδους ἡ ἀνθρωπεία μάλιστα διακέκριται· τινὲς οἱ λόγοι δὲ, φησὶν ὁ αὐτὸς Θεολόγος· καλὴ μὲν τῆς ῥητορικῆς ἡ θερμὴ δύναμις ἔν τε δημηγορίαις καὶ ψήφοις δικαστικαῖς, καὶ λόγοις ἐγκωμιαστικοῖς· καλὸν δὲ τῆς ἱστορίας ἡ διάνοια πεπληρωμένη, σύμμικτος γὰρ ἡ ἱστορία, σοφία πολλῶν, νοῦς ὑποθέσεων· οὐ μικρὸν δὲ τέχνη

γραμματικὴ καὶ μάλα γε μέγιστον, λεπτύνουσα τὸν νοῦν, καὶ τὴν βάρβαρον ἠχὴν ἐξελληνίζουσα, καὶ τῆς εὐγενοῦς γλώσσης καλλίστη βοηθὸς, καὶ τῆς λογικῆς τέχνης τὰ παλαίσματα, ὑφ' εἷς τὸ ἀληθὲς κρύπτεται, ὁ τετριμμένος δὲ λόγος περιφανέστατον ἔθηκεν· ὅσοι τοίνυν μὴ τούτοις τιμῶσι τοὺς παῖδας τοὺς ἰδίους, οὐδὲν ἄξιον τῆς εἰκόνος ἐπ' αὐτῶν διαπράττονται, καὶ τῆς φυσικῆς αὐτοὺς τοῦ λόγου διακοσμήσεως ἀλλοτριοῦσιν, οὐδὲν περισσὸν αὐτῶν νέμοντες τῶν προλεχθέντων θηρῶν, οὔτε τῶν ἐν αἰσθήσει καὶ φθορᾷ περιττὸν ἐννοούμενοι· τί δὲ τὸ κέρδος τῆς παιδεύσεως, αὐτὸς ὁ θεολόγος φησὶ· πρῶτον μὲν τὸ τῆς κτηνώδους ἀνοίας φυσικῶς καὶ ὡς πρέπον ἀνθρώποις ὑπερανέχειν· δεύτερον τὸ λεπταῖς μερίμναις τὰ βάθη τῆς σοφίας καταμανθάνειν, ὧν οἱ σοφοὶ κατεζήτησαν καὶ ταῖς βίβλοις συνέγραψαν· ὁ μὲν τούτου, τοῦ δὲ τίς, ἄλλος τῶν ἀερίων καὶ θαλασσίων τὴν φυσικὴν κατανοήσαντες καὶ ἐπιγείων, ἐπὶ τούτοις καὶ διερευνησάμενοι καὶ τῶν οὐρανίων, πρὸς δὲ τὸ ἄφραστον τοῦ μεγάλου θεοῦ δημιουργοῦ πῶς ἄγει καὶ ποῦ φέρει καὶ εἰς ὅ τι καταπαύει· τὸ δὲ πᾶν ὁ πολὺς ἐν τῇ διακοσμήσει κόσμος ἔχων ἐν ἑαυτῷ πλέον τί κεκρυμμένον, ὡς ἂν δὲ ταύτῃ διαπεράσειεν τῇ νοέτητι τῷ πνεύματι τῷ θειοτέρῳ παρέξειεν τὴν διάνοιαν, τὸ καλὸν ἀνιχνεύοντες καὶ ἐν φωτὶ τῆς γνώσεως διὰ παντὸς ὀθειπεροῦντες, καὶ τοῦ βίου κανόνα φέροντες ταῖς θείαις ἐπιπνοίαις, καὶ συνέμπορον ὁδηγὸν καὶ καλὸν βοηθὸν εὑράμενοι τὸν Χριστὸν, σὺν ἐλπίσιν ἐλαφραῖς ἐντεῦθεν κουφίζοιντο, τῆς καθαρᾶς δὲ τύχοιεν καὶ ἀτελευτήτου ζωῆς, μηκέτι δι' ἐσόπτρου ἐν αἰνίγματι βλέποντες, ἀλλὰ τρανῶς αὐτὴν κατοπτεύοντες τὴν ἀλήθειαν, ἧς ἀρχὴ καὶ τέλος τριὰς ἡ μονόσεπτος, εἷς θεὸς πατὴρ,

υἱὸς, καὶ τὸ ἅγιον πνεῦμα, ἓν φῶς τριλαμπὲς θεωρούμενον· τεσσεῦτον δὲ τῶν ὑπαιθύτων καθάπτεται Γρηγόριος ὁ πανάριστος τῶν πλούτῳ καὶ μάλιστα κομώντων, ὡς πιθήκοις αὐτοὺς καὶ ὄνοις παραβάλλων· φησὶ γὰρ· τίς χάρις ἐὼν πίθηκον ἔχοις ἀνθρωπόμορφον ὄβριν, χρυσοῖς σχοινίοις περιγραφθέντα τὸν τράχηλον; πῖα δὲ χάρις ὄνῳ χρυσοῦ τάλαντα βαστάζειν; ὁ γὰρ ὄνος καὶ πολύχρυσος ὢν ὀγκᾶται μένων· οὐδὲ γὰρ χάρις ἐστὶν ξίφει μελιβδίνῳ κρύπτειν κολεοῖς ἀργυρέοις, ἅ τινα μηδὲν ὄφελος τῷ πολέμῳ· πῶς τοίνυν ὁ πλούτῳ φυσώμενος ἄνθρωπος ἀπαίδευτος ὢν καὶ ἀνόητος, πίθηκος ἐστὶν κεχρυσωμένος· ὄνος δὲ πολύχρυσος ὀγκούμενος, καὶ ξίφος μελίβδινος ἐν ἀργυραῖς φυλαττόμενον θήκαις. Καλὸν δὲ καὶ πρὸς τέρψιν, τῶν ἐπῶν ἐπιλέξεως μνημονεῦσαι· φησὶν γάρ.

Τίς χάρις ἦν σὺ πίθηκον ἔχεις βροτοειδέα λώβην 173.
Χρυσείοισι βρόχοισι δέρην περιγυρωθέντα; 174.
Οὐ γὰρ κόσμος ἄρειψε γελοίιον εἶδος ἐλαφρόν. 175.
Τίς δὲ χάρις κανθῶνι φέρειν χρυσοῖο τάλαντα; 176.
Κανθὼν καὶ πολύχρυσος ἐὼν ὀγκηθμὸν ἀείδει. 177.
Οὐδὲ χάρις μελίβοιο τετυγμένα φάσγανα κεύθειν 178.
Ἀργυρέοις κολεοῖσι τὰ μὴ πολέμοισιν ὄνειαρ. 179.

Ἡ μὲν οὖν παίδευσις κόσμος ἐστὶ φυσικὸς τοῖς ἀνθρώποις, καὶ ἡ γνῶσις, τιμὴ καὶ δόξα, καὶ τοῦ κατ' εἰκόνα θεοῦ κάλλος εὐπρεπέστατον, βίος δὲ λαμπρὸς καὶ ἐνάρετος τῆς οὐρανίου πολιτείας χαρακτὴρ ἀψευδέστατος.

Αὐτὰρ ἐγὼ κέλομαί σε τὰ μὲν κάλλιστα πεθεῦντι 140. *
Ἔσπεσθαι καὶ χεῖρα φέρειν πάτερ· εἰ δὲ κακοῖσι * sic est ordo in cod.
Τερπόμην παίδων μετεὼν ἀπὸ τηλόθι βίψον 141.
Ὡς νόθον, εὐγενέος Ῥήνου κριθέντα ῥεέθροις, 142. 143.

144. Τὸν καθαρῶν ἀετῶν ψευδῆ γόνον ἀκτίνεσσιν.

Εἴρηται μὲν περὶ τοῦ Ῥήνου ποταμοῦ καὶ τῶν νόθων ἀετῶν ἐν τῇ βίβλῳ τῶν ἱστοριῶν· εἰρήσεται δὲ κἀνταῦθα· μᾶλλον γὰρ ἁρμόζει τῇ φυσιολογίᾳ· Ῥῆνος μὲν οὖν ποταμός ἐστιν, τοὺς νόθους παῖδας τῶν εὐγενῶν τοῖς ἰδίοις ῥεύμασι διακρίνων· ὁ δὲ ἀετὸς τοὺς τικτομένους νεοσσοὺς ταῖς ἀκτῖσι τοῦ ἡλίου δοκιμάζει, καὶ τοὺς μὲν γνησίους διατρέφει, πατρικῶς αὐτῶν καὶ κηδεμονικῶς προνοούμενος· ἐκρίπτει δὲ τοὺς νόθους καὶ τῆς καλιᾶς ἀποβάλλεται· τινὲς μὲν οὖν φασιν ὅτι σώφρων ἐστὶν τὸ καθόλου μὴ περνεύων, μηδὲ πρὸς τὸ συγγενὲς συναπτόμενος πλὴν τῆς συζύγου· πεῦ δὲ νόθον, μὴ μοιχείας ὑπούσης τοῖς ἀετοῖς; ἀλλὰ γὰρ καὶ τοῦτο φασίν, ἔστιν δὲ πειθανὸν τὸ λεγόμενον, ὅτι γύπες ἢ τινὰ τῶν ἄλλων ὀρνέων τοῖς ἑαυτῶν τέκνοις τὴν τῶν ἀετῶν εὐγένειαν μνηστευόμενοι, τῶν οἰκείων ὠῶν λάθρα τῇ καλιᾷ προσριπτουσιν τοῦ ἀετοῦ· συμβαίνει δὲ καὶ ἐπὶ τῶν ὀρνίθων τοῦτο γίνεσθαι· πολλάκις γὰρ χηνῶν καὶ περδίκων καὶ γυπῶν καὶ ἄλλων ὀρνέων ὑποτιθέασιν τῇ ὄρνῃ *, τοῖς οἰκείοις δὲ συμβαίνουσα ὠοῖς ἕκαστον ἐοικὸς ἐκβάλλει τῷ συγγενεῖ· τοῦτο μὲν οὖν ἀετοὶ πάσχουσιν ζηλοτυπούμενοι· ἔθεν τὸ νόθον ὁ πατὴρ ἀετὸς ταῖς ἀκτῖσι δοκιμάζει τοῦ ἡλίου καὶ τῆς ἰδίας ἀποβάλλεται καλιᾶς· πῶς δὲ, φησὶν ἀλλαχοῦ Γρηγόριος ὁ τρισάλβιος, οὐδ' ἀετοὶ τίκτουσι καὶ οὓς ῥίπτουσι νεοσσοὺς, δηλοῦντος τοῦ λόγου ὡς καὶ τῶν ἰδίων νεοσσῶν ἀπορρίπτουσι πολλάκις· καὶ ἀλλαχοῦ φησὶν ὁ αὐτὸς· τὸ δ' αἴτιον βολαῖς μὲν ἡλίου φασὶν κρίνειν νεοσσῶν ὄψιν ἀετὸς πανσόφως, ἐξ ὧν νόθον μὲν καὶ τὸ μὴ, γινώσκεται· καὶ τὸ μὲν ἐξέρριψε, τοῦ δ' ἔστι πατήρ· ὁ δ' αὐτὸς ἀετὸς καὶ τὸ γῆρας ἀποτίθεσθαι λέγεται, καὶ ἀνανεα-

Sie ergo retine p. 325.

ζειν, ὡς ὁ θεῖος Δαβὶδ, ἀνακαινίσθησεται ὡς ἀετοῦ ἡ νεότης σου.

Ὡς γὰρ ἐχιδναῖός γε γονὸς διὰ γαστέρα ῥήξει Ed. car. L.
Μητρὸς ἀναβρώσκων, πεινὴν πατρὸς οὐλομένοιο. 112. 113.

Πολλὰ μὲν τῶν ἐχιδνῶν εἰσὶ τὰ γένη καὶ πάνδεινα θανατηφόρου ἰοῦ μεμεστωμένα· ἔστιν δὲ γένος ἐν αὐτοῖς τοῖς ἑρπετοῖς ὅπερ μὴ πλέω τῶν δύο φασὶ γίνεσθαι· γίνονται δὲ ἄῤῥεν καὶ θῆλυ· ἐπειδὰν οὖν ὁ ἄῤῥεν ἔχις συνέλθῃ τῇ θηλείᾳ παραυτὰ θνήσκει, τὴν οἰκείαν μὲν αὐτὸς ἐν τῇ θηλείᾳ μελανίαν ἐναποτιθέμενος καὶ τῆς ἐν αὐτῆς μελανίας αὐτὸς προσλαβόμενος· οὕτω μὲν οὖν ἐξ αὐτῆς διόλλυται τῆς συνουσίας· ἡ δὲ συλλαβοῦσα δύο κατὰ γαστρὸς ἄρσεν καὶ θῆλυ διατρέφει, τρεφόμενα δὲ καὶ πρὸς τὸ φανερὸν ἐξιέναι μέλλοντα, τοῦ ὀλεθρίου πατρὸς αὐτῶν τιμωρίαν εἰσπράττουσιν τῇ συλλαβούσῃ, μὴ διὰ τῶν φυσικῶν ἐξιόντες μορίων, ἀλλὰ τὴν γαστέρα βιβρώσκοντες καὶ τὴν συλλαβοῦσαν διαφθείροντες εἰς τοὐμφανὲς διακύπτουσι· φησὶν οὖν ὁ θεῖος Γρηγόριος, ὅτι πᾶσα φύσις τοῖς τεκοῦσι χάριν φέρει τὴν πρέπουσαν· ὁ δὲ χάριν τοῖς γονεῦσι μὴ εἰδὼς ὅμοιός ἐστιν ταῖς μητροκτόνοις ἐχίδναις.

Εἰ δὲ σύ γ' ἀκρεμονέσσιν ὑφήμενος εἴαρος ὥρῃ, 244.
Τῆμος ὅτε πνοιαὶ γλυκερώτεραί εἰσι βροτοῖσιν, 245.
Ἢ πυρόεν βάλλοντος ὑπὲρ κρατὸς ἠελίοιο, 246.
Μύθοισιν μογέοις πυκίνην φρένα πᾶσαν ἐρείδων. 247.
Τέττιγες λαλεγεῦντες ἅμ' ὀρνίθεσσιν ἀοιδοῖς, 248.
Σὸν δέμας ἡδυθροοῖσιν ἀναψύχοιεν ἀοιδαῖς 249.
Ἐς δῆριν καλέοντες ἀοιδοσύνῃσιν ἑταίρων. 250.

Οἱ τέττιγες τοῦ ἡλίου μὲν φίλοι εἰσὶν, ἀείλαλοι δὲ μάλιστα θερμαίνοντος τοῦ ἡλίου· καὶ πᾶν ὄρνεον πολύλαλον

ἐστὶν ἐν τοῖς πλείοσιν· ἔχουσι μὲν οὖν τέττιγες καὶ τὰ ὄρνεα φυσικὸν ζῆλον πρὸς τοὺς μελετητικούς· ἐπειδὰν γάρ τις ὑπὸ τὸ ἄλσος τοῖς λόγοις προσομιλεῖν, τὰ μὲν ὄρνεα λιγυρὸν κελαδεῖ, τέττιγες δὲ λαλοῦντες ὅλον καταφωνοῦσι τὸ ἄλσος ταῖς ᾠδαῖς, εἰς ἔριν προσκαλούμενοι τὸν ἕταιρον, καὶ τὸ μοχθηρὸν σῶμα ταῖς ἡδυθρόοις ᾠδαῖς ἀναψύχοντες.

Ἐκ τοῦ ξε΄ λόγου.

carm. III. 79. 80. 81. 82.

Φασὶ ταὼ μεγάλαυχον ἐπὴν περίκυκλον ἐγείρῃ
Αὐχένα κυρτώσας χρύσεον ἀστέρεις,
Κλάζειν θηλυτέραις φιλοτήσιον· εἰ δὲ σὺ μορφὴν
Οὐ σφριγόωσι γράφεις ἄμμασι θαῦρα μ' ἔχει.

Πρὸς καλλωπιζομένας γυναῖκας ἤτοι ψιμυθιζομένας καὶ φοικαριζομένας τὸ τῶν ταῶν παράδειγμα παρεισάγει Γρηγόριος ὁ Θαυμάσιος· ὁ γὰρ ταὼς τὸν χρυσέον αὐχένα κυρτώσας, καὶ τὸν ἀστερωθῆ κύκλον ἐγείρας, φιλικὸν κλάζει τὸ θῆλυ πρὸς ἔρωτα προτρεπόμενος, τῷ φυσικῷ σεμνυνόμενος κάλλει· τοὐναντίον ὅπερ ποιοῦσιν αἱ ζωγραφούμεναι γυναῖκες· τοῦ γὰρ φυσικοῦ κάλλους ἀμοιροῦσαι, ψιμυθίοις καὶ φοικαρίοις καὶ τρίμμασι ζωγραφοῦνται χρωννύμεναι, καὶ τοὺς νέους τῇ τοιαύτῃ προκαλούμεναι θεωρίᾳ· τὸ γὰρ ἐπιτήδευμα, τῆς προαιρέσεως αὐτῶν γίνεται κατηγόρημα.

1 Lips. 158.

Ὡς θὴρ κερδαλέος τις ἐπιχήσειν ἴχνια βάλλων
Ὡς κεν θηρητῆρα καλοῦ πλάγξειε δολοῖσι.
Πέντος ἀνδρὸς οὐδὲν ἀσφαλέστερον.
Πρὸς τὸν θεὸν νένευκε, καὶ μόνον βλέπει.
Σὺ δ' ἀγκαλίζου· καὶ γὰρ αἰετὸς ὡς λόγος
Πολὺς καλιᾷ λεπτὸν ὄρνιν ἀμφέπει.

Ὁ τῶν πετεινῶν βασιλεὺς ἀετὸς πάντα μικρὸν ὄρνιν ὑπὸ τὴν αὐτοῦ καλιὰν οἰκοῦντα περίεπει, πᾶν βλαπτικὸν ἀπο-

τρέπων, αὐτοῦ τε βασιλικῶς πρεϊστάμενος καὶ κοδεμονικῶς ἀντεχόμενος, φυσικὴν ἔχων τὴν εἰς τὸ καταδεέστερον ἐπικουρίαν· φησὶν οὖν ὁ θεῖος Γρηγόριος ὅτι χρὴ τὸν εὐσθενέστερον τῷ ἀδυνάτῳ, καὶ τῷ πένητι τὸν πλούσιον ὀρέγειν χεῖρα, τὸν ἀετὸν αἰδουμένους φυσικῶς τῶν μετριωτέρων ἀντεχόμενον· εἰ γὰρ ἀνόητον ὄρνεον τοσοῦτον ἐκ φύσεως ἐπιδείκνυται, πόσον ὄφειλει πρὸς τὸ συγγενὲς νοερὸς ἄνθρωπος ἐπικλίνεσθαι;

Ἐκ τοῦ ρκϛ' λόγου.

Δίψας τίς ἐστι τῶν ἐχιδναίων γενῶν, Ed. Li
Τούτ' ὅσ' ἡ ἔρημος Αἰγύπτου φέρει. p. 239. f
Ταύτης τὸ τύμμα οἱονεὶ κλῆσις λέγει.
Τὸ θηρίον γὰρ τοῦ πάθους ἐπώνυμον,
Πίνων διόλλυθ', ὃς τὸν ἰὸν ἔσπασεν
Εὑρών τι ῥεῖθρον, χανδὸν ἐμπεσὼν ὅλος.

Πολλὰ μὲν καὶ διάφορα τῶν ἐχιδναίων γενῶν τὰ ἰοβόλα θηρία, πάντα δὲ θανατηφόρα· τούτων κατὰ τὴν ἔρημον Αἰγύπτου γένος ἐςὶν καλούμενον δίψας· τῆς γὰρ ἐνεργείας τὴν ἐπωνυμίαν φέρει, καὶ γὰρ ἐγχρίπτουσα τινὶ, δίψαν ἐμποιεῖ τοσαύτην ὡς μὴ δύνασθαι τοῦ δίψους κόρον λαβεῖν· ὁ δὲ τὸν ἰὸν ἐπασμένος δεινῶς τὰ ἐντὸς ὑποσμυχόμενος, ἔνθ' ἅπερ ὕδωρ εὕροι πίπτει χαίνων, ὅλον προθυμούμενος λαφύξαι τὸ ῥεῖθρον· τούτου δὲ τοῦ θηρίου καὶ Μωϋσῆς μέμνηται λέγων ἐν τῷ Δευτερονομίῳ· καὶ μνησθήσῃ κυρίου τοῦ θεοῦ σου τοῦ διαγαγόντος σε διὰ τῆς φοβερᾶς ἐρήμου, οὗ ὄφις δάκνων καὶ σκορπίος καὶ δίψα.

Ἐκ τοῦ ρκζ' λόγου.

Ἔστιν τίς ὄρνις σῆς φρενὸς σοφώτερος. * *Ed Li
Πόσον θεοῦ μὲν εἰς χεῖρας μόνον βλέπειν p. 241.

Τοῦ καὶ δίδοντος πατρικῶς αἰτουμένου.
Αἰσχρὸν δὲ μηδὲν τοῦ λαβεῖν δράσαι χάριν
Τὴν αἱμολάπτην βδέλλαν ἐκμιμουμένους.
Τὰ μὲν κρατοῦντα τοῖς ὃ ἐρείδοντα φρένα,
Τὰ δὲ βλέποντα οὐ καλοῖς ἐν ὄμμασιν,
Τὰ δὲ κτυποῦντα ταῖς ἐνείρων ἐλπίσιν,
Ἀεὶ πλέον πένητα τῷ πεπωκότι.

Βδέλλα ἐστὶν ἡ ἐν τοῖς ὕδασι γινομένη· αἱμολάπτης δὲ φύσει ἐστὶν, καὶ γὰρ οὖσα βραχυτάτη λίαν, σώματος ἐπιλαβομένη, ῥοφᾶτο αἷμα καὶ τὸν θύλακον ἀποτείνεται· τοῦ δὲ σώματος ἀποκρεμαμένη, τὸ μὲν ἀπερρόφησεν αἷμα, τὸ δὲ λάπτει, τὸ δὲ ἐλπίζει, κόρον οὐ λαμβάνουσα πώποτε· συγκρίνων δὲ τὸν κοσμικὸν βίον πρὸς τὸν ἐνάρετον, βδέλλῃ τοῦτον ἀπεικάζει· ὥσπερ γὰρ ἡ βδέλλα καθ' ὃν ἔφη μὲν τρόπον τῶν σωμάτων ἐπειλημμένη, δυσαπόσπαστός ἐστιν καὶ ἀκόρεστος, οὕτως ὁ κοσμικὸς βίος πρὸς τὰς τῆς σαρκὸς ἡδονὰς καὶ τὰς ἄλλας πλεονεξίας ἀκορέστως ἔχει, καὶ δυσαπόσπαστος πέφυκεν.

Τοιαῦτ' ἐν ἡμῖν ἰσχύειν τὸν βάσκανον;
Οὗτος σοφίζετ' εὐστόχοις πονηρίαις,
Ὅτ' ἂν δῆμον τιν' ἢ πόλιν πλῆξαι θέλῃ,
Ἡρὸς οἷς ἑκάστου πειρᾶται, καὶ σύντομον
Νόμον δίδωσι πονηρίας τὸν προστάτην.
Ἔπειτα χαλκὸς χρυσὸν ἠμφιεσμένος,
Ἢ καὶ χαμαιλέοντος ἔκστασις χρόας,
Πώγων, κατηφὲς ἦθος, αὐχένος κλάσις,
Φωνὴ βραχεῖα, πιστὸς ἐσκευασμένος,
Νωθρὸν βάδισμα, πάντα, πλὴν φρενὸς, σοφός.
Τὴν ὑπόκρισιν ὁ θεῖος Γρηγόριος χαμαιλέοντι παραβάλ-

Collii
. I.
42.

λιν· καὶ γὰρ ὁ χαμαιλέων, μικρὸν δὲ οὗτος ζῷων τῶν χρωσαίων, φύσιν ἔχει τὸ μεταβάλλεσθαι πολυτρόπως· πολλὰς οὖν χρόας ἐναλλάσσει ὁ χαμαιλέων, ὡσαύτως ὁ ὑπηρέτης πρὸς τὸ παρατυγχάνειν σχηματίζεται· γίνεται δὲ τοιοῦτος προεστὼς ἐξ ἐνεργείας τοῦ πονηροῦ· καὶ γὰρ τοιοῦτον εὑρὼν ὁ σατανᾶς εἰς βλάβην λαοῦ προβάλλεται συγχωροῦντος τοῦ Θεοῦ· λέγει δὲ καὶ τὸ ἦθος ὁ Θεολόγος τοῦ τοιούτου ὁποῖον εὑρίσκεται· ὁ μὲν πώγων εὐγενεῖος, κατηφὲς δὲ τὸ ἦθος, αὐχὴν ὑποκεκλιμένος, βραχεῖα φωνὴ καὶ λεπτή, νωθρὸν βάδισμα· πρὸς τούτοις οὗτος φησὶν ἐσκευασμένος πιστὸς καὶ χαλκὸς ἀνδριὰς ἄψυχος, χρυσῷ τὴν ἔξωθεν ἡμφιεσμένος ὄψιν· αὖθις δὲ περὶ τῶν τοιούτων, φησὶ, χαμαιλεόντων τὸν τρόπον μιμούμενοι, πολλὰς τιθέντες τοῖς λόγοις ἀεὶ χρόας.

Ταῦτ' εἶπον· οἱ δ' ἔκρωζον ἄλλος ἀλλόθεν,
Δῆμος κολοιῶν εἰς ἓν ἐσκευασμένος,
Τυρβηνέων τις καινὸν ἐργαστήριον,
Λαίλαψ κόνιν οὐρσῦσα, πνεύματων στάσις,
Οἷς οὐδ' ἂν ἠξίωσε τῶν τις ἐντελῶν
Φόβῳ τε θείῳ καὶ χρόνῳ δυῦναι λόγον,
Ἄτακτα παφλάζουσιν ἢ σφηκῶν δίκην
Ἄττουσιν εὐθὺ τῶν προσώπων ἀθρόως.

Οἱ κολοιοὶ γένος ὀρνέων εὐτελέστατον· οὗτοι περὶ τὴν γῆν ἀναστρεφόμενοι, χαμαιπετεῖς γὰρ εἰσὶ, φυσικὸν ἔχουσι τὸ κράζειν ἀτάκτως ἄλλοθεν ἄλλος· ὡσαύτως οἱ σφῆκες ἄττουσι θερμαινόμενοι καὶ περὶ τὰ πρόσωπα τῶν ἀνθρώπων ὁρμῶντες τοῖς πικροῖς ἐκθλίβουσι κέντροις· τούτοις δὲ τοῖς κολιοῖς καὶ τοῖς σφηξὶ τοὺς ἀσυνέτους καὶ ὄντως ἀπαιδεύτους παρεικάζει Γρηγόριος ὁ σοφώτατος· οἱ γὰρ ἀπαίδευ-

τοι τῆς συνετῆς ἐπιπηδῶσι, λόγοις ἀνοίας πλήττοντες αὐτοὺς, καὶ ἄλλοθεν ἄλλος ἀσυνέτως κράζοντες καὶ ἀτάκτως· ὡς τῆς ἐν Ἐφέσῳ καταδρομῆς τῷ Παύλῳ μέμνηται Λουκᾶς ὧδε φάσκων· ἄλλος μὲν οὖν ἄλλο τί ἐπεβόα· ἦν γὰρ ἡ ἐκκλησία συνκεχυμένη· ὡσαύτως ἐπὶ τῶν ἀναβαθμῶν τοῦτο πάσχει Παῦλος ὁ πανάγιος· τὴν δὲ ταυτὴν ἄνοιαν κολιοῖς παραβάλλει Γρηγόριος ὁ Θαυμάσιος, καὶ σφηξὶ τῆς ἀκρίτως βομβοῦσιν ἀμφὶ τῶν ἀνθρώπων τὰ πρόσωπα θερμαινομένοις.

ΤΩΝ ΤΩ ΘΕΟΛΟΓΩ ΓΡΗΓΟΡΙΩ ΠΕΦΥΣΙΟΛΟΓΗΜΕΝΩΝ

ΩΔΕ ΤΟ ΠΕΡΑΣ.

ΚΟΣΜΑ ΑΧΡΕΙΟΥ ΚΑΙ ΤΟΥΤΟ ΠΟΝΗΜΑ

ΙΕΡΟΣΟΛΥΜΙΤΟΥ.

Sequitur amanuensis clausula haec.

Τριὰς μονὰς τρίφωτε πανσθενεστάτη,
Ἡ τρεῖς φέρουσα τὰς ὑποστάσεις μόνη,
Τὴν οὐσίαν μίαν δὲ προσκυνουμένη,
Ὡς ἡλίου φέροντος ἀκτῖνα τρίτην,
Ἓν καὶ κράτος γὰρ καὶ σθένος θέλημά τε
Ἓν, οἴδαμεν σέβεσθαι σὰς ἐξουσίας,
Σὺ τὸν πόθῳ γράψαντα τήνδε τὴν βίβλον
Κωνσταντῖνον σάωσον ἐκ πάσης βλάβης.

ΙΝΔΙΞ ΚΕΦΑΛΑΙΩΔΗΣ ΙΣΤΟΡΙΩΝ

ΩΝ ΕΝ ΤΩ ΒΙΒΛΩ ΤΩΝ ΚΡΙΤΩΝ

Ο ΘΕΙΟΣ ΕΜΝΗΣΘΗ ΓΡΗΓΟΡΙΟΣ

ΤΩΝ ΤΕ ΕΚ ΤΗΣ ΘΕΟΠΝΕΥΣΤΟΥ ΓΡΑΦΗΣ

ΚΑΙ ΤΩΝ ΕΞΩΘΕΝ ΕΝ ΕΚΑΣΤΩ ΛΟΓΩ.

ΛΟΓΟΣ Α.

Περὶ τοῦ Ἀμαλὴκ, ἐν ᾧ περὶ Μωϋσέως, Ἀαρὼν, Ὤρ, καὶ Ἰησοῦ τοῦ Ναυὴ pag. 8.

περὶ Δανιὴλ καὶ τῶν λεόντων p. 9.

περὶ Ἰωνὰ καὶ τοῦ κήτους p.

περὶ τῶν τριῶν παίδων καὶ τῆς καμίνου p. 10.

περὶ τῶν μαθητῶν, καὶ τῆς ἐν θαλάσσῃ τοῦ σωτῆρος πεζοπορίας p. 10.

περὶ τῶν ἐν διαφόροις πάθεσιν ὑπὸ Χριστοῦ θεραπευθέντων p. 11.

περὶ Ἀδράστου καὶ Μενελάου p. 11.

περὶ Φαραὼ καὶ τῆς Αἰγύπτου καὶ τῶν σκληρῶν ἔργων p. 11.

περὶ Βαβυλῶνος καὶ τῆς ἐκεῖ γῆς p. 12.

περὶ τοῦ ναοῦ τοῦ θείου καὶ τῆς ἀφέσεως τοῦ λαοῦ p. 12.

περὶ τοῦ τοῖς λῃσταῖς περιπεσόντος p. 13.

περὶ φαρισαίου καὶ τοῦ τελώνου p. 13.

περὶ Σαμουὴλ καὶ τῆς μητρὸς αὐτοῦ Ἄννας p. 14.

περὶ Ἠλεὶ τοῦ ἱερέως καὶ τῶν υἱῶν αὐτοῦ p. 14.

περὶ τῆς θυσίας Ἀβραὰμ p. 15.

περὶ Λὼτ καὶ Σοδόμων p. 16.

περὶ Λαζάρου καὶ τοῦ πλουσίου p. 18.

περὶ τῆς αἱμορῤῥούσης p. 19.

περὶ τοῦ λεγεῶνος καὶ τῶν χοίρων p. 19.

περὶ τοῦ λεπροῦ p. 20.

περὶ τοῦ τυφλοῦ Βαρτιμαίου p. 20.

περὶ τοῦ κωφεύοντος p. 21.

περὶ τοῦ ξηρὰν ἔχοντος χεῖρα p. 20.

περὶ τοῦ παραλύτου p. 21.

περὶ τῶν ε΄ ἄρτων καὶ τῶν β΄ ἰχθύων p. 21.

περὶ τῆς τοῦ σάλου γαλήνης p. 21.

περὶ τῆς μεταμορφώσεως p. 21.

περὶ τοῦ παραλελυμένου p. 22.

περὶ Λαζάρου τοῦ τετραημέρου p. 22.

περὶ τῆς συκῆς p. 23.

περὶ παραδείγματος Ἀμὼς τοῦ περὶ λέοντος, ἄρκου, ὄφεως p. 23.

Λόγος β.

Προοίμιον περὶ τριάδος καὶ ἀγγέλων καὶ τῆς τοῦ κόσμου δημιουργίας p. 24.

περὶ τοῦ κατακλυσμοῦ καὶ τῆς πυργοποιΐας καὶ Σοδόμων p. 24.
περὶ Ἀδὰμ καὶ Εὔας καὶ παραδείσου καὶ ἀπάτης p. 26.
περὶ Ἐνὼχ καὶ Νῶε p. 27.
περὶ Ἀβραὰμ τοῦ πατριάρχου p. 27.
περὶ τοῦ ζήλου Μωϋσέως καὶ τῆς ἐξ Αἰγύπτου φυγῆς καὶ ἐπανόδου p. 27.
περὶ Ἀαρὼν τοῦ ἱερέως p. 31.
περὶ Ἰησοῦ τοῦ Ναυῆ p. 31.
περὶ Σαμουὴλ καὶ κριτῶν p. 31.
περὶ Δαβίδ p. 32.
περὶ τῆς φιλοσοφίας Σολομῶντος p. 32.
περὶ Ἠλιοῦ τοῦ Θεσβίτου p. 32.
περὶ Ἰωάννου τοῦ προδρόμου p. 33.
περὶ τῶν ιβ΄ μαθητῶν p. 34.
περὶ τοῦ ζήλου Παύλου καὶ τῆς κλήσεως p. 34.
περὶ τῆς θείας ἐμπνεύσεως ἐν τῷ ἀνθρώπῳ καὶ τοῦ κατ᾽ εἰκόνα p. 35.
περὶ τῆς τοῦ λόγου ἐκ πατρὸς ἀῤῥήτου καὶ ἀχρόνου γεννήσεως p. 35.
περὶ τῶν ἐν νόμῳ τοκετῶν καὶ καθαρσίων p. 35.
περὶ καθαρῶν σωμάτων τῶν ἱερέων p. 35.
περὶ τῆς Ζαχαρίου τοῦ πατρὸς Ἰωάννου καθαρσεως p. 35.
περὶ ἀχράντου Θεοτόκου καὶ τῆς ἀφθόρου Χριστοῦ κυήσεως p. 35.
περὶ τῶν Ἡρακλέους ἀγώνων p. 37.
περὶ τῆς Ἑλλήνων ἀπάτης καὶ ματαίας σοφίας p. 38.
περὶ τῆς Ἀδὰμ παραβάσεως καὶ τῆς καταδίκης p. 38.
περὶ τῆς πονηρίας Καΐν καὶ τῶν Σοδομιτῶν, καὶ τῶν ἐπὶ τῆς πυργοποιΐας, καὶ ὧν ὁ κατακλυσμὸς ἔσβεσεν p. 38.
περὶ τῆς πονηρίας Φαραὼ p. 39.
περὶ τοῦ θράσους Ἀχαὰβ καὶ Ἰεζάβελ καὶ Ἀσσυρίων p. 40
περὶ Ἡρῴδου τοῦ τετράρχου καὶ Ἡρῳδιάδος καὶ τῆς ἀναιρέσεως Ἰωάννου p. 41.
περὶ Ἡρῴδου τοῦ παιδοκτόνου p. 42.
περὶ Ἄννα καὶ Καϊάφα καὶ τῶν φονέων Χριστοῦ p. 42.
περὶ τῶν ῥωμαίων καὶ ἑβραίων διωκτῶν βασιλέων p. 42.
περὶ τοῦ βδελυρωτάτου Ἰουλιανοῦ p. 43.
περὶ τῆς θεολογίας Πέτρου p. 44.
περὶ τῆς δυνάμεως Παύλου p. 45.
περὶ Καΐν καὶ Ἄβελ p. 46.
περὶ Ἠσαῦ καὶ Ἰακὼβ p. 46.
περὶ τῆς ἀπάτης Σολομῶντος p. 48.
περὶ τῆς πτώσεως τοῦ διαβόλου p. 49.
περὶ τῆς ἀπωλείας Ἰούδα Ἰσκαριώτου p. 49.

Λόγος γ.

Περὶ Σοδόμων καὶ Σηγὼρ καὶ τῆς ἐν τῷ ὄρει τοῦ Λὼτ ἀναβάσεως p. 50.
περὶ τῆς πηγῆς Μερρᾶς p. 50.
περὶ Γλαύκου καὶ Διομήδους p. 51.
περὶ τῆς Ἀλκινόου τραπέζης καὶ Ὀδυσσέως p. 52.
περὶ τῶν φυλλων τῆς συκῆς, ὧν οἱ πρωτόπλαστοι περιεβάλοντο p. 52.

περὶ τοῦ παρεμβύμενου τῷ πλουσίῳ Λαζάρου p. 52.
περὶ Ἰωνᾶβ p. 52.
περὶ τοῦ λαοῦ Ἰσραὴλ, καὶ τῆς ὁδηγούσης νεφέλης, καὶ τοῦ πυρίνου στύλου p. 53.
περὶ τῆς ἐρυθρᾶς θαλάσσης καὶ τῆς οὐρανίου τροφῆς p. 53.
περὶ τῆς βλυσάσης ὕδωρ πέτρας p. 53.
περὶ τῆς ἀποστροφῆς τοῦ Ἰορδάνου p. 54.
περὶ τῆς στάσεως τοῦ ἡλίου καὶ τῆς σελήνης p. 54.
περὶ τῶν σταυροτύπων χειρῶν Μωϋσέως p. 54.
περὶ τῶν ἐπισχεθέντων λεόντων p. 55.
περὶ τῆς τροφῆς Ἠλιοῦ καὶ κοράκων ὑπηρεσίας, καὶ τῆς σαραφθίας χήρας p. 55.
περὶ τῆς ἀποχῆς τῶν βασιλικῶν ἐδεσμάτων, καὶ τῆς ἐγκρατείας Δανιὴλ καὶ τῶν γ' παίδων p. 56.
περὶ Δανιὴλ καὶ Ἀμβακούμ p. 56.
περὶ Ἰωνᾶ τοῦ προφήτου p. 57.
περὶ τῆς Ἰωάννου τροφῆς p. 57.
περὶ Θέκλης, καὶ τοῦ πυρὸς, καὶ τῶν θηρῶν p. 57.
περὶ Σωσάννης καὶ Δανιὴλ καὶ τῶν ἀδίκων πρεσβυτέρων p. 57.
περὶ ἀλλοιώσεως Παύλου p. 59.
περὶ τῆς ἐν τρίτῳ οὐρανῷ ἁρπαγῆς p. 60.
περὶ τοῦ πειρασμοῦ Ἰησοῦ p. 61.
περὶ τῶν ἐν τοῖς θείοις εὐαγγελίοις παραβολῶν p. 61.
περὶ Ὀφνεὶ καὶ Φινεὲς τῶν υἱῶν Ἠλεὶ p. 61.
περὶ Ἱεροσολύμων καὶ Σαμαρείας p. 61.
περὶ Ἀνανίου καὶ Σαπφείρας τῶν κλιπτῶν p. 61.
περὶ Ἀχὰρ υἱοῦ Χαρμὶ τοῦ κλίπτου p. 63.
περὶ Ἡρακλείου καὶ Θεοδάμαντος καὶ τῶν Δρυόπων p. 64.
περὶ τῶν συναφθέντων ἀγγέλων ταῖς γυναιξὶν p. 65.
περὶ τῆς Ἑλλήνων πλάνης καὶ τῶν ἐμπαθῶν θεῶν p. 65.
περὶ Ἑρμοῦ τοῦ κερδώου καὶ κλίπτου καὶ δολακρίωνος p. 66.
περὶ Διονύσου τοῦ ἀνδρογύνου p. 66.
περὶ Ἄρεος τοῦ μοιχοῦ καὶ τῶν Ἡφαίστου παγίδων p. 66.
περὶ Διὸς τοῦ πατραλῴου p. 67.
περὶ Κρόνου τοῦ μισοτέκνου p. 67.
περὶ Εὐρώπης, καὶ τῆς εἰς ταῦρον τοῦ Διὸς μεταβολῆς p. 68.
περὶ Δανάης, καὶ τῆς εἰς χρυσὸν τοῦ Διὸς μεταβολῆς p. 68.
περὶ Λήδας, καὶ τῆς εἰς κύκνον τοῦ Διὸς μεταβολῆς p. 68
περὶ Ὀλυμπιάδος, καὶ τῆς εἰς ὄφιν τοῦ Διὸς μεταβολῆς p. 68.
περὶ Σεμέλης, καὶ τῆς εἰς ἄνθρωπον τοῦ Διὸς μεταβολῆς καὶ τοῦ κεραυνοῦ p. 68.
περὶ Γανυμήδους, καὶ τῆς εἰς ἀετὸν τοῦ Διὸς μεταβολῆς p. 68.
περὶ τῆς αἱμορῥοούσης ἐν σχήματι εὐχῆς p. 69.
περὶ τῶν εὐαγγελικῶν παραβολῶν, deest.

Λόγ. δ. ε.

Περὶ τοῦ πένθους Ἰακὼβ εἰς τὸν Ἰωσήφ p. 69.
περὶ τοῦ πένθους Ἰωσὴφ εἰς τὸν πατέρα p. 70.

περὶ τοῦ πένθους Ἀβραὰμ εἰς Σάῤῥαν p. 70.
περὶ τοῦ πένθους Ἱερεμίου τοῦ προφήτου p. 70.
περὶ τῆς νόσου Ἰὼβ p. 71.
περὶ τῆς τῶν πρωτοπλάστων ἀπάτης καὶ τοῦ ὄφεως p. 71.
περὶ τοῦ λεγεῶνος p 71.
περὶ τοῦ φυσικοῦ νομου p. 71.
περὶ τοῦ γραπτοῦ νόμου καὶ τοῦ πνευματικοῦ p. 71.

Λόγος ς.

Περὶ Ἰὼβ τοῦ δικαίου p. 71.
περὶ τριῶν τελωνῶν p. 73.
περὶ τριῶν παραλύτων p. 73.
περὶ τῶν γ' νεκρῶν ἐν εὐαγγελίοις p. 74.

Λόγος ζ.

Περὶ Ἰωνᾶ καὶ τοῦ κήτους p. 75.
περὶ Πριάμου, Ἀχιλλέως, Ἕκτορος καὶ τοῦ τρωϊκοῦ πολέμου p. 75.
περὶ τῶν γενεθλίων καὶ εὐωχιῶν Ἑλλήνων p 76.
περὶ συνόδων γεράνων καὶ χηνῶν p. 77.
περὶ κερκώπων τῶν δολίων, καὶ περὶ Πασσάλου καὶ Ἀκλήμονος τῶν λῃστῶν p. 78.

Λόγος η.

Περὶ Ἀχιλλέως, Αἴαντος, Διομήδους, Ἕκτορος, Ἡρακλέους p. 78.

Λόγος θ.

Περὶ Ἰὼβ καὶ τῶν πειρασμῶν p. 79.

Λόγος ι.

Περὶ τῆς μελλούσης ἀνταποδόσεως, καὶ τῶν ἀποκειμένων τοῖς ἁμαρτωλοῖς κολασεων p. 80.

Λόγος ια.

Περὶ Βηθλεέμ p. 81.
περὶ τῆς ἀποικίας Ἱερουσαλήμ, deest.
περὶ τῆς αἰχμαλωσίας κιβωτοῦ, deest.
περὶ τῆς κλοπῆς τοῦ Ἰωσήφ, deest.

Λόγος ιβ.

Περὶ τῆς Ἀδὰμ ἀπάτης, deest.
περὶ τῶν τεταγμένων τοῖς ἀκουσίως φονεύουσι φυγαδευτηρίων πόλεων, deest.
περὶ τοῦ μάννα, deest.
περὶ τοῦ εἰ καὶ Σαοὺλ ἐν προφήταις, deest.
περὶ Μωϋσέως καὶ ἑστηκότων ὑπὸ τὸ ὄρος p. 81.
περὶ τοῦ ἐμπυρισμοῦ τῶν υἱῶν Ἀαρών p. 82.
περὶ τοῦ οἰκτροῦ τέλους Ἠλεὶ καὶ τῶν υἱῶν αὐτοῦ p. 82.
περὶ Ὀζᾶ καὶ τῆς κιβωτοῦ p. 83.
περὶ τῶν ἐρεισμάτων τοῦ ναοῦ p. 83.
περὶ τῆς κιβωτοῦ καὶ τῆς μωρίας τῶν ἀλλοφύλων ἐν ταῖς ἑόραις, καὶ τῆς τιμῆς τῆς βασάνου p. 84.
περὶ τῶν ἀποστόλων καὶ Ἰούδα p. 85.
περὶ Ἱεροσολύμων καὶ Σαμαρείας p. 85.
περὶ τῶν Μωαβιτῶν, καὶ Ἀμμανιτῶν, καὶ Βαλαὰκ καὶ Βαλαὰμ καὶ τῆς πορνείας τοῦ λαοῦ, καὶ τῶν Συγατερων Λὼτ p. 85.
περὶ τῶν Γαβαωνιτῶν p. 87.
περὶ τῶν Λευιτων p. 88.
περὶ τῆς Νῶε κιβωτοῦ p. 89.

περὶ τοῦ σοδομιτικοῦ πυρὸς καὶ τῆς τούτου φυγῆς p. 89.

Λόγος ιγ.

Περὶ τῆς Ἄρεως θρασυττητος καὶ τῆς τούτου τρώσεως p. 89.

περὶ Λήθης καὶ τῆς Ἑλλήνων τερατολογίας p. 90.

Λόγος ιδ.

Περὶ τῆς πικρᾶς βρώσεως καὶ τιμωρίας p. 91.

περὶ τοῦ καταψύχοντος πυρός p. 91.

περὶ τῆς θείας εἰκόνος p. 91.

περὶ τοῦ θείου πλάσματος, καὶ τοῦ παραδείσου, καὶ τῆς ἐντολῆς p. 92.

περὶ τοῦ κατακλυσμοῦ p. 92.

περὶ τοῦ σοδομιτικοῦ πυρός p 92.

περὶ τοῦ νόμου p. 92.

περὶ τῆς τοῦ Χριστοῦ παρουσίας p. 92.

περὶ Ταρτάρου, καὶ Πυριφλεγέθοντος, καὶ Κωκυτοῦ, καὶ Ἀχέροντος p. 92.

Λόγος ιε.

Περὶ Ἡρακλείτου καὶ Δημοκρίτου p. 93.

περὶ κλαυθμοῦ καὶ γέλωτος p. 93.

περὶ Τρωῶν, καὶ Ἑλλήνων, καὶ Ἑλένης, καὶ τοῦ πολέμου p. 93.

περὶ τῆς τοῦ χοίρου κεφαλῆς καὶ τριχῶν, καὶ Κουρήτων, καὶ Αἰτωλῶν, καὶ Μελεάγρου p. 94.

περὶ Ἀχιλλέως καὶ Αἴαντος τῶν αἰακίδων καὶ τῆς αὐτῶν ἀναιρέσεως p. 95.

περὶ Ἡρακλέους καὶ Νέσσου καὶ τοῦ σαρκοφάγου ἱματίου, καὶ αὐτοῦ ἀναιρέσεως p. 96.

περὶ Κροίσου τοῦ λυδίου καὶ τοῦ Ἀδράστου καὶ τοῦ χρησμοῦ καὶ τοῦ τέλους αὐτοῦ p. 97.

περὶ Κύρου τοῦ πρώτου, καὶ Ἀρταξέρξου, καὶ τῆς ἀναιρέσεως Κύρου p. 99.

περὶ Ἀλεξάνδρου τοῦ μακεδόνος καὶ τοῦ τέλους αὐτοῦ p. 100.

περὶ Ἀγαμέμνονος βασιλέως, καὶ Ἴρου τοῦ πτωχοῦ p. 100.

περὶ Κωνσταντίνου τοῦ ῥωμαίων μεγάλου βασιλέως p. 101.

περὶ τῆς μελλούσης ἀνταποδόσεως p. 101.

περὶ τῆς βρώσεως τοῦ ξύλου, καὶ ἀπάτης Ἀδάμ p. 102.

περὶ τῆς Σολόμωντος ἀπάτης p. 102.

περὶ τῆς ἐκπτώσεως Ἰούδα p. 102.

Λόγ. ις. ιζ.

Περὶ Ῥαὰβ τῆς πόρνης, καὶ των κατασκόπων p. 102.

περὶ τοῦ τελώνου καὶ τοῦ φαρισαίου p. 103.

Λόγ. ιη. ιθ.

Περὶ Ἀδάμ καὶ τῆς ἀπάτης p. 103.

περὶ αἱμορροούσης p. 103.

περὶ τῆς μετανοίας Ἀδάμ p. 103.

περὶ τῆς μετανοίας Μανασσῆ p. 104.

περὶ τῆς μετανοίας Δαβὶδ, καὶ περὶ Οὐρίου p. 104.

περὶ τῆς μετανοίας τῶν Νινευιτῶν p. 106.

περὶ τῆς μετανοίας τοῦ ἀσώτου p. 106.

περὶ τῆς μετανοίας τοῦ τελώνου p. 107.

περὶ τοῦ πλανηθέντος προβάτου p. 107.

περὶ τῶν ι' λεπρῶν p. 107.
περὶ τῶν πολυτρόπως ὑπὸ Χριστοῦ ἰαθέντων p. 108.
περὶ τοῦ κλύδωνος τῆς θαλάσσης καὶ τῆς τῶν μαθητῶν σωτηρίας p. 108.

Λόγος κ.

Περὶ τῆς Ἀδὰμ βρώσεως καὶ τῆς ἀπάτης τοῦ ὄφεως p.

Λόγ. κα. κβ. κγ. κδ. κϛ. κζ. κη. κθ. λ. λα. λβ. λγ. λδ. λϛ. λζ. λη. λθ. μ. μα. μβ.

Πάντες οἱ παρόντες λόγοι ἱστορικοὶ μέν εἰσι· τοὺς γὰρ μαθητὰς καὶ πατριάρχας, καὶ μάστιγας Αἰγυπτίων, καὶ τὰς ἐνδιαθέτους βίβλους, καὶ τὸν νόμον, καὶ τὰ θεῖα εὐαγγέλια, καὶ τὰς παραβολὰς περιέχουσιν ἐν τάξει μεταφράσεως, καὶ τὰς ὑπὸ θεοῦ πρώην καὶ ὕστερον τῷ Ἰσραὴλ ἐπαχθείσας εὐεργεσίας p. 108–116.

Λόγος μγ.

Περὶ τῆς Τροίης, καὶ τῆς κατὰ τοὺς Φαίακας μολπῆς, καὶ Ὀδυσσέως p. 116.
περὶ τῆς τοῦ συὸς κεφαλῆς, καὶ Ἡρακλέους p. 117.
περὶ τῶν υἱῶν Ἀαρων p. 117.
περὶ Ὀζᾶ καὶ τῆς κιβωτοῦ p. 117.

Λογος μδ.

Περὶ Πολυκράτους τοῦ σαμίου καὶ τοῦ φιβλίου p. 117.

Λόγ. με. μϛ.

Περὶ Πρωτέως καὶ Μελάμποδος p. 118.
περὶ τῶν ὑπὸ Χριστοῦ σωθέντων p. 119.
περὶ τῆς ἀπάτης Ἀδάμ p. 119.

Λόγος μζ.

περὶ τῶν θαυμάτων τῶν διὰ Μωσέως ἐν σχήματι εὐχῆς p. 120.

Λόγος μη.

Περὶ τῆς ἐν τῇ θείᾳ νομοθεσίᾳ παραφυλακῆς p. 121.

Λόγος μθ.

Ὅτι θεὸς καὶ ἄνθρωπος ὁ Χριστὸς, ὅτι Δαβὶδ υἱὸς καὶ πλάστης Ἀδάμ p. 122.
περὶ τῆς ἀπογραφῆς Καίσαρος, καὶ τῆς φάτνης p. 123.
περὶ τῶν μάγων, καὶ τοῦ ἀστέρος p. 123.
περὶ τοῦ πειρασμοῦ τοῦ Ἰησοῦ καὶ τῆς νίκης p. 123.
περὶ τοῦ ἐσθίειν καὶ τρέφειν θαυμαστῶς μυριάδας p. 124.
περὶ τοῦ ἐν Κανᾷ τῆς Γαλιλαίας θαύματος p. 124.
περὶ τοῦ βαπτίσματος p. 124.
περὶ τοῦ ὕπνου Ἰησοῦ ἐν τῷ πλοίῳ, καὶ τοῦ σάλου p. 124.
περὶ τοῦ κεκμηκέναι ἐκ τῆς ὁδοιπορίας καὶ περὶ τῆς σαμαρείτιδος p. 124.
περὶ τῆς προσευχῆς Ἰησοῦ p. 124.
ὅτι θῦμα ὁ Χριστὸς καὶ ἀρχιερεὺς ἄνθρωπος τὲ καὶ θεὸς σωτὴρ ὁ αὐτός p. 125.

Λογος ν.

Περὶ τῶν πυρίνων γλωσσῶν καὶ τοῦ ἁγίου πνεύματος p. 125.
περὶ τῆς γεννήσεως Εὔας καὶ Σηθ ἐξ Ἀδάμ p. 125.

Λόγος να.

Περὶ τῆς τοῦ κόσμου δημιουργίας p. 126.

Λόγος νβ.

Περὶ τῆς Ἑλλήνων δοξης, καὶ πε-

ρι ἀστρων καὶ ἀπιλανητικῶν p. 126.
περὶ ἀστρων κινησεως, καὶ των ἀνατελλοντων ἄστρων, καὶ Ὠριωνις, καὶ των ἄλλων ὀνομασιων, καὶ τῶν εὑρετῶν τῆς ἀστρολογίας p. 127.
περὶ τοῦ ἀστερος Χριστοῦ p. 132.

Λόγος νγ.

Περὶ τῶν λογικῶν φύσεων ἐξηγηματικός p. 133.

Λόγος νδ.

Περὶ Ἰξίονος p.
Λόγοι νε. νς. ἐξηγηματικοί p. 133.

Λόγος νζ.

Περὶ τῆς χρίσεως τοῦ αἵματος καὶ περὶ βαπτίσματος p. 134.

Λόγος νη.

Περὶ τοῦ μελαίνειν τὸν χάρτην, καὶ περὶ Ἰστιαίου καὶ Ἀριστογόρα, καὶ περὶ Ἀπολιναρίου τῶν ἐπῶν p. 135.

Λόγος νθ.

Περὶ τῆς θυσίας Ἀβραάμ p. 138.
περὶ τῆς κλίμακος Ἰακὼβ p. 138.
περὶ τῶν μυροφόρων καὶ τῶν παρθένων p. 139.
περὶ εὐλαβῶν καὶ ὁσίων γυναικῶν p. 140.
περὶ τοῖς Λυδίοις ἐπικλύσαντος χρυσὸν ποταμοῦ, καὶ τῶν χρυσοφόρων μυρμήκων p. 141.
περὶ τοῦ φόρου καὶ τοῦ τελέσματος Ἰησοῦ καὶ Πέτρου p. 141.

Λόγος ξ.

Περὶ Ἠλιοῦ τοῦ προφήτου p 142.
περὶ Νῶε p 142.
περὶ Ἐλισσαίου p. 193.
περὶ Ἰησοῦ, Γεδεὼν, Σαμψών, Βαράκ, Δεβόῤῥας, Δαβίδ p. 143.
περὶ Λαζάρου καὶ τοῦ πλουσίου p 145
περὶ τοῦ βαπτισθῆναι Χριστον p. 145.

Λόγος ξα.

Περὶ Ἀχιλλίως, Αἴαντος, Μελεάγρου p. 145.
περὶ των Σπαρτιατῶν καὶ τῆς λογχης p. 145.
περὶ Πέλοπος καὶ τοῦ ἐλεφαντίνου ὤμου p 146.
περὶ σκήπτρου τοῦ παρὰ πατέρων εἰς παῖδας ὁδεύοντος p. 146.
περὶ Κέκροπος καὶ τῶν Ἀθηναίων καὶ τοῦ τέττιγος p. 146.
περὶ τοῦ Ῥήνου ποταμοῦ, καὶ Κυνοσάργες καὶ τῶν ἀετῶν p. 147.

Λόγος ξβ.

Περὶ Αἰνείου καὶ Ἀγχίσου, καὶ Αἴτνης, καὶ πατρὸς καὶ παιδὸς εὐλαβοῦς p. 148.
περὶ τῆς Ὀρφέως κιθάρας p. 149.
περὶ τῆς Ἀμφίονος λύρας p. 150.
περὶ τοῦ πομποῦ Ἑρμοῦ, καὶ Ὀδυσσέως, καὶ Κίρκης, καὶ τῶν χοίρων p. 150.
περὶ τοῦ κεράσματος, Πολυδάμνας, καὶ Ἑλένης p. 150.
περὶ Ὀδυσσέως τοῦ ναυηγοῦ καὶ τῆς βασιλίσσης ᾗ διελέχθη p. 152.
περὶ τοῦ κιθαρῳδοῦ Ἀρείωνος καὶ δελφῖνος p. 153.
περὶ τοῦ πισαίου ἀγῶνος, deest.
περὶ Γαδείρων καὶ τῶν Ἡρακλέους στηλῶν, deest.

Λόγος ξγ.

Περὶ Πολυκράτους τοῦ σαμίου καὶ τοῦ τέλους αὐτοῦ, deest.
περὶ τῆς ἐπ' εἰδώλῳ ἁλωμένης τῇ

πηγῆ, καὶ περὶ Μαρσύα καὶ τῶν αὐλῶν, deest.
περὶ Ἀγαύης τῆς τεκνοκτόνου, deest.
περὶ Μηδείας τῆς πικρᾶς καὶ παιδοφόνου, deest.
περὶ Ἀχαιώνος τοῦ θηρευτοῦ, deest.
περὶ ἀσώτου υἱοῦ, deest.
περὶ τοῦ πλανηθέντος προβάτου, deest.
περὶ Μανασσῆ τοῦ βασιλέως, deest.
περὶ τῆς Νινευή, deest.
περὶ τοῦ τελώνου, deest.
περὶ Λαζάρου καὶ τοῦ πλουσίου, deest.
περὶ Χείρωνος τοῦ ἱπποκενταύρου καὶ Ἀχιλλέως, deest.
περὶ Πάνοπος καὶ Πριάμου, καὶ τῶν μνηστήρων Πηνελόπης, deest.
περὶ τῶν ἐννέα μουσῶν, deest.
περὶ τῶν ὀδρυτίων σκοπέλων, καὶ Ὀρφέως, deest.
περὶ Σοδόμων καὶ Σηγὼρ τοῦ ὄρους, deest.
περὶ τοῦ Ὀρφέως καὶ τῆς ἀπάτης, deest.
περὶ Δαβὶδ, καὶ Ἀβεσσαλὼμ, καὶ Σαοὺλ, καὶ Ἰωνάθαν, καὶ τῆς ἐγγαστριμύθου, καὶ τοῦ ἀμαληκίτου, καὶ τοῦ Ἰεβοσθὲ p. 154.
περὶ Διὸς καὶ Κρόνου p. 155.
περὶ δόλου τῶν υἱῶν Ἰακὼβ, καὶ περὶ τοῦ Ἰωσὴφ p. 156.
περὶ Ῥουβεὶμ, καὶ Βάλλας, καὶ Ἀβεσσαλὼμ p. 156.
περὶ τοῦ ἀμητοῦ Ἰωὰβ οὗ ἐνέπρησεν Ἀβεσσαλωμ p. 156.

Λόγος ξ8.

Περὶ Μωϋσέως καὶ Ἀμαλὴκ p. 157.
περὶ τῆς Ἑλλήνων ἀπάτης, καὶ τῆς Διὸς δι' ἀσέλγειαν εἰς πάντα μεταβολῆς, καὶ περὶ πάντων ὧν εἰσὶν οἱ τῶν Ἑλλήνων θεοί p. 157.
περὶ φαλλῶν καὶ ἰθυφάλλων, καὶ Διονύσου p. 157
περὶ τῶν ἀναιχένων p. 158.
περὶ ἡμιδρακόντων, καὶ Ἀθηνᾶς, καὶ Ἡφαίστου, καὶ Ἐριχθονίου p. 158.
περὶ τῶν σπαρέντων καὶ ἀναφυέντων τῶν αὐθημερον γιγάντων καὶ θηριμίγων ἀνθρώπων p. 159.
περὶ πολυμόρφων ἀνδρῶν, καὶ Δημήτρας, καὶ Τριπτολέμου, καὶ δρακόντων p. 159.
περὶ Ἑρμᾶ τοῦ διγλύφου p. 160.
περὶ τῆς Σκύλλης p. 160.
περὶ Χαρύβδεως καὶ ἀμπώτιδος p. 161.
περὶ Ὀρφέως καὶ Θρακῶν καὶ τοῦ θρησκεύειν p. 161.
περὶ Ἀσκραίου, καὶ Χαλδαίων, καὶ θυσίας καὶ μαγείας καὶ φαρμακείας, καὶ περὶ ἀστρονομίας καὶ γεωμετρίας p. 162.
περὶ τῆς Ἡσιόδου καλουμένης θεογονίας, ἐν ᾧ περὶ θεωνυμιῶν, καὶ τῆς τιτανομαχίας, καὶ Κόττου καὶ Βριάρεως, καὶ τῶν ἑκατονταχείρων, καὶ περὶ Ὕδρας καὶ Χιμαίρας, καὶ Γοργόνων, καὶ τοῦ τρικερβέρου κυνός p. 162.
περὶ τῆς ἀστάτου ποιήσεως Ὁμήρου, καὶ τραγῳδίας καὶ κωμῳδίας, καὶ περὶ τῶν Μολιονι-

δων, καὶ ἄλλων ἐκ τῆς Ὁμήρου ποιήσεως p. 164.
περὶ Μουσαίου καὶ Λίνου p. 167.
περὶ Ἑρμοῦ τοῦ τρισαρίστου p. 167.
περὶ Σιβύλλης p. 168.
περὶ τοῦ κλέψαι τοὺς Ἕλληνας καὶ ἀποκόψαι τῶν θεοπνεύστων βίβλων τινὰ, καὶ μυθεύσασθαι p. 168.
περὶ Φοίβου Ἀπόλλωνος καὶ μαντείας p. 169.
περὶ τῆς Κασταλίας πηγῆς p. 170.
περὶ Δάφνης p. 171.
περὶ τῆς δωδωναίας δρυός, καὶ τῶν ἀνιπτόδων Σελλῶν, καὶ τῶν μαντοφορουμένων γυναικῶν, καὶ περὶ τοῦ λέβητος p. 171.
περὶ Ἄμμωνος τοῦ κενεηγόρου p. 172.
περὶ Βραγχίδων καὶ Ἐπιδαύρου p. 172.
περὶ Κελεοῦ καὶ Τριπτολέμου καὶ τῶν κρυπτῶν τελετῶν, καὶ Πλούτωνος, καὶ Περσεφόνης, καὶ Ἐλευσῖνος p. 172.
περὶ αὐλῶν καὶ φρυγίων p. 173.
περὶ τῶν Κορυβάντων καὶ τῆς Διὸς κλοπῆς, καὶ τῶν ἐν ὅπλοις μαινομένων, καὶ πυρρίχης ὀρχήσεως p. 174.
περὶ Διονύσου καὶ Βάκχων, καὶ Σειληνῶν καὶ τοῦ μηρὸς ὠδίνων p. 175.
περὶ Ἑκάτης καὶ τῶν κακῶν αὐτῆς φασμάτων p. 177.
περὶ τοῦ Μιθραίου ναοῦ καὶ τῶν κολάσεων p. 177.
περὶ τῆς γαλλαίας ἀλλαγῆς p. 178.
περὶ Νείλου καὶ τῶν ἀνδρογύνων αἰσχύνων p. 179.
περὶ Ἴσιδος τῆς καὶ Ἰὼ p. 179.
περὶ Ὀσίριδος p. 179.
περὶ Σαράπιδος p. 180.
περὶ τοῦ πολυσάρκου μόσχου, καὶ Ἄπιδος, καὶ τῆς μεμφιτῶν ἀνοίας p. 180.
περὶ Λακαίνης, καὶ τῶν ἐπιβωμίων μαστίγων p. 180.
περὶ τοῦ γετικοῦ Ζαλμόξου καὶ Ἀβάριδος p. 181.
περὶ τῆς Ταύρων ξενοκτονίας p. 181.
περὶ τοῦ ἐρασθέντος μειρακίου τοῦ Διονύσου p. 182.
περὶ τῆς Ἀφροδίτης καὶ τῶν πορνικῶν μυστηρίων p. 182.
περὶ κερδάλης καὶ Λίνδου p. 183.
περὶ Ἐμπεδοκλέους καὶ τῶν αἰτναίων κρατήρων p. 183.
περὶ Ἡρακλέους καὶ Νέσσου p. 184.
περὶ Τροφωνίου καὶ Ἐμπεδοτίμου p. 184.
περὶ Ἀρισταίου p. 185.

Λόγος ξε.

Περὶ τοῦ ἱστοῦ Πηνελόπης p. 185.
περὶ Ἑκάβης καὶ Ἑλένης p. 186.
περὶ Ἀδώνιδος κήπου p. 186.
περὶ τοῦ κολιοῦ p. 187.
περὶ τῶν ἑταίρων Ὀδυσσέως, καὶ τῆς Κίρκης καὶ περὶ τῶν χοίρων p. 188.
περὶ Πανδώρας καὶ τοῦ κλαπέντος πυρός p. 188.
περὶ τῆς ἀπάτης Εὔας p. 189.
περὶ Δανάης p. 189.
περὶ τῆς τοῦ Πανὸς κατὰ τὰ ὄρη Ἴδης φωνῆς p. 189.
περὶ τῆς πηγῆς καὶ τοῦ ὀλεθρίου εἰδώλου φωνῆς p 189.
περὶ τῆς ἐπιμανείσης τοῖς ποταμίοις ῥεύμασιν p. 190.

περὶ τῆς ξυλίνης δαμάλεως p. 191.
περὶ Ὀρφέως p. 191.
περὶ τοῦ τῆς Ἀφροδίτης κεστοῦ p. 191.
περὶ Κελτῶν καὶ τοῦ Ῥήνου ποταμοῦ p. 193.
περὶ τῆς Ἐσθὴρ καὶ τοῦ ἐπαινετέου καλλωπισμοῦ αὐτῆς p. 193.
περὶ τῆς Ἰεζάβελ τῆς πόρνης καὶ τοῦ στιβασμοῦ αὐτῆς p. 194.

Λόγος ξγ.

Περὶ Χείρωνος καὶ Ἀχιλλέως p. 197.

Λόγ. ξζ. ξη.

Περὶ τοῦ Ἀλφειοῦ ποταμοῦ καὶ τῆς Ἀρεθούσης πηγῆς p. 198.

Λόγ. ξθ. καὶ ο.

Περὶ τοῦ ζήλου Φινεὲς τοῦ ἱερέως p. 200.
περὶ Μωϋσέως καὶ τοῦ αἰγυπτίου οὗ ἀνεῖλεν p. 201.
περὶ τοῦ πολυπλανήτου Εὐρίπου p. 202.

Λόγος οα.

Περὶ Ἰὼβ τοῦ δικαίου καὶ τῆς νίκης αὐτοῦ p. 202.
περὶ Λαζάρου τοῦ τετραημέρου p. 202.
περὶ τοῦ παραλύτου p. 202.
περὶ τῆς χαναναίας p. 203.
περὶ τῆς ἐν τῷ πλοίῳ καθευδήσεως Ἰησοῦ p. 203.

Λόγ. οβ. ογ. οδ. οε ος.

Περὶ τῆς ἰσχύος Σαμψὼν καὶ τῶν τριχῶν p. 203.
περὶ τῆς φλογίνης ῥομφαίας p. 205.
περὶ Μερρᾶς τῆς πηγῆς p. 205.

Λόγ. οζ. οη.

Περὶ Ἑλικῶνος, δαφνῶν, καὶ τριπόδων p. 205.

Λόγος οθ.

Περὶ Ἐπικτήτου καὶ Ἀναξάρχου p. 206.

Λόγ. π. πα. πβ.

Περὶ τοῦ τείχους Βαβυλῶνος ἐν ᾧ περὶ τῶν Ἑπταπύλων καὶ Ἑκατονταπύλων p. 207.
περὶ τῶν πυραμίδων p. 208.
περὶ τῶν διὰ γῆς ἐλασθεισῶν νηῶν p. 208.

Λόγος πγ.

Περὶ τῆς βροντῆς καὶ ἀστραπῆς, καὶ τῶν Κυκλώπων, καὶ περὶ Ὀδυσσέως p. 209.

Λόγ. πδ. πε.

Περὶ Ταντάλου p. 211.
περὶ τοῦ κειρομένου ἤπαρ Προμηθέως, καὶ περὶ Τιτύος p. 211.
περὶ τῶν ἐν ᾅδου κολάσεων p. 211.
περὶ τοῦ λίθου Σισύφου p. 213.

Λόγ. πς. πζ.

Περὶ Χαρίτων καὶ Μουσῶν p. 213.
περὶ τοῦ Ἠλυσίου χώρου, καὶ ἀσφοδέλων λειμώνων, καὶ περὶ Μίνωος καὶ Ῥαδαμάνθυος p. 214.

Λόγ. πη. πθ. ψ. ψα. ψβ. ψγ. ψδ. ψε. ψς. ψζ. p. 215.

Λόγος ψη.

Περὶ τοῦ ἐκ θρήνου δένδρου p. 215.
περὶ τῆς ῥευσάσης πηγῆς τοῖς ὀδυρομένοις p. 215.

Λόγ. ψθ. ρ. ρα.

Περὶ Σάῤῥας καὶ Ἀβραὰμ p. 216.
περὶ Ἄννης καὶ Σαμουὴλ p. 216.
περὶ Ἄννης τῆς μητρὸς τῆς Θεοτόκου p. 217.
περὶ Ἐμπεδοκλέους καὶ τῶν κρατήρων p. 217.
περὶ Σωσάννης, καὶ Μαριάμ, καὶ Ἄννης p. 217.

περὶ Ἡρακλέους, Ἐμπεδοτίμου, Τροφωνίου, Ἀριστέως p. 218.
περὶ τῆς σκιωδοῦς θυσίας p. 218.
περὶ Ἐνώχ p. 218.
περὶ Ἀβραάμ p. 218.
περὶ τῆς Ἰεφθαὲ θυσίας p. 218
περὶ τῆς στήλης τοῦ Ἐξελίτου καὶ Λεύκωνος p. 220.
περὶ Σάῤῥας καὶ Ἰσαάκ p. 220.

Λόγ. ρβ. ργ. ρδ. ρε. ρϛ. ρζ. ρη. ρθ. ρι. ρια. ριβ. ριγ. ριδ. p. 221.

Περὶ τῶν ἑπτὰ θεαμάτων p. 221.
περὶ τοῦ Μαυσώλου τάφου p. 222.
περὶ τῶν στηλῶν Ἡρακλέους, καὶ τῶν ἔργων Ὤτου καὶ Ἐφιάλτου τῶν γιγάντων p. 224.
περὶ Κύρου τοῦ βασιλέως καὶ τοῦ τάφου p. 224.
περὶ τῆς βουκτασίας p. 225
περὶ τοῦ Πειρίθου, καὶ Περσεφόνης, καὶ Ἀπύγων, καὶ Μελαμπύγων p. 225.
περὶ τοῦ ἐπικλύσαντος Λυδίοις χρυσοῦ p. 226.

Λόγ. ριε. ριϛ. ριζ.

Περὶ τοῦ ζήλου Μωϋσέως καὶ τῆς πρὸς θεὸν τιμῆς p. 228.
περὶ Δαβὶδ καὶ τῆς ἐκ μέρους αὐτοῦ κολάσεως ἐπὶ τοῖς ἐπταισμένοις p. 228.
περὶ Ἐλισσαίου καὶ τῶν ἀναιρεθέντων παιδίων ὑπὸ θηρίων p. 229.

Λόγ. ριη. ριθ.

Περὶ στοϊκῶν καὶ τῶν πυῤῥωνείων πλοκῶν p. 230.
περὶ τοῦ σινωπέως τοῦ κυνὸς, ἐν ᾧ περὶ Διογένους καὶ Σωσάτους τῶν φιλοσόφων p. 232.
περὶ Κράτητος τοῦ θηβαίου p. 233.
περὶ τοῦ πλέοντος Ἀντισθένους φιλοσόφου, καὶ τοῦ εἰς τριβώνιον περιστῆναι αὐτὸν p. 234.
περὶ τοῦ τὴν οὐσίαν τοῖς συγγενέσι παραχωρήσαντος p. 234.
περὶ τοῦ τὴν ὑπάρξιν εἰς μίαν βῆλον χρυσίου συναγαγόντος καὶ βεβληκότος εἰς θάλασσαν p. 235.
περὶ τῶν σησαμούντων κριθίνων ἄρτων, καὶ τῆς φυγούσης σέῤῥης ἐκ μέσου τῶν ἡδυσμάτων p. 235.
περὶ Κλεάνθους τοῦ φιλοσόφου p. 236.
περὶ Σωκράτους καὶ τῶν Χαρμίδων p. 236.
περὶ Ἀλκμαίωνος p. 237.
περὶ Πλάτωνος τοῦ φιλοσόφου καὶ Διονύσιου τοῦ τυράννου p. 238.
περὶ Ξενοκράτους, καὶ τῆς Λιογένους στωμυλίας p. 241.
περὶ τῆς γυναικείας στολῆς, ἧς Ἀρχέλαος δωρεῖται τῷ Πλατωνι p. 242.
περὶ τοῦ αὐτοῦ Ἀρχελάου, καὶ Σοφοκλέους καὶ Εὐριπίδου p. 242.
περὶ Λυσιμάχου p. 243.
περὶ Πυῤῥου καὶ Φαβωρίνου p. 243.
περὶ Φοίβου μαντευομένου p. 244.
περὶ τοῦ Μίδου p. 245.
περὶ Θεόγνιδος καὶ ὧν τῷ Κύρῳ νομοθετεῖ p. 246.
περὶ τοῦ λέγειν Ὅμηρον ὡς ἀρετὴ τοῖς χρήμασιν ἕπεται p. 246.
περὶ τῆς εὐχῆς τοῦ Μίδου, καὶ τῆς κακίστης τοῦ ζῆν ἀπαλλαγῆς p. 246.
περὶ Ἀδὰμ καὶ τῶν ἐλπιζομένων ἡμῖν ἀγαθῶν p. 247.
περὶ Ἐδὲμ καὶ τοῦ εὐθαλοῦς πα-

ραδείσου καὶ τῶν δ' ποταμῶν p. 247.
περὶ τῆς κλήσεως Ἀβραὰμ, καὶ κληρονομίας p. 247.
περὶ τῆς εὐχῆς Ἰακὼβ p. 248.
περὶ Μωϋσέως, καὶ τῆς κληρονομίας τῶν υἱῶν Ἰσραὴλ, καὶ περὶ Λευιτῶν p. 248.
περὶ Ἰωναδάβ p. 249.
περὶ Ἠλιοῦ τοῦ Θεσβίτου p. 249.
περὶ Ἐλισσαίου καὶ τῆς μηλωτῆς p. 249.
περὶ Σαμουὴλ, καὶ τῆς ἐκκλησίας Ἰσραὴλ, καὶ τῶν θαυμάτων p. 250.
περὶ Ἰωάννου τοῦ προδρόμου p. 251.
περὶ Παύλου τοῦ ἀποστόλου, καὶ τοῦ τέχνης σπορισμοῦ αὐτῷ p. 251.
περὶ τοῦ θερμοῖς τρέφεσθαι τὸν ἀπόστολον Πέτρον p. 252.
περὶ Πέτρου καὶ Ἀνδρέου καὶ Ἰακώβου καὶ Ἰωάννου p. 252.
περὶ τοῦ προσελθόντος τῷ Ἰησοῦ νεανίσκου p. 252.
περὶ Ζακχαίου τοῦ τελώνου p. 253.
περὶ τρυφῆς καὶ τῆς Ἀφροδίτης ἤτοι τοῦ Κύπρις p. 253.
περὶ τοῦ τὸν νέον τρυφῶντα μεμψαμένου φιλοσόφου p. 254.
περὶ τῆς πρὸς τὴν σάρκα διαλέξεως τῶν στοϊκῶν p. 254.
περὶ Κερκιδᾶ p. 254.
περὶ Σαρδαναπάλλου τοῦ Νίνου p. 255.
περὶ τῆς δίψης Δαβὶδ καὶ τῆς ἐγκρατείας p. 255.
περὶ τῆς ἐγκρατείας Δανιὴλ καὶ τῶν τριῶν παίδων p. 256.
περὶ τῆς νηστείας Ἰησοῦ, καὶ τοῦ πειρασμοῦ p. 256.
περὶ τῶν προσφαγεισῶν Ἀθηναίων παρθένων, καὶ Θεανοῦς τῆς πυθαγορίας p. 256.
περὶ τῆς προθυμίας Μενοικέως τοῦ Θηβαίου p. 257.
περὶ τοῦ πηδήματος Κλεομβρότου p. 257.
περὶ τοῦ σκέλους Ἐπικτήτου p. 257.
περὶ τοῦ πτυσμοῦ Ἀναξάρχου p. 257.
περὶ τοῦ κωνείου Σωκράτους p. 258.
περὶ Πίσης, καὶ κόνεως δελφικῆς, νεμέας, καὶ πιτύος τῆς ἰσθμίας, καὶ τῶν δυστυχῶν ἐφήβων p. 258.
περὶ Ξενοκράτους, καὶ τῆς προσριφείσης αὐτῷ πόρνης, καὶ τῆς ὀψοφαγίας p. 258.
περὶ Ἐπικούρου καὶ ἡδονῆς p. 259.
περὶ Πολέμωνος p. 259.
περὶ Δίωνος p. 259.
περὶ Ἀλεξάνδρου καὶ τῶν θυγατέρων Δαρείου p 260.
περὶ Γανυμήδους, καὶ τῆς Διὸς εἰς ἀετὸν μεταβολῆς p. 260.
περὶ τῆς εἰς πάντα τοῦ Διὸς μεταβολῆς διὰ γυναικός p. 260.
περὶ Ἀφροδίτης καὶ ἡδονῆς, καὶ ὧν αὐτὴν καλοῦσιν p. 261.
περὶ τῶν μυστηρίων Ἐλευσῖνος, ὧν παρὰ τῆς Δημήτρας ὁ Κελεὸς μεμάθηκε καὶ Τριπτόλεμος p. 261.
περὶ Διονύσου καὶ Πολυΰμνου p. 261.
περὶ Ἑρμαφροδίτων Πάνων p. 262.
περὶ τραγοσκελῶν θεῶν καὶ παρθένων αἰσχρῶν p. 262.
περὶ Φειδίου, καὶ τῆς ἐν δακτύλῳ γραφῆς p. 263.

περὶ τῆς ἐν τῷ θηρίῳ εὐφροσύνης, καὶ τῆς δεσποίνης Ἑλλάδος τῆς αἰσχρᾶς Λαΐδος p. 263.
περὶ τῶν νέων ναζιραίων ἤτοι ἀσκητῶν p. 263.
περὶ τῆς οὐσίας Ὀκλης τῆς μάρτυρος p. 263.

Λόγος ρκ.

Περὶ Ἀνανίου καὶ Σαπφείρας p. 264.

Λόγ. ρκα. ρκβ.

περὶ τῆς τοῦ διαβόλου ἐκπτώσεως p. 264.
περὶ τῆς ἐκπτώσεως Ἰούδα p. 264.
περὶ τῶν θηρίων ὧν εἴργει ὁ θεὸς νομοθετῶν p. 264.
περὶ Ἠλιοῦ, καὶ τῆς φιλοξένου χήρας p. 265.
περὶ τῶν ε΄ ἄρτων p. 265.
περὶ τῆς ἐκ Σοδόμων φυγῆς p. 265.
περὶ Ἄχαρ καὶ τῆς χρυσῆς γλώσσης p. 265.

Λογ. ρκγ. ρκδ. ρκε.

Περὶ τοῦ τῶν μαθητῶν σώσματος, p. 266.
περὶ Μωσέως, Ἀαρὼν, Δαβὶδ, Σαμουὴλ, Πέτρου τε καὶ Παύλου, ἐν ᾧ καὶ περὶ πραότητος p. 265.
περὶ Σαμουὴλ καὶ Σαοὺλ p. 265.
περὶ τῆς Παύλου παῤῥησίας, καὶ τῆς Πέτρου ταπεινοφροσύνης p. 274.
περὶ Δαβὶδ καὶ Ἀβεσσαλὼμ καὶ Ἰωάβ p. 272.
περὶ Δαβὶδ καὶ Σεμεΐ p. 272.
περὶ τῆς ἀκακίας Στεφάνου p. 274.
περὶ τοῦ σωτῆρος Χριστοῦ καὶ τῆς αὐτοῦ μακροθυμίας p. 275.
περὶ τοῦ Σταγειρίτου p. 276.
περὶ Ἀλεξάνδρου καὶ Παρμενίωνος p. 276.

Reliqua pars indicis desideratur in codice.

ΤΟΥ ΑΒΒΑ ΝΟΝΝΟΥ

ΣΥΝΑΓΩΓΗ

ΚΑΙ ΕΞΗΓΗΣΙΣ ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

ΩΝ ΕΜΝΗΣΘΗ Ο ΠΑΝΣΟΦΟΣ ΚΑΙ ΕΝ ΑΓΙΟΙΣ ΜΕΓΑΣ

ΓΡΗΓΟΡΙΟΣ Ο ΘΕΟΛΟΓΟΣ

ΕΙΣ ΤΟΝ ΕΠΙΤΑΦΙΟΝ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ

ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ (1).

Οἱ τῶν ἔξω ῥήτορες τὲ καὶ σοφισαὶ, βουλόμενοι τὸν ἐγκωμιαζόμενον παρ' αὐτῶν εὐγενέστατον δεῖξαι, λέγουσιν ὡς οὗτος τὸ γένος κατάγει, εἰ τύχοι, ἀπὸ Πέλοπος, ἢ Κέκροπος, ἢ Ἡρακλέους, ἢ τῶν ἄλλων τῶν νομισθέντων ἡρώων, ἢ καὶ ἄλλων πῶς ἀγαθῶν γενομένων ἀνδρῶν. Φησὶν οὖν ὁ θεῖος Γρηγόριος, ὅτι οἱ τοῦ θειοτάτου Βασιλείου προπά-

(1) Collectionem historiarum ac fabularum, Nonno auctore, quarum S. Gregorius Nazianzenus meminit in duabus contra Iulianum imp. invectionibus, iamdiu edidit Richardus Montacutius, eaque collectio in Nazianzeni editiones utiliter recepta fuit. Nunc mihi in vaticanis codicibus persimilis historiarum fabularumque collectio eodem Nonno auctore occurrit, ad alias duas Nazianzeni orationes, nempe ad epitaphium divi Basilii, et ad homiliam in sancta lumina; quod ego sane scriptum, Montacutii exemplum secutus, in lucem emittere libenter decrevi; resecatis tamen iis fere omnibus, quae apud Cosmam hoc eodem volumine a me editum, ad litteram iam extabant. Etsi enim in superiore opere nihil Cosmae detraxi, quamquam is saepe montacutianum Nonnum expilabat, nunc illas tamen vaticani Nonni partes in hoc meo libro nolui recudere, quae apud Cosmam leguntur.

τερες, μείζους καὶ εὐγενίστεραι ἦσαν τῶν νομιζομένων παρὰ τοῖς ἔξω εὐγενῶν. Καὶ ὁ μὲν νοῦς τοῦ ἁγίου Γρηγορίου τοῦτο βούλεται. Εἰπεῖν δὲ ὅτι τίνες εἰσὶ, εἶεν ὁ Πέλοψ, καὶ ὁ Κέκροψ, καὶ Ἀλκμαίων, καὶ ὁ Ἡρακλῆς· οἱ γὰρ τούτων ἀπόγονοι λέγονται λοιπὸν ἀπὸ μὲν τοῦ Πέλοπος πελοπίδαι, οἱ δὲ ἀπὸ τοῦ Κέκροπος κεκροπίδαι, οἱ δὲ ἀπὸ τοῦ Ἀλκμαίωνος ἀλκμαιωνίδαι, οἱ δὲ ἀπὸ τοῦ Ἡρακλέους ἡρακλεῖδαι, καὶ ἀπὸ τοῦ Λίακος αἰακίδαι.

α. Περὶ τοῦ Πέλοπος.

Πέλοψ υἱὸς γέγονε Ταντάλου Φρυγίας βασιλέως· ὁ Τάνταλος δὲ οὗτος πόλεμον ἐσχηκὼς μετὰ Ἴλου τοῦ κτίσαντος τὸ Ἴλιον τὸ ἐπὶ Τροίας, καὶ φοβούμενος τὴν ἧτταν, ἐπέτρεψε τῷ Πέλοπι τῷ ἰδίῳ παιδὶ λαβόντι χρήματα, ἀπάραι ἐπὶ τὴν Ἤπειρον, εἰπὼν ταῦτα, ὅτι ἐὰν μὲν νικήσω, ὑποστρέφεις πάλιν εἰς τὴν Φρυγίαν· ἐπὰν δὲ ἡττηθῶ, μένε εἰς τὴν Εὐρώπην· λαβὼν οὖν ὁ Πέλοψ χρήματα ἦλθεν εἰς τὴν Ἑλλάδα ἐν χώρᾳ Ἀπίᾳ καλουμένῃ, ἥ τις Ἀπία χώρα βασιλέα εἶχε τὸν Οἰνόμαον ἔχοντα θυγατέρα Ἱπποδάμειαν ὀνόματι· εἶτα ἀγωνισάμενος ἐνταῦθα ὁ Πέλοψ ἱππικὸν ἀγῶνα μετὰ Οἰνομάου, καὶ νικήσας, ἔλαβε γυναῖκα τὴν τοῦ Οἰνομάου θυγατέρα Ἱπποδάμειαν, καὶ κατέσχε τὴν χώραν· καὶ ἀντὶ Ἀπίας ἐκάλεσεν αὐτὴν Πελοπόννησον, ὅ ἐστιν ἡ τοῦ Πέλοπος νῆσος, πάντες οὖν οἱ ἀπὸ τοῦ Πέλοπος καλοῦνται πελοπίδαι· οἷον Ἀτρεύς, Θυέστης, Ἀγαμέμνων, Μενέλαος, καὶ τελευταῖος Ὀρέστης· καὶ περὶ μὲν τοῦ Πέλοπος ταῦτα, περὶ δὲ τοῦ Κέκροπος ἤδη λέξεται.

β. Περὶ τοῦ Κέκροπος.

Κέκροψ βασιλεὺς γέγονεν Ἀθηναίων, ὃς μεγάλως τὴν Ἀττικὴν κατεκόσμησεν· οὗτος δέ ἐστιν ὁ διφυὴς καλούμε-

νος· ἐκαλεῖτο δὲ διφυὴς, ὅτι δύο φωνὰς ἦν ἠσκημένος· μίαν μὲν τὴν τῆς Ἑλλάδος, ἑτέραν δὲ τὴν τῆς Αἰγύπτου· λέγεται γὰρ ὅτι οἱ Ἀθηναῖοι ἄποικοί εἰσιν αἰγυπτίων ἀπὸ Σάεως πόλεως· ἡγεμὼν οὖν τῆς ἀποικίας γέγονεν οὗτος ὁ Κέκροψ, καὶ ἐλθὼν εἰς τὴν Ἑλλάδα ἔμαθε τὴν ἑλλάδα φωνὴν καὶ τὴν αἰγυπτίαν, καὶ ἦλθεν εἰς τὴν Ἑλλάδα φωνὴν ἔχων καὶ τὴν αἰγυπτίων· ὁ δὲ λόγος ὁ λέγων αὐτόχθονας εἶναι Ἀθηναίους, μῦθος ἐστὶ, λαβὼν τὸ πλάσμα ἀπὸ τοῦ μηδέ ποτε ἀπωσθῆναι, μᾶλλον δὲ ἀναθῆναι τοὺς οἰκήσαντας εἰς τὴν Ἀττικὴν· λεπτόγεως γὰρ οὖσα ἡ χώρα οὐ πάνυ ἦν ζηλωτὴ καὶ ἄλλους εἰσοικίσαι· περὶ μὲν Κέκροπος ἅλις· εἰπεῖν δὲ δεῖ περὶ Ἀλκμαίωνος.

γ. Περὶ Ἀλκμαίωνος.

Οὗτος ἀθηναῖος ἦν τὸ γένος ἐπίσημος λίαν, τὴν ἐλευθερίαν ἀεὶ φυλάττειν ἐθέλων τοῖς Ἀθηναίοις· τυραννηθείσης οὖν τῆς πόλεως ὑπὸ Πεισιστράτου, ἐξῆλθεν οὗτος μὴ φέρων ὁρᾶν δουλευούσας τὰς Ἀθήνας· ἐξελθὼν οὖν μηχανᾶται, καὶ σκοπὸν εἶχε πῶς τὴν ἐλευθερίαν ἀποκαταστήσει Ἀθηναίοις· ἀπελθὼν οὖν εἰς Δελφοὺς εἰς ἀπολλώνιον ἱερὸν, ἐκμισθοῦται παρὰ Δελφοῖς τὸ ἱερὸν ἐπὶ μισθοφορίᾳ· ἐκμισθωσάμενος δὲ, καὶ ἔχων ὑφ' ἑαυτὸν πάντας τοὺς τοῦ θεοῦ διακόνους, πείθει τὴν ἱερείαν καὶ τὴν Πυθίαν, ἵνα εἴ ἔλθῃ ποτὲ λακεδαιμόνιος μαντευσόμενος, μηδὲν ἄλλο λέγειν αὐτῷ, ἢ ὅτι ἐλευθεροῦν τὰς Ἀθήνας λέγει ὑμῖν ὁ θεὸς· τούτου συνεχῶς καὶ πλειστάκις γινομένου, παρωρμήθησαν οἱ Λακεδαιμόνιοι, καὶ ἐλθόντες ἐξέβαλον ἀπὸ τῶν Ἀθηνῶν τοὺς τυράννους· μέγα οὖν κλέος ἔσχεν ἔκ τοτε ὁ Ἀλκμαίων, ἐλευθερώσας τὰς Ἀθήνας σοφίᾳ· ἀλλὰ τοσαῦτα περὶ Ἀλκμαίωνος.

δ. Περὶ Λιακεῦ.

Οὗτος υἱὸς ἐλέγετο εἶναι τοῦ Διὸς, δίκαιος τὰ μάλιστα· διὸ ποτὲ ἀβροχίας γενομένης ἐν τῇ Ἑλλάδι, ἦλθον πρὸς αὐτὸν οἱ προεστῶτες τῶν πόλεων παρακαλοῦντες εὔξασθαι τῷ ἰδίῳ πατρὶ, ἵνα γένηται ὑετὸς· ὁ δὲ στὰς καὶ εὐξάμενος, ἔλυσε διὰ τῆς εὐχῆς τοὺς αὐχμοὺς, καὶ κατέρρυη ὕδωρ ποτίζον τὴν Ἑλλάδα· μάλιστα δὲ καὶ ἐκ τούτου ἡ εὐσέβεια ἐδείχθη τοῦ Λιακεῦ· οὗτος οὖν γεννᾷ δύο υἱοὺς, τὸν Πηλέα καὶ τὸν Τελαμῶνα· ὧν ὁ μὲν Πηλεὺς τίκτει τὸν Ἀχιλλέα· ὁ δὲ Τελαμὼν τὸν Αἴαντα, οἵ τινες ἐκαλοῦντο Λιακίδαι, τὴν ἀπὸ τοῦ πάππου τιμὴν ἐκ τούτου προφερόμενοι.

ε. Περὶ Ἡρακλέους.

Οὗτος λέγεται υἱὸς γεγονέναι τοῦ Διὸς· ὁ γὰρ Ζεὺς ὁμοιωθεὶς τῷ Ἀμφιτρύωνι, συνεγένετο τῇ Ἀλκμήνῃ· καὶ ἐγεννήθη ὁ Ἡρακλῆς, ὃς καὶ τοὺς μεγάλους ἐκείνους ἄθλους διήνυσε· πολλοὶ οὖν γεγόνασιν ἀπὸ Ἡρακλέους, ὧν πρῶτος καὶ ἔνδοξος ὁ Ὕλλος, ἐξ οὗ καὶ οἱ τῶν Λακεδαιμονίων βασιλεῖς ἡρακλεῖδαι λέγονται.

ς. Περὶ τῆς Ἐλαφηβόλου, καὶ Ὠρίωνος, καὶ Ἀκταίωνος.

Τὴν Ἄρτεμιν λέγουσι τῆς κατὰ Θήραν τοξίας εἶναι ἔφορον· λέγεται οὖν αὕτη ἡ Θεὸς βάλλειν εὐστόχως τὰς ἐλάφους, ὥστε ἀκοῦσαι τὴν Ἄρτεμιν ἐλαφηβόλον Θεὸν· ὁ δὲ Ὠρίων καὶ ὁ Ἀκταίων θηραταὶ καὶ οὗτοι ὑπῆρχον· ὁ μὲν οὖν Ἀκταίων κυνηγέτης ἦν, καὶ εἶδε τὴν Ἄρτεμιν γυμνὴν· ἡ δὲ Θεὸς ἀθέμιτον τοῦτο ὑπολαβοῦσα τὸ τοὺς θεοὺς ἰδεῖν γυμνοὺς, καὶ μάλιστα τὰς παρθένους, χολωθεῖσα μανῆναι ἐποίησε τοὺς κύνας αὐτοῦ τοῦ Ἀκταίωνος, καὶ ὡς ἔλαφον

ἔχοντα κέρατα ἑώρων αὐτὸν οἱ κύνες, οὕτως ὥστε λέγεσθαι τὸν Ἀκταίωνα ὑπὸ κυνῶν συρῆναι· καὶ ὁ Ὠρίων δὲ οὗτος ἐστὶν ὁ ἐκ τοῦ σύρῆσαι τοὺς θεοὺς ἐν τῇ βύρσῃ τοῦ βοὸς τοῦ σφαγέντος ὑπὸ τοῦ Οἰνέως τοῦ Θηβῶν βασιλέως ἐπὶ τῇ φιλοξενίᾳ τῶν θεῶν· γενόμενος δὲ Ὠρίων, καὶ ὢν θηρελέτης, ἠράσθη τῆς Ἀρτέμιδος· εἶτα ἡ θεὸς ὀργισθεῖσα ἀνῆκε σκορπίον κατ' αὐτοῦ, καὶ κρουσθεὶς οὗτος ἀπέθανε, διό ἐστιν ἐν τῷ οὐρανῷ ὡς οἱ μῦθοι λέγουσι μετὰ τοῦ σκορπίου.

ζ. Περὶ τοῦ Πηγάσου.

Τῆς παταρικῆς Χιμαίρας ἀναφυείσης, περὶ ἧς μέμνηται καὶ οὗτος ὁ θεῖος Γρηγόριος ἐν τοῖς στηλιτευτικοῖς ἐν ἱστορίᾳ πεντηκοστῇ, καὶ λυμαινομένης τὴν χώραν τῶν Λυκίων, καὶ τοῦ Πρόιτου βασιλεύοντος τῆς Λυκίας, προσετάχθη ὁ Βελλεροφόντης ἀποκτεῖναι τὴν Χίμαιραν· ἦν δὲ τὸ θηρίον, ὡς κἀκεῖσε παρεσήσαμεν τοιοῦτον, πρόσθε μὲν λέων ὄπισθεν δὲ δράκων μέσον δὲ Χίμαιρα, ἐξ ἧς Χιμαίρας τὸ πῦρ ἀνεδίδοτο, καὶ ἦν δυσάλωτον τὸ θηρίον· τὸν ἵππον οὖν Πήγασον ἐκ θεοῦ εὑρὼν ὁ Βελλεροφόντης, ὃς ἐλέγετο ἔχειν πτερά, καὶ ὕδωρ ἀπὸ τῶν ὀνύχων ἀποστάζειν, ἐλθὼν σύμμαχον εὑρὼν τὴν πτῆσιν τοῦ ἵππου, διὰ τὸ εἶναι πτερωτόν, ὡς εἶπον, καὶ σφαῖραν μολίβδου περιθεὶς ἐν τῷ ἄκρῳ τοῦ δόρατος, αὐτὸς ὁ Βελλεροφόντης ἐνέβαλεν εἰς τὸ στόμα τῆς Χιμαίρας, καὶ ἀπὸ τοῦ πυρὸς διελύθη ὁ μόλιβδος, καὶ ἀνεῖλε τὴν Χίμαιραν.

η. Περὶ τοῦ λαβυρίνθου.

Ἐν τῇ Κρήτῃ τῇ νήσῳ, ὄρος ἐστὶν ἐν ᾧ σπήλαιον ἀντρῶδες, καὶ δύσοδον περὶ τὴν κάθοδον, καὶ δυσχερὲς πάνυ περὶ τὴν ἄνοδον, ἐν ᾧ λέγεται ὁ Μινώταυρος ἐμβληθῆναι·

ἐπεὶ οὖν δυσχερὲς τὸ ἐκβῆναι τοῦ λαβυρίνθου, νῦν ὁ θεῖος Γρηγόριος ἔλαβεν αὐτὸ ἐπὶ τοῦ λόγου τὴν ἀρύκτων, ὧν οὐδεὶς ἠδύνατο ἐκφυγεῖν, ἀλλ' ἡλίσκετο· ἐπιφέρει δὲ καὶ τὰς ἄρκις· ἄρκις δέ ἐστιν εἶδος δικτύου παχυσχοίνου, ὃ ἱστᾶσι πρὸς θήραν λέοντες, ἢ ἄλλου τῶν ἰσχυρῶν ζώων.

θ. Περὶ τῶν Γαδείρων.

Γάδειρα τόπος ἐστὶ περὶ τὰ ἑσπέρια μέρη· ὁ τόπος δὲ οὗτος ἀποτελεύτησις ἐστὶ θαλάσσης, καὶ εἰσὶν ἔκρισις ἀπὸ τῆς ὡς πρὸς ἡμᾶς θαλάσσης, ἐπὶ τὴν ἀτλαντίδα θάλασσαν· λέγεται οὖν μηκέτι μετὰ τὰ Γάδειρα πλεῖσθαι τὴν θάλατταν ἐκείνην, διὰ τὸ εἶναι βραχώδη καὶ σκοτεινήν· Γάδειρα δὲ ἤκουσε παρὰ τὴν γῆν καὶ τὴν θειράν· θειρὴ δὲ καλεῖται τράχηλος· παρὰ τὸ οὖν τῆς γῆς εἶναι τράχηλον ἐκεῖσε, ἤκουσε Γάδειρα.

ι. Περὶ τοῦ ἵππου τοῦ διαῤῥήξαντος τὰ δεσμά.

Ὅμηρος ὁ ποιητὴς βουλόμενος τὴν Ἀλεξάνδρου ἐξύτητα τὴν περὶ τοῦ πώλου ἐκφράσαι, διὰ παραβολῆς εἰκάζει τὸν ἥρωα, ἐπειπὼν τόδε ἔπος· ὡς δ' ὅτε τὶς στατὸς ἵππος ἀκοστήσας ἐπὶ φάτνης.

ια. Περὶ τῶν σπαρέντων καὶ φυέντων αὐθημερὸν γιγάντων.

Ἐν Θήβαις τῆς Βοιωτίας λέγεται ὅτι Κάδμος, ἢ ἄλλός τις λαβὼν τοὺς τοῦ δελφίνου δράκοντος ἔσπειρεν ὀδόντας εἰς τὴν γῆν, καὶ ἀνεδόθησαν ἔνοπλοι ἄνδρες· ἀνεδόθησαν δὲ ἀπὸ μηρῶν ἕως ἄνω, καὶ οὕτως ἱστάμενοι ἐπολέμουν ἀλλήλοις καὶ τοῖς ἄλλοις.

ιβ. Περὶ τῶν ἑπταπύλων Θηβῶν.

Ὁ θεῖος Γρηγόριος περιθεάματα βούλεται εἰπεῖν ἡμῖν ἐνταῦθα· αἱ δὲ πύλαι ἑπτάπυλαί εἰσιν αἱ τῆς Ἑλλάδος,

αἱ ὑπὸ Ἀμφίονος καὶ Ζήθου κτισθεῖσαι διὰ κιθάρας· αι δὲ αἰγύπτιαι Θῆβαι εἰσὶν ἑκατονταπυλαι· μεγίστη δὲ πάλαι γέγονε, καὶ οὕτως μεγίστη ὥστε ἑκατὸν ἔχειν τὰς πύλας· τὰ δὲ τείχη τὰ βαβυλώνια λέγεται εἶναι ἰσχυρότατα· ἀπὸ γὰρ πλίνθου ὀπτῆς καὶ ἀσφάλτου λυομένης ἐκτίσθησαν, καὶ τὸ πλάτος ἔχοντα πολὺ, καὶ τὸ ὕψος, καὶ τὴν περιφέρειαν.

ιγ. Περὶ τοῦ Μαυσωλοῦ τοῦ καρός.

Ὁ τάφος Μαυσωλοῦ τοῦ καρὸς, μέγιστος ἐστὶ καὶ αὐτὸς· Μαυσωλὸς γὰρ Καρίας γέγονε τύραννος, ὃς ἔκτισεν ἑαυτῷ τάφον πολυανάλωτον ἐν χώρατι τινὶ καὶ ἐν λιμναζούσῃ λίμνῃ ἔνδον κείμενος τοῦ τάφου· γράφεται δὲ καὶ ὁ καρικὸς τάφος, ἵνα ᾖ κτητικὸς· γράφεται δὲ καὶ καρὸς, ἵνα ᾖ ἐθνικὸς τοῦ Μαυσωλοῦ τοῦ καρός. Αἱ δὲ πυραμίδες καὶ αὗται θαύματος εἰσὶν ἄξιαι, ἐν τῇ Αἰγύπτῳ ἐκτισμέναι πολυανάλωτοι, ἃς τινας χριστιανοὶ μὲν λέγομεν εἶναι τὰ ὡρεῖα τοῦ Ἰωσὴφ, Ἕλληνες δὲ τάφους βασιλέων τινῶν, ὧν ἐστὶ καὶ Ἡρόδοτος· ὡς δὲ εἰκὸς, μετὰ τοὺς χρόνους τοῦ Ἰωσὴφ, καὶ τὴν ἔξοδον τοῦ Ἰσραὴλ, ἐποιήσαντο αὐτὰς τάφους βασιλέων οἱ Ἕλληνες. Περὶ δὲ τοῦ κολοσσοῦ λέγει τοῦ ἀνακειμένου ἐν Ῥόδῳ, ὅτι μέγισός ἐσιν ἀνδριὰς, χαλκὸν ἔχων πολὺν καὶ ἀξιοθαύμαστον.

ΤΟΥ ΑΥΤΟΥ ΜΟΝΑΧΟΥ ΝΟΝΝΟΥ

ΕΞΗΓΗΣΙΣ ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

ΩΝ ΕΜΝΗΣΘΗ Ο ΠΑΝΣΟΦΟΣ

ΚΑΙ ΘΕΙΟΣ ΓΡΗΓΟΡΙΟΣ

ΕΝ ΤΩ ΕΙΣ ΤΑ ΑΓΙΑ ΦΩΤΑ ΛΟΓΩ

α. Περὶ τοῦ Διός.

Τὸν Δία οἱ Θεολόγοι τῶν ἑλλήνων, ἐκ Κρόνου λέγουσι γεννηθῆναι, καὶ γεννηθέντα περισωθῆναι τοιῶσδε· ὁ Κρόνος τῇ Ῥέᾳ γενόμενος σύνοικος, ἅπερ ἔτικτεν αὐτὴ παιδία, αὐτὸς λαμβάνων κατέπινεν· καὶ οὕτως ἐπὶ πολλῶν τούτου γενομένου, ἄτεκνος ἔμενεν ἡ Ῥέα· ὅτε οὖν ἐγέννησε τὸν Δία, ἡ Ῥέα φοβουμένη μή πως καὶ τὸ βρέφος τοῦτο κατασθὲν ἀπόληται, λίθον μὲν σπαργανώσασα, δέδωκε τῷ Κρόνῳ ὡς βρέφος καταπιεῖν· τὸν δὲ Δία ὑπερέθετο ἐν τῇ Κρήτῃ, καὶ παρέσαζε τῷ βρέφει τούτῳ τοὺς Κορύβαντας καὶ τοὺς Κουρῆτας ὀρχεῖσθαι καὶ κροτεῖν καὶ κτυπεῖν τὰ ὅπλα αὐτῶν, καὶ γενέσθαι τινὰ ἦχον τὸν δυνάμενον ὑποκλέπτειν καὶ παρακρούειν τὸν ἐκ τοῦ κλαυθμοῦ τοῦ παιδίου ἦχον, ἵνα μὴ μαθὼν ὁ Κρόνος ποῦ κρύπτεται τὸ παιδίον, τοῦτο λαβὼν καταπίῃ· νῦν οὖν πατέρα μὲν μισότεκνον λέγει τὸν Κρόνον, παιδίον δὲ κλαυθμυρίζον τὸν Δία· τοὺς Κουρῆτας δὲ λέγει τοὺς μετὰ τῶν Κορυβάντων ταχθέντας παρὰ τῆς Ῥέας ὀρχεῖσθαι, δαίμονες δὲ οὗτοι οἱ Κορύβαντες· ἐνόπλιον δὲ ὄρχησιν λέγει τὴν πυῤῥίχιον· κτύπον γάρ τινα ἐν ταῖς ἀσπίσιν ἐποίουν οὗτοι, πρὸς τὸ ὑπερηχεῖσθαι τὸν κλαυθμὸν τοῦ

παιδίου. Κρητῶν δὲ τυράννους εἶπεν, ὅτι οἱ μὲν θεολόγοι τῶν ἑλλήνων θεὸν λέγουσι γενέσθαι τὸν Κρόνον καὶ τὸν Δία· ἡ δὲ ἱστορία ἡ θημώδης, ᾗ καὶ τίθεται ὁ θεῖος Γρηγόριος λέγων, ὅτι ὁ Ζεὺς οὗτος τύραννος ἦν Κρητῶν, καὶ θέλοντες αὐτὸν θεραπεύειν οἱ ὑπήκοοι, ἐμυθολόγουν ὡς ἐκ Κρόνου θεοῦ καὶ Ῥέας ἔχει τὴν γένεσιν, ἐπεὶ ἄνθρωπος ἦν· διὸ καὶ ἐπήγαγεν, κἂν ἕλληνες ἀπαρέσκωνται· οἱ γὰρ ἕλληνες οὐ θέλουσιν αὐτὸν εἶναι ἄνθρωπον καὶ τύραννον Κρητῶν, ἀλλὰ θεόν.

β. Περὶ τῆς ἁρπασθείσης Κόρης.

Δημήτηρ θεὸς οὖσα τίκτει θυγατέρα ἀπὸ τοῦ Διός, ἥν τινα ἐκάλουν καὶ Κόρην, καὶ Περσεφόνην· ταύτης ἠράσθη ὁ Πλούτων· καὶ ἥρπασε καὶ κατῆλθεν ἐν τῷ ᾅδῃ· ἡ οὖν Δημήτηρ περιῄει ζητοῦσα τὴν Κόρην, καὶ πολλὰ πλανηθεῖσα ἦλθεν ἐν τῇ Ἀττικῇ· ἐλθοῦσα δὲ, τὸν μὲν τόπον ἐν ᾧ ἦλθεν, ἐκάλεσεν Ἐλευσῖνα, παρὰ τὸ ἐληλυθέναι· ἔμαθε δὲ παρὰ τοῦ Κελεοῦ καὶ τοῦ Τριπτολέμου, ὅτι ἡ Κόρη ἡρπάγη ὑπὸ τοῦ Πλούτωνος, καὶ ἔστιν ἐν τῷ ᾅδῃ· μαθοῦσα οὖν ἡ θεὸς ταῦτα, ἔλιξε τῆς πλάνης· ἀμειβομένη δὲ τοὺς ἄνδρας ὑπὲρ τῆς χάριτος ταύτης, δέδωκεν αὐτοῖς τὰ σπέρματα, οἷον σῖτον, κριθὴν, καὶ ὄσπριον· λέγεται γὰρ τῶν σπερματικῶν καρπῶν εἶναι ἔφορος ἡ Δημήτηρ· δεῦσα δὲ τὰ σπέρματα, δέδωκε καὶ ῥάκεντας καὶ ἅρματα πτερωτὰ πρὸς τὸ περιελθεῖν καὶ δεῦναι πᾶσι τὸν σῖτον καὶ τὴν κριθήν· οὔπω γὰρ ᾔδεισαν οἱ ἄνθρωποι ἐσθίειν ἄρτον, ἢ χρῆσθαι σίτῳ, ἀλλὰ νεμαδικὸν βίον ἔζων· οὐ μόνον δὲ τὸν σῖτον, ἀλλὰ καὶ πάντας τοὺς σπερματικοὺς καρποὺς δέδωκε· καὶ τὰ μυστήρια ἐτέλεσεν αὐτοῖς, καὶ ἔδειξε πῶς δεῖ τελεῖν καὶ τελεῖσθαι· νύκτωρ δὲ ἐγίνετο ἡ τελετὴ ἐν τῇ

Ἐλευσῖνι· ἱερὸν γὰρ ἐκτίσθη ἐκείσε αὐτῆς τῆς Δήμητρος· εἶπε δὲ, καὶ τὰ μὲν ποιεῖ τὰ δὲ πάσχει, διὰ τὸ καὶ τὴν Δήμητραν παθεῖν εὖ ἐν τῷ ἀκοῦσαι περὶ τῆς Θυγατρὸς λῆξαι τῆς πλάνης, καὶ ταύτην δὲ ποιῆσαι εὖ τούτους, δοῦσα τὰ σπέρματα, καὶ τελέσασα τὰ μυστήρια· τὸ δὲ εἶδεν Ἐλευσὶς ταῦτα, περὶ τῆς κώμης λέγει, ἐν ᾗ ἐλθοῦσα ἡ Δημήτηρ ἐποίει τὰ μυστήρια· εἶπε δὲ τῶν σιωπηθέντων καὶ σιωπῆς ὄντων ἀξίων, διὰ τὸ νόμον εἶναι τὸν κελεύοντα μηδένα τῶν τελεσθέντων τὰ μυστήρια δημοσιεύειν τὴν τελετὴν, ἀλλὰ σιωπῇ κατέχειν, καὶ μὴ ἐκφέρειν πρὸς τοὺς ἀμυήτους.

γ. Περὶ τοῦ ὠδίνοντος μηροῦ ἀτελὲς κύημα.

Σεμέλη Θυγάτηρ γέγονε Κάδμου τοῦ Θηβῶν βασιλέως· ταύτης ἐρασθεὶς ὁ Ζεὺς συνεγένετο αὐτῇ, καὶ εἰς ζῆλον καὶ φθόνον ἐκίνησεν Ἥραν τὴν γυναῖκα αὐτοῦ· ζηλοτυπήσασα οὖν ἡ Ἥρα, ἀπέρχεται πρὸς τὴν Σεμέλην καὶ λέγει αὐτῇ, ὅτι ὄντως ἀπατᾷ σε· οὐδὲ γὰρ ὁ Ζεύς ἐστιν ὁ συγγενόμενός σοι· ἐμοὶ γὰρ φησὶν ὅτε συγγίνεται, μετὰ ἀστραπῶν καὶ βροντῶν συγγίνεται· ἐὰν οὖν ἔλθῃ πρὸς σὲ ὁ Ζεὺς, εἰπὲ αὐτῷ, ὡς συγγίνῃ τῇ Ἥρᾳ, οὕτω σύνελθέ μοι· καὶ εἰ μὲν συγγένεταί σοι μετὰ ἀστραπῶν καὶ κεραυνῶν, τῷ ὄντι ὁ Ζεύς σοι συγγίνεται· εἰ δὲ ἄλλως πῶς, οὐκ ἔστιν ὁ Ζεύς· ταῦτα ὑποθεμένης τῆς Ἥρας, ἐλθόντος τοῦ Διὸς πρὸς τὴν Σεμέλην, ᾐτήθη παρ' αὐτῆς συγγενέσθαι αὐτῇ ὡς τῇ Ἥρᾳ· εἶτα συγγινομένου μετὰ κεραυνῶν, μὴ ἐνεγκοῦσα ἡ Σεμέλη τοὺς κεραυνοὺς, ἀπέθανεν· ὁ οὖν Ζεὺς θᾶττον τὸ ἔμβρυον ὃ ἦν ἐν τῇ Σεμέλῃ λαβὼν, ἔβαλεν εἰς τὸν μηρὸν καὶ ἔῤῥαψεν, ἕως οὗ γένηται τῶν ἐννέα μηνῶν· ἦν δὲ οὗτος ὁ Διόνυσος· ἀτελὲς δὲ κύημα λέγει, ὅτι ὁ μηρὸς αὐτὸν ἐκύησε τοῦ Διός. Θεὸν ἀνθρόγυνον κα-

λεῖ τὸν Διόνυσον, ὡς ποτὲ μὲν γυναικιζόμενον, τοὐτέστι τὰ τῶν γυναικῶν πάσχοντα· ποτὲ δὲ ἀνδριζόμενον, τοὐτέστι τὰ τῶν ἀνδρῶν ἐνεργοῦντα· χορὸν δὲ μεθυόντων λέγει τοὺς σατύρους καὶ τοὺς βάκχους καὶ τοὺς σειληνούς, δαίμονες δὲ οὗτοι ὀσαδοὶ καὶ ὁμοκέλευθοι τοῦ Διονύσου· αὐτοὺς δὲ τούτους λέγει, καὶ στρατὸν ἔκλυτον τοὺς δαίμονας· ἔκλυτον δὲ αὐτὸν καλεῖ διὰ τὴν μέθην· ἐπειδὴ γὰρ τοῦ οἴνου ἔφορος ὁ Διόνυσος, εἰκότως τοὺς σὺν αὐτῷ δαίμονας μεθυστὰς εἰσάγει ὄντας· τὸ δὲ Θηβαίων ἄνεια τοῦτον τιμῶσα, ὅτι Θηβαῖος ἦν τὸ γένος ὁ Διόνυσος, ὡς ἐκ τῆς Σεμέλης γεννηθείς· εἴπομεν γὰρ ὅτι Σεμέλη θυγάτηρ ἦν Κάδμου τοῦ Θηβῶν βασιλέως· ἄνειαν δὲ καλῶς εἶπε Θηβαίων, ἐπειδὴ ἐπὶ μοιρία πολλῇ διαβάλλονται οἱ Θηβαῖοι, καὶ ἔστι παροιμία ἡ λέγουσα, Βοιωτία ὗς. Διὰ τί δὲ ὁ κεραυνὸς προσκυνεῖται; διότι κατέφλεξε τὴν Σεμέλην. Τὸ δὲ ὥσπερ ἄλλο τι κεφαλὴ πρότερον, ἑτέρα μέν ἐστιν ἱστορία· ἐπειδὴ δὲ συμπλέκεται ταύτῃ, ἀναγκαῖον καὶ αὐτὴν ἐξηγήσασθαι· ἡ κεφαλὴ τοῦ Διὸς γέγονε, κεφαλὴ ποτὲ ὠδίνων, ὅτι ἐν ἑαυτῇ εἶχε τὴν Ἀθηνᾶν· λέγεται γὰρ ἡ Ἀθηνᾶ ὅτι ἐκ τῆς κεφαλῆς τοῦ Διὸς ἐγεννήθη· ἐκεῖ γὰρ αὐτὴν ὤδινεν ὁ Ζεύς, καὶ λαβὼν παρὰ τοῦ Ἡφαίστου μετὰ ἀξίνης κατὰ τῆς κεφαλῆς ὁ Ζεύς, ἔτεκεν ἐξ αὐτῆς τὴν Ἀθηνᾶν.

δ. Περὶ τῆς Ἀφροδίτης καὶ τῶν αἰσχρῶν μυστηρίων αὐτῆς.

Λέγεται ὅτι ἐκ τῶν αἰδοίων τοῦ οὐρανοῦ ἔσχε τὴν γέννησιν ἡ Ἀφροδίτη· ὁ γὰρ Κρόνος, φησὶν, υἱὸς τοῦ οὐρανοῦ λαβὼν τὸ δρέπανον, ἀπέκοψε τοῦ ἰδίου πατρὸς τὰ αἰδοῖα, καὶ ἔρριψεν εἰς τὴν θάλασσαν, καὶ πεσόντα ταῦτα καὶ ἀφρὸν συνάξαντα, ἀπεκύησε τὴν Ἀφροδίτην· διὸ καὶ Ἀφρο-

οἵτη καλεῖται, ὡς ἐκ τοῦ ἀγρεῦ καὶ τῆς καταδύσεως γινομένη· διὸ εἶπεν, αἰσχρῶς γινομένης καὶ τιμωρουμένης· ὁμοίως γὰρ καὶ αἱ τιμαὶ αἱ περὶ ἑαυτὴν καὶ αἱ ἑορταὶ δι' αἰσχρουργίας καὶ ἡδυπαθείας καὶ πορνείας ἐτελοῦντο, ὡς καὶ τῆς πορνείας αὐτῆς οὔσης ἑτέρου τῆς Ἀφροδίτης.

ε. Περὶ τῆς τῶν Ταύρων ξενοκτονίας.

Οἱ Ταῦροι ἔθνος σκυθικόν, καθὼς φησὶν ὁ Ἡρόδοτος, ἐν ᾧ ἦν ἱερὸν τῆς Ἀρτέμιδος, εἰς ὃ ἦν ἱερεία ἡ Θυγάτηρ τοῦ Ἀγαμέμνονος Ἰφιγένεια· ἐν τούτῳ τῷ ἱερῷ πάντα ἄνθρωπον ἐπιδημοῦντα ξένον ἔθυεν τῇ Ἀρτέμιδι· καὶ περὶ ταύτης τῆς ἱστορίας ἐν τῷ στηλιτευτικῷ σαφῶς λέξομεν.

ς. Περὶ τοῦ Τροφωνίου.

Τροφώνιος καὶ Ἀγαμήδης ἀδελφοὶ δύο γεγόνασι, μάντεις τὴν τέχνην· τούτων ὁ Τροφώνιος ὑπὸ κενοδοξίας, ὑποβρύχιος δὲ γεγονὼς, ἐν σπηλαίῳ τινὶ ἀπέψυξεν· εἶτα οἱ Θεοὶ ἐλεήσαντες, φησὶν, αὐτὸν τὸν τόπον ἐν ᾧ ἀπέψυξεν, ἐποίησαν μαντεύεσθαι· καὶ κατήεσαν εἰς τὸ σπήλαιον, καὶ τινὰς τελετὰς ποιοῦντες ἀνήεσαν, ὡς χρησμοδοτισθέντες· λέγεται δὲ ὅτι πᾶς κατελθὼν εἰς τὸ σπήλαιον ἐκεῖνο, ἐκ τοῦ λοιποῦ ἀγέλαστος ἦν.

ζ. Περὶ τῆς δωδωναίας δρυός.

Ἡ Δωδώνη πόλις ἐστὶ περὶ τὴν παλαιὰν Ἤπειρον· ἐν ταύτῃ ἦν δρῦς, ἐν ᾗ ἐλέγετο ὁ Ζεὺς ἐπισκιάζειν καὶ μαντείαν διδόναι τοῖς χρήζουσι μαντείας ἐξ αὐτῆς δρυὸς κινήματα τῷ μάντει ἐξηχούμενα.

η. Περὶ τῆς Κασταλίας.

Ἔστι πηγὴ περὶ τὴν Ἀντιόχειαν, ἐν ᾗ ὁ Ἀπόλλων ἐφεδρεύει, ἐν ᾗ πηγῇ μαντεία τις ἐξεφέρετο κατὰ τὴν τοιάνδε ἐκροὴν τοῦ νάματος, οὐ κατὰ φωνήν· οὐ γὰρ φωνή τις ἐξη-

χεῖτο, ἀλλ' ἁπλοῦ ἤχου τινὸς καὶ πνεύματος ἀναθιδρύεσθαι καὶ ἐκροῆς, πρὸς ἃ τινὲς ἱστάμενοι καὶ νοοῦντες τὰ σύμβολα ταῦτα, ἔλεγον τὰ μέλλοντα.

Θ. Περὶ τῶν κολάσεων τοῦ Μίθρου.

Τὸν Μίθραν ἄλλοι ἄλλως ἐνόμισαν· οἱ μὲν γὰρ τὸν ἥλιον, οἱ δὲ τὸν ἕφορον τοῦ πυρός, ἄλλοι δὲ εἰδικήν τινα δύναμιν· γίνονται δὲ τούτῳ τῷ Μίθρῃ τινὲς τελεταὶ, καὶ παρὰ τῶν Χαλδαίων μάλιστα· οἱ δὲ τελούμενοι τῷ Μίθρῃ, κατὰ βαθμόν τινα ἐτελοῦντο κολάσεων· πρότερον δὲ τὰς ἐλαφροτάτας κολάσεις παρελάμβανον, καὶ εἶθ' οὕτως τὰς δραστικωτέρας· εἶεν πρότερον ἐλίμωττον αὐτοὺς τοὺς τελουμένους ἐπὶ πεντήκοντα ἡμέρας, εἰ τύχοι· εἶτα εἰ ἤγαγε καρτερικῶς, ἐπέσυν αὐτὸν πάλιν ξεσθῆναι ἐπὶ δύο ἡμέρας· εἶτα πάλιν εἰς χιόνα ποιῆσαι εἴκοσιν ἡμέρας· καὶ οὕτως ἁπλῶς τὰς κολάσεις ἐπὶ τὸ μεῖζον κατὰ μικρὸν αὔξοντες· εἰ ὁ τελούμενος καρτερῶν ἐφαίνετο, τότε λοιπὸν αὐτὸν ἐτέλουν τὰ τελεώτατα.

ι. Περὶ τῆς Ἴσιδος.

cod. ἴσιδι. Ἡ Ἶσις αὕτη ἐνομίσθη τῇ Ἰῷ * τῇ ἁρπασθείσῃ ὑπὸ τοῦ Διός· ὁ γὰρ Ζεὺς, φησὶν, ἥρπασε τὴν Ἰὼ, καὶ φοβούμενος τὴν Ἥραν τὴν ἑαυτοῦ γυναῖκα, μετέβαλε τὴν Ἰὼ εἰς βοῦν, καὶ ποτὲ μὲν εἰς λευκὴν, ποτὲ δὲ εἰς μέλαιναν, ποτὲ δὲ εἰς ὑάζουσαν, καὶ οὕτως ἐπλανᾶτο μετ' αὐτῆς· ἦλθεν οὖν καὶ ἐν Λιγύπτῳ πλανώμενος μετ' αὐτῆς· καὶ διὰ τοῦτο τιμῶσιν οἱ Λιγύπτιοι τὴν Ἰὼ ἤτοι τὴν Ἶσιδα· διὸ ἐπὶ τοῦ ἀγάλματος αὐτῆς ἐπὶ τῆς κεφαλῆς κέρατα βοὸς ἐγλύφουσιν, σημαίνοντες τῆς κόρης τὴν εἰς βοῦν μεταβολήν.

ια. Περὶ τῶν μενδησίων τράγων.

Αἰγυπτιστὶ ὁ τράγος καλεῖται μένδης· ἐσέβοντο δὲ ἔνιοι τῶν Αἰγυπτίων τὸν τράγον ἀνακείμενον τῇ γονίμῳ δυνάμει· λέγεται γὰρ ὀχευτικὸν ζῶον εἶναι ὁ τράγος· τοὺς οὖν τράγους οἱ οἰκοῦντες κατὰ τὸ μενδήσιον κέρας οὐκ ἤσθιον, αἰδεῖ τοῦ γονίμου Θεοῦ· ἐτίμων δὲ μεγάλως καὶ τοὺς αἰπόλους τῶν τράγων· ἦν δὲ καὶ ἱερὸν τοῦ Μένδητος παρ' Αἰγυπτίοις, ἐν ᾧ ἱερῷ τὸ ἄγαλμα τραγοσκελὲς ἦν, ἔρσιον τὸ αἰδεῖον ἔχον.

ιβ. Περὶ τοῦ Νείλου.

Ποταμός ἐστιν ὁ Νεῖλος ἐν τῇ Αἰγύπτῳ, ὃς ὑπερεκχυνόμενος διὰ τὰς αἰτίας, ἃς φησιν ὁ πανσοφώτατος Ἡρόδοτος, τιμᾶται παρ' αὐτῶν· ἐν γὰρ τῇ ἀναβάσει τιμῶσιν αὐτὸν ὡς Θεὸν, καὶ εὐφημοῦσιν ὡς εὐφορίας αἴτιον, νομίζοντες τὸ ὕδωρ τὸ αὐξανόμενον εἶναι Θεόν.

ιγ. Περὶ τῶν κυνοδάλων, καὶ τῶν ἑρπετῶν ὧν ἐσέβοντο οἱ Αἰγύπτιοι.

Οἱ Αἰγύπτιοι ἐσέβοντο τὰς ἴβεις, τοὺς κροκοδείλους, τοὺς ὄφεις, τὰς αἰλούρους, καί τινα τῶν ἰχθύων γένη, ἐξ ἀλόγου τιμῆς ἑαυτοῖς ἀτιμίαν περιζόμενοι· περὶ δὲ τούτων ἀκριβέστερον φησὶν ὁ Ἡρόδοτος, ὁ καὶ περὶ πάσης αὐτῶν τῆς θρησκείας καὶ τῶν βασιλέων ἀκριβῶς καὶ διὰ πλάτος συγγραψάμενος.

ΛΙΒΑΝΙΟΥ. (1)

α. Ὅτι πλάσματα λόγων ἐρωτικῶν οὐδὲν λυμαίνεται πρὸς ἄλλας μελέτας ἄλλην ἐχούσας ὑπόθεσιν.

Ἀπόλλωνα τὸν Λητοῦς, ἐρωτικὸς γὰρ ὁ θεὸς καὶ τοξότης, εἶδον ποῦ γραφῇ φέροντα λύραν· εἶδον ἔχοντα τόξον ἐν ἑτέρᾳ γραφῇ· διδάσκει δὲ αὐτῷ καὶ δάφνην ἐρωμένην τὰ χρώματα· τί οὖν; ὁ τὴν λύραν φέρων Ἀπόλλων, ἄλλοτε ἄλλως ὑποκινῶν τὰς χορδὰς, ὡς ἂν ἐθέλει τῇ ἁρμονίᾳ τοῦ μέλους, ἔκρουέ τε ἅμα καὶ ᾖδεν ἐρωτικὰ, ψυχαγωγεῖν οὕτω καὶ θέλγειν οἰόμενος τὸν σώφρονα τὴν παρθένον· οὐ μὴν ὅτι θαμὰ τοῦτο ἐωσίει, ἐχαλᾶτο οἱ ταῖς ὠδαῖς ἡ ἐπιστήμη τοῦ τόξου, ὅτε τὸν Χρύσην ὁ Μυκηναῖος ἠμέλει, αὐτόν τε καὶ τὰ λύτρα αὐτοῦ παρ' οὐδὲν ἐποιεῖτο, ἐντειλάμενος ἀπιέναι θᾶττον, καὶ αὖθις μὴ ἀναστρέφειν, ἵνα σῶς οἴκαδε ἔλθῃ, μικρὰν γὰρ εἶναι αὐτῷ συμμαχίαν τὰ στέμματα τοῦ θεοῦ· ὅτε οὖν πρὸς τὸν πρεσβύτην ὁ Ἀτρέως τοιαῦτα, ἐκβολός τε ἦν ὁ Ἀπόλλων, καὶ μάλα εὐσόχως ἐφῆκε τὰ βέλη· ποῦ δή με θράσους μετεωρίζεις, ὦ πρόλογε, θεὸν εἰς παράδειγμα φέρων, καὶ τοῦτον χορηγὸν τῶν μουσῶν ἡγεμόνα; ἀλλ' ἄγε δὴ μετάβηθι, καί μοι ἑτέραν εἰκόνα ποῦ ζήτει, χαμαὶ ἐρχομένων ἀνθρώπων· τὸν Μαρσύου φασὶ μαθητήν, Μαρσύου γὰρ Ἀπόλλων ἀνέμνησε τέχνην, ἀσκεῖν τοὺς αὐλούς· τί γὰρ ἂν μαθητὴς ἐπιτηδεύῃ Μαρσύου; μέλη δὲ ἦν αὐτοῦ τοῖς αὐλήμασι πυ-

(1) In amplo codice vaticano, qui nihil continet, nisi rhetorica Libanii scripta, postremae sunt hae quatuor lucubratiunculae, quae in impressis Libanii libris non compârent.

καὶ μὲν ὁ ἔρως, ἀτὰρ τὸ μένος ὁ ἔρως· ἄγετε οὖν, ὦ λέγοι, ἑτέραν τινὰ καὶ ἡμεῖς βαδίσωμεν ἀσμάτων ὁδὸν, μή ποτε χείρους δόξωμεν εἶναι τοῦ σύλλητοῦ.

β. Ἡ διάλεξις εἰς τὸ μὴ δεῖν ἀτελῆ καταλείψαι τὸν λόγον.

Τὰ χρήματα οἱ ὀφείλοντες εἰ τῆς κυρίας ἥκοιεν, τὸ χρεὼν ἅπαν μὴ καταβάλλειν, οὔ τι που εἶεν χρῆναι μηκέτι ἀποδιδόναι· οὐ λύειν γὰρ εἶδεν, ἀλλ' αὔξειν ὁ χρόνος τὸ ὄφλημα· εἰκότως ἄρα ὑμῖν καὶ τόκον τοῦ χρέους ἥκω διάλεξιν φέρων· δίκαια ταῦτα δοκεῖ εἶναι Πλάτωνί τε τῷ ἀθηναίῳ καὶ Σιμωνίδῃ τῷ κείῳ· ὁ γὰρ ἀθηναῖος τὸν κεῖον ἐρομένου τινὸς τί ποτε ἄρα τὸ δίκαιον, ἀποκρίνασθαι ἔφη, τὸ τὰ ὀφειλόμενα ἀποδιδόναι· μέμφεται δὲ καὶ Σωκράτης τὸν Καλλικλέα μεταξύ που ἐθέλοντα καταλεῖψαι τὸν λόγον, ὅπερ οὐδὲ τοὺς μύθους φησὶ θεμιτὸν εἶναι παθεῖν· ταῦτα ἐννοήσας ἐγὼ, πρὸς τήνδε αὖθις ὑμᾶς ἀγείρω τὴν εὐωχίαν· τὰ δέ μοι ὄψα ἐστὶν οὐδὲν ποικίλον, ἢ γέμον πολυτελείας, ἀλλ' ἁπλᾶ τε καὶ βραχέα καὶ ἕωλα· εὐνοοῦσι δὲ ὅμως ἡδίω πολλῶν καὶ ἀβροτέρων σιτίων· ἢ οὐχ ὁρᾶτε τὸ Καμβύσου μειράκιον τὰ παιδικὰ Ξενοφῶντος τὸν Κῦρον; ἐκεῖνος ἐπειδὴ εἰ ὁ πάππος ἐς Μήδους ἀφικόμενος δαῖτα ἐχορήγει βασιλικὴν· τότε γὰρ οὐ μετρίως ἐτρύφα τὸ μηδικὸν· ὁ δὲ οὐδὲν ἀπειρόκαλον ἐπεπόνθει, οὐδὲ εἶεν πάσχειν φιλεῖ παιδὸς ἡλικία, ἀλλὰ ἁβρότατα μηδικὴν περὶ ἐλάσσονος ἔθετο περσικῆς εὐτελείας, ἐμφύτῳ περὶ τὰ εἴκοι κατεχόμενος ἔρωτι.

γ. Ἡ διάλεξις ἔχει μὲν τὸ ῥᾴδιον ὑπόθεσιν, ἐπισαμένη δὲ διακρεῖς ὑμᾶς ὄντας τοῦ μύθου, καινότερον συνεισφέρει διήγημα.

Λέγουσι Μῆδοι, Μήδων ὅσοι τὰ πρότερα μνήμῃ διαδέ-

χονται, ἡνίκα ἂν δικῇ βασιλεῖ τὴν εἰωθεῖαν ἁβρότητα καινοτέρᾳ νικῆσαι τρυφῇ, ἀγῶνα καὶ ἅμιλλαν ἅπαν αὐτοῦ τὸ ὑπήκοον ἔχειν ἡδύ τι καὶ ἄηθες ὄψον ἐθέλοντι τῷ δεσπότῃ κρίσαι· ἐκείνοις μὲν οὖν, οὐ γὰρ ἐσιῶσι βαρβάρους ἀνδρας αἱ μοῦσαι, τοιαύτας ἐπιτρέψωμεν δ' εὐωχίας ἐπινοεῖν τε αὐτοῖς καὶ ἐργάζεσθαι, ἡμῖν δὲ ὄψον ἔστω μῦθος τοῦ ῥόδου, ὃν οὔτε ὑμῖν οὔτε ἄλλοις ἐγὼ παρατέθεικα δαιτυμόσιν· ἡνίκα κριτὴν ἐκάθισε ταῖς θεαῖς τὸν βουκόλον ὁ μῦθος, ἐλύπει μὲν Ἥραν, ἐλύπει δὲ Ἀθηνᾶν ὁ τῆς Ἀφροδίτης κεστὸς, ᾧ ἔνι μὲν φιλότης, ἔνι δ' ἵμερος· ὥσε οὐδὲ ἀγωνίζεσθαι ὅλως ἐβούλοντο, εἰ μὴ τὸ φάρμακον ἡ θεὸς ἀπόθοιτο πρότερον· οὕτω γὰρ ἐκεῖναι τὸν κεστὸν ἐπωνόμαζον· ἀλλὰ καὶ ὑμεῖς ἡ Ἀφροδίτη, φησὶν, οὐδὲν ἧττον ἐμοῦ καλλωπισάμεναι ἥκετε, ἡ μὲν διάδημα τῇ κόμῃ χρυσοῦν, ἡ δὲ κράνος καὶ αὐτὴ χρυσοῦν τῇ κεφαλῇ περιθεῖσα· ἀλλ' ἔμοι γε ἔφη τῶν ὑμετέρων φαρμάκων οὐ πολὺς λόγος, εἴ τινα καὶ ἐμοὶ ἕτερον ἀντὶ τοῦ κεστοῦ κόσμον ἐξεύρη κοσμεῖσθαι· καὶ ἅμα ταῦτα εἰποῦσα κατένευσεν ἅρα ταῖς θεαῖς παρὰ τὸν Σκάμανδρον, ἄνθη δρεψομένη ἐφίτα· καὶ γάρ τις αὐτόθι λειμὼν παρὰ τὰς ὄχθας ἐπεφύκει τοῦ ποταμοῦ, χαρίεντα δ' ἅμα καὶ διαφανῆ τὰ ὑδάτια καὶ ἐπιτήδεια λευτρὸν εἶναι· λελουμένη γοῦν τρέπεται πρὸς ὅπερ ἀφίκετο, καί πως ὁρμή τις αὐτῇ παρέβαλε μάλα ἡδεῖα· κρίνα τὲ οὖν καὶ ἴα καὶ ἀλλ' ἄττα συλλέξασα, ἐπειδὴ ἑτέρα μᾶλλον αὐτὴν ὁρμή τις ἐψυχαγώγει περιήει· τῆς δ' εὐωδίας τὸ αἴτιον ἀνιχνεύουσα, ἑρᾷ δὴ τὸ ῥόδον καὶ παρὰ τὴν ῥῖνα προσάγει, καὶ τοῦτο ἐκεῖνο εἶναι μαθοῦσα, τὰ μὲν ἄλλα παρ' οὐδὲν ἔθετο καὶ ἀπέῤῥιψε, ῥόδοις τὲ πρὸς τὸ ὄρος τὴν Ἴδην ἐπανῆκεν ἐστεφανωμένη· ἐκοσμεῖτο δὲ ἅμα ὡς ἔοικεν ἡ θεὸς

τε τῷ ῥόθῳ, καὶ τῇ Ἀφροδίτῃ τὸ ἄνθος· ὥστε τὰς ἀμφὶ τὴν Ἥραν καὶ Ἀθηνᾶν εἶλε τοσοῦτον, ἔσον οὐδ' ἀναμεῖναι τοῦ βουκόλου τὴν ψῆφον, ἀλλὰ προσθραυσάσας φιλῆσαι τὸ ἄνθος ἀφελομένας τὸν στέφανον, καὶ αὖθις αὐτὸν τῷ θεῷ περιθεναῖναι· ταῦτα, ὦ φιλότης, ὁ μῦθος· τί γὰρ ἂν τις ἕτερον ἐν τῷδε ὑμᾶς ἐστιάσειε τῷ καιρῷ;

δ. Ἡ διάλεξις πεπαῖσται μὲν πρὸς τὸ δεῖν ἀποδοῦναι τῆς μελέτης τὸ λεῖπον· βραχέα δὲ φθέγγεται τῷ λόγῳ χαριζομένη.

Τοῖς Ἀχαιοῖς ἐκκλησίαν ἀθροίσας ὁ παιητὴς, τὸν Τυδέως ἀνίσησι ῥήτορα τῷ συλλόγῳ, καὶ διδωσιν ἔπη τῷ νεανίσκῳ τοιαῦτα, ἃ ἂν εἰσηγήσατο σύμβουλος ἔτου τυγχάνειεν ἡ Ἑλλὰς ὄντες ἀκραταί, ὥσε καὶ ὁ Νέσωρ αὐτὸν ἄγαται καὶ φησὶ, κρείττονα εἶ τῆς ἡλικίας εἶναι τὴν συμβουλίαν· ἀτὰρ οὐ πάντη τὸν αἰτωλὸν ἀφῆκεν ἀνέγκλητον ὁ πρεσβύτης ὁ πύλιος· τὸ δὲ ἔγκλημά ἐσιν ὅ φησιν οὐ τέλος ἴκεο μύθου· τοῦτο οὖν, ὦ φιλότης, ἐννεήσας τὸ ἔπος, οὐ βραχὺ γὰρ ὄνειδος μέμψις ὑμηρικὴ, ἐς τόδε αὖθις ὑμᾶς ἀγείρω τὸ τρόπαιον· οὐ γὰρ εὖ μοι δοκεῖ ὁ Πλάτωνος Εὐθύφρων πεποικέναι, ἀτελῆ περιῴδὼν τὸν λόγον εἶναι, ὃν ὑπὲρ τοῦ ὅτί ποτε ἐθὴ τὸ ὅσιον διεξῄει τῷ Σωφρονίσκου, καὶ εἶα ἔφη ποιεῖς, ὦ ἑταῖρε; γελοῖον γὰρ ἀτελὲς εἶναι δημιουργῷ φιλοτέχνημα· ἵνα οὖν μὴ τὴν Νέσορος καὶ Σωκράτους ὑπομείνω κατηγορίαν, ὅσιν τῇ προτεραίᾳ τοῦ χρέους ὑμῖν ὑπελείπεται, τοῦτο ἐκτίσω· εἰ μὲν γὰρ ὁ σρατιώτης ἡμῖν ὑπόθεσις ἦν, τέλος ἄμεινον εἶναι τὸν λόγον· πολεμικὴ γὰρ φρονὶς, ἐν λόγοις πονεῖν οὐ φιλεῖ· ἐπεὶ δὲ ῥήτορα ὑμῖν ὑποκρίνομαι, καὶ τοῦτον ὧδε ἔχοντα γλώττης, ὥσε αὐτὴ καὶ πόλεμον ἀποθεῖν ἐπιόντα, πολὺν ἂν εἰκότως ὤφλησα γέλωτα, ἡμιτελῆ τὸν λόγον ὑφάνας.

ΙΩΑΝΝΟΥ

ΓΡΑΜΜΑΤΙΚΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ

ΕΞΗΓΗΣΙΣ ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΤΗΣ ΝΙΚΟΜΑΧΟΥ ΑΡΙΘΜΗΤΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ.

Πλατωνικὸς ὢν ὁ πατὴρ τοῦ βιβλίου τούτου, κατὰ τὸν πλατωνικὸν σκοπὸν ζητεῖ τὸ τέλος τῆς ὄντως φιλοσοφίας, καὶ τὴν ὁδὸν τὴν ἄγουσαν ἐπὶ ταύτην· ὅτι μὲν οὖν, ὡς Νικόμαχος ὁρίζεται, φιλοσοφία ἐστὶ φιλία σοφίας, παντὶ πρόδηλον· ζητητέον δὲ, τί ἐστι σοφία, καὶ πόθεν ἔσχε τὸ ὄνομα· σοφία μὲν οὖν ἐκλήθη, οἱονεὶ σάφειά τις οὖσα, ὡς σαφηνίζουσα πάντα· τοῦτο δὲ τὸ σαφὲς εἴρηται, οἱονεὶ φαές τι ὄν, παρὰ τὸ φάος καὶ φῶς, διὰ τὸ εἰς φῶς ἄγειν τὰ κεκρυμμένα· ἐπεὶ τοίνυν τὰ νοητὰ καὶ θεῖα, ὡς Ἀριστοτέλης φησὶν, εἰ καὶ φανώτατα ἐστὶ κατὰ τὴν ἑαυτῶν οὐσίαν, ἡμῖν διὰ τὴν ἐπικειμένην τοῦ σώματος ἀχλὺν σκοτεινὰ δοκεῖ καὶ ἀμυδρὰ, τὴν ταῦτα ἡμῖν εἰς φῶς ἄγουσαν ἐπιστήμην, σοφίαν εἰκότως ὠνόμασαν· ἐπειδὴ δὲ ὅλως σοφίαν καὶ σοφὸν ὀνομάζομεν, ἰσέον ὅτι ὁμώνυμόν ἐστι τὸ τῆς σοφίας ὄνομα καὶ τὸ τοῦ σοφοῦ· εἴληπται γὰρ τοῖς παλαιοῖς, κατὰ πέντε τρόπους, οὓς φησὶ καὶ Ἀριστοκλῆς ἐν τοῖς περὶ φιλοσοφίας δέκα βιβλίοις· χρὴ γὰρ εἰδέναι ὅτι φθείρονται μὲν ἄνθρωποι διαφόρως, καὶ γὰρ ὑπὸ λιμῶν, καὶ σεισμῶν, καὶ πολέμων, καὶ νόσων ποικίλων, καὶ ὑφ' ἑτέρων αἰτιῶν, μάλιστα δὲ ὑπὸ κατακλυσμῶν ἀθρόως τε, οἷος εἶναι λέγεται ὁ ἐπὶ Δευκαλίωνος, μέγας μὲν, οὐ πάντων δὲ κατακρατήσας· οἱ μὲν γὰρ νομεῖς, καὶ ὅσοι ἐν τοῖς ὄρεσι τὰς δια-

τριβὰς ἔχουσιν ἢ ταῖς ὑπωρείαις, διασώζονται· τὰ δὲ πεδία καὶ οἱ ἐν τούτοις οἰκοῦντες, κατακλύζονται· οὕτω γοῦν καὶ Δάρδανον τῷ κατακλυσμῷ φασὶν ἐκ Σαμοθράκης εἰς τὴν ὕστερον Τροίαν κληθεῖσαν διανηξάμενον σωθῆναι· δεῖ δὲ τοῦ ὕδατος τὰς ὑπωρείας τοὺς σωθέντας εἰκεῖν· ὡς δηλεῖ καὶ ὁ ποιητὴς λέγων οὕτως· – Δάρδανον αὖ πρῶτον τέκετο, νεφεληγερέτα Ζεὺς – κτίσσε δὲ Δαρδανίην, ἐπεὶ οὔπω Ἴλιος Π. XX. 215.
ἱρὴ – ἐν πεδίῳ πεπόλισο πόλις μερόπων ἀνθρώπων – ἀλλ' ἔθ' ὑπωρείας ᾤκεον πολυπιδάκου Ἴδης· – τὸ γὰρ ἔτι δηλεῖ τὸ μήπω αὐτοὺς καταθαρρεῖν, ἐν ταῖς πεδιάσι τὰς διατριβὰς ἔχειν.

Οὗτοι μὲν οἱ περιλειπόμενοι, μὴ ἔχοντες ὅθεν τραφῶσιν, ἐπενόουν ὑπ' ἀνάγκης τὰ πρὸς χρείαν, ἢ τὸ ἁλήθειν μύλαις σῖτον, ἢ τὸ σπείρειν, ἢ τι τοιοῦτον ἄλλο· καὶ ἐκάλεσαν τὴν τοιαύτην ἐπίνοιαν σοφίαν, τὴν ἐς τὰ ἀναγκαῖα τοῦ βίου τὸ λυσιτελὲς ἐξευρίσκουσαν, καὶ σοφὸν τὸν ἐπινενοηκότα· πάλιν ὑπενόησαν τέχνας, ὡς φησὶν ὁ ποιητὴς, Π. XV. 412.
ὑποθημοσύνῃσιν Ἀθήνης· οὐ μέχρι μόνης τῆς εἰς τὸν βίον ἀνάγκης ἱσαμένας, ἀλλὰ καὶ μέχρι τοῦ καλοῦ καὶ ἀστείου προϊούσας· καὶ τοῦτο πάλιν σοφίαν κεκλήκασι, καὶ τὸν εὑρόντα σοφὸν, ὡς τὸ – σοφὸς ἤραρε τέκτων – εὖ εἰδὼς σοφίης ὑποθημοσύνῃσιν Ἀθήνης· – διὰ γὰρ τὴν ὑπερβολὴν τῶν εὑρημάτων, εἰς θεὸν τὰς τούτων ἐπινοίας ἀνέφερον· πάλιν ἀπέβλεψαν περὶ τὰ πολιτικὰ πράγματα, καὶ ἐξεῦρον νόμους καὶ πάντα τὰ συνιζῶντα τὰς πόλεις· καὶ ταύτην πάλιν τὴν ἐπίνοιαν, σοφίαν ἐκάλεσαν· τοιοῦτοι γὰρ ἦσαν οἱ ἑπτὰ σοφοὶ, πολιτικάς τινας ἀρετὰς εὑρόντες· εἶτα λοιπὸν ὁδῷ προϊόντες, καὶ ἐπ' αὐτὰ τὰ σώματα καὶ τὴν δημιουργὸν αὐτῶν προῆλθον φύσιν, καὶ ταύτην ἰδικώτερον φυ-

σικὴν ἐκάλεσαν θεωρίαν· καὶ σοφοὺς τὰ περὶ τὴν φύσιν, τοὺς τοιούτους φαμὲν· πέμπτον ἐπ' αὐτὰ λοιπὸν ἔφθασαν τὰ θεῖα καὶ ὑπερκόσμια καὶ ἀμετάβλητα παντελῶς, καὶ τὴν τούτων γνῶσιν κυριωτάτην σοφίαν ὠνόμασαν.

Οἱ μὲν οὖν πρὸ Πυθαγόρου συγκεχυμένως κατὰ πάντων τῶν εἰρημένων τὸ τῆς σοφίας ἔφερον ὄνομα· πρῶτος δὲ Πυθαγόρας αὐτὸς, καὶ αὐτὸ συνέσειλεν ἐπὶ μόνης τῆς τῶν ἀϊδίων ἐπιστήμης τὸ τῆς σοφίας θεῖς ὄνομα, καὶ φιλοσοφίαν τὴν τῆς σοφίας ταύτης φιλίαν ὠνόμασε· τοῦτο γάρ ἐστι τῆς φιλοσοφίας τὸ τέλος, ἡ τῶν θείων πραγμάτων γνῶσις· τὰ δὲ ἐπὶ ταύτην ἄγοντα τὴν σοφίαν, ὡς πλατωνικῷ Πλωτίνῳ δοκεῖ, ἡ τῶν μαθημάτων ἐστὶν ἐπιστήμη· παραδοτέον γὰρ τοῖς νέοις τὰ μαθήματα, φησὶν ὁ Πλωτῖνος, πρὸς συνεθισμὸν τῆς ἀσωμάτου φύσεως· ἐπειδὴ γὰρ ὑλικοῖς συμπεπλέγμεθα σώμασι, καὶ τούτων ἐκτὸς εἰδίσμεθα νοεῖν οὐδὲν, ἀδύνατον ἦν ἀμέσως ἐξ αὐτῶν ἐπὶ τὰ νοητὰ καὶ κεχωρισμένα παντελῶς σωμάτων ἐλθεῖν· ἐμέλλομεν γὰρ πάσχειν, οἱ ἐκ σκοτεινοῦ οἴκου ὁ πάσχουσιν ἐπὶ φωτεινοτάτου ἀμέσως ἐρχόμενοι, καὶ τῷ ἀθρόῳ φωτὶ τὰς ὄψεις ἀποτυφλούμενοι· δεῖ γὰρ ἐκ τῶν ἐναντίων· κατὰ βραχὺ διὰ τῶν μέσων προϊόντας βαδίζειν ἐπὶ τὰ ἐναντία· ἐπειδὴ οὖν τῶν ἀχωρίστων παντελῶς εἰδῶν τῆς ὕλης, οἷον σαρκὸς, ὀστοῦ, φλεβὸς, καὶ τῶν φυσικῶν εἰδῶν ἁπάντων, τούτων γὰρ οὐδὲν οὐδὲ ὑποστῆναι οὐδὲ νοηθῆναι χωρὶς τῆς ὑποκειμένης αὐτῶν ὕλης δυνατὸν, καὶ τῶν πάντη χωριστῶν καὶ ἀσχέτων, οἷα εἰσὶ τὰ ὑπερκόσμια, τὰ μαθήματα μέσα ἐστὶ, τῇ μὲν οὐσίᾳ σωμάτων ἀχώριστα, τῇ δὲ ἐπινοίᾳ χωριστά· κύκλον γὰρ καὶ τρίγωνον, καὶ πᾶν σχῆμα, καὶ νοῆσαι καὶ ὁρίσασθαι χωρὶς πάσης ὕλης δυνατὸν· μελέτῃ γὰρ καὶ μα-

δήσει τοῦτα ἐστὶ, τοῦ δι' αὐτῶν ἄλλως τὰ χωριστὰ νοεῖν, καὶ τὴν ἐκείνων ὡς ἐστὶ συλλογίζεσθαι οὐσίαν· εἰ γάρ ἐστι τὰ πάντα τῆς ὕλης ἀχώριστα, ἔστι δὲ καὶ τὰ πῇ μὲν χωριστὰ, πῇ δὲ ἀχώριστα, ἀνάγκη που καὶ τὴν τρίτην τῶν εἰδῶν εἶναι μεῖραν, τὴν παντάπασιν χωριστὴν καὶ τῇ οὐσίᾳ καὶ τῇ ἐπινοίᾳ.

Πάντα μὲν οὖν τὰ μαθήματα, ὁδός ἐστι πρὸς τὰ νοητὰ, μάλιστα δὲ τούτων ἡ ἀριθμητικὴ ἀρχὴ πάντων οὖσα· καὶ γὰρ μουσικῆς· εἴπερ αὐτὴ μὲν περὶ τὸ ἐν σχέσει ποσὸν καταγίνεται, τὸν ἡμιόλιον φέρε ἀριθμὸν, ἢ ἐπίτριτον, ἢ διπλασίονα, ἢ ἐντινανοῦν· ἡ δὲ ἀριθμητικὴ, περὶ τὸ ἄσχετον· πρότερα δὲ τῶν ἐν σχέσει τὰ ἄσχετα, ἀλλὰ δὴ καὶ γεωμετρίας πρότερα· πολλὰ γὰρ τῶν γεωμετρικῶν ἀποδείξεων, διὰ τῆς ἀριθμητικῆς πρίασι· καὶ ὅλως ἐπειδὴ τὰ σχήματα, ἢ ἐκ μιᾶς γραμμῆς ὡς ὁ κύκλος, ἢ ἐκ πλειόνων συνέστηκε, τοῦτο δὲ ἀριθμοῦ τὸ ἓν καὶ τὸ πλῆθος· καὶ ὅτι παντὸς μεγέθους ἀρχή ἐστιν ἡ μονὰς· καὶ γὰρ τὸ σημεῖον, εἷον μονὰς ὑπάρχει, ἀμερὲς γάρ· καὶ ὅτι ἡ μονὰς ἀδιαίρετος, ἡ τίς ἐσιν ἀρχὴ ἀριθμοῦ· τοιοῦτον δὲ καὶ τὸ σημεῖον, οὗ μέρος οὐδέν· εἰ δὲ γεωμετρίας ἡ ἀριθμητικὴ προτέρα, καὶ ἀστρονομίας ἐξ ἀνάγκης ἐστὶ πρότερα· εἴπερ ἡ γεωμετρία μὲν περὶ μεγέθη ἁπλῶς ἀκίνητα ἔχει τὰ τούτων μόνον περιεργαζομένη εἴδη· ἀστρονομία δὲ περὶ τὰ κινούμενα, καὶ τὰς τούτων κινήσεις καὶ πρὸς ἄλληλα σχέσεις αὐτῶν ζητοῦσα· ἐπεὶ οὖν εἴρηται ἡμῖν, καὶ τί ἐστι φιλοσοφία καὶ τί τὸ ταύτης τέλος, καὶ τίς ἡ περὶ τὸ τέλος ἄγουσα ὁδὸς, καὶ ὅτι ὁ σκοπὸς τῷ προκειμένῳ συγγράμματι, τὴν ἐπὶ φιλοσοφίαν ἄγουσαν ἡμᾶς ὁδὸν παραδοῦναι, φέρε δὴ καὶ τὴν λέξιν αὐτὴν ἐξετάσωμεν.

Ὁ τέχνης τινὸς ἢ δημιουργίας.

Καλῶς ἐπήγαγε τὸ ἢ δημιουργίας, ἐπειδὴ οὐ πᾶσα τέχνη δημιουργικὴ ἐστιν· ἰδοὺ γὰρ ἡ τῶν ἡνιόχων μελέτη, τέχνημά ἐστι, οὐδὲν δὲ δημιουργεῖ· ὅτι δὲ τέχνη ἐστὶ, σημαίνει καὶ ὁ ποιητὴς λέγων – μήτι τοι ἡνίοχος περιγίνεται ἡνιόχοιο.

l. XXIII. 318.

Ἐπὶ τὴν τοῦ ὄντος ἐπιστήμην.

Ὄντα καλοῦμεν κυρίως τὰ ὄντως ὄντα, τὰ ἀεὶ καὶ ὡσαύτως ἔχοντα, τὰ ἀΐδια, τὰ ἀμετάβλητα, ἐξ ὧν παράγονται καὶ τὰ ἐνταῦθα, ἅ τινα κυρίως ὄντα οὐκ εἰσὶν, ἐπειδὴ τοῖς μὴ οὖσι συμπέφυρται· ἀλλοιωτὰ γὰρ καὶ μεταβλητὰ εἰσὶ, κἂν ποτε νομίζωνται ἀμετάβλητα εἶναι· ἐφ' ἑκάστης γὰρ ἡμέρας ἀλλοιούμεθα· ἀμέλει μετὰ χρόνον πολλάκις τὸν δέ τινα ἑωρακότες, φαμὲν, ἆρα οὗτός ἐστιν ὁ δεῖνα; ὡς ἀμειφθέντος αὐτοῦ, καὶ διὰ τοῦτο ἡμῶν ἐπ' αὐτῷ διισταζόντων, καὶ τὸ πάλαι εἶδος οὐκ ἐπιγινωσκόντων· οὐκ εἰσὶν οὖν τὰ ἐνταῦθα κυρίως ὄντα, ἀλλὰ τί ὄντα, ἐπειδὴ τῷ μὴ ὄντι πλησιάζουσι· τὰ δὲ πρὸς τοῖς μὴ οὖσι, σχεδὸν καὶ αὐτὰ οὐκ ὄντα εἰσί· πῶς δὲ τοῖς μὴ οὖσι γειτνιάζει; πρῶτον μὲν, ἐπειδὴ ἐνταῦθα τὸ παρελθόν ἐστι καὶ τὸ μέλλον, ταῦτα δὲ μὴ ὄντα· τὸ μὲν γὰρ ἠφάνισται καὶ οὐκέτι ἐστὶ, τὸ δὲ καὶ οὔπω ἐστί· συμπαραθέει δὲ τῷ χρόνῳ τὰ φυσικὰ πάντα· μᾶλλον δὲ τῆς κινήσεως αὐτῶν ἐστὶ παρακολούθημα ὁ χρόνος· ὥστε εἰ ὁ χρόνος ἐν ῥύσει ἐστὶ καὶ οὐχ ἕστηκεν, πολλῷ μᾶλλον καὶ τὰ ὧν ἐστὶ παρακολούθημα οὗτος, τὸ στάσιμον καὶ τὶ ὡσαύτως οὐχ ἕξει· τὰ μὲν γὰρ ὑπὸ σελήνην, πάντα ἐστὶ μεταβλητα, καὶ κατ' οὐσίαν καὶ κατὰ τὰ περὶ οὐσίαν συμβεβηκότα· τὰ δὲ οὐράνια, εἰ καὶ δοκεῖ κατ' οὐσίαν ἔχειν τὸ στάσιμον, ἀλλ' οὖν

ἐν συνεχεῖ κινήσει θεωρεῖται, καὶ οὐδέποτε κατὰ ταὐτὸ τὸ ὡσαύτως ἔχοντα, καὶ ἄλλοτε ἄλλην τὴν πρὸς ἄλληλα ποιεῖται σχέσιν· δεύτερον δὲ, ὅτι πρὸς τῆς ὕλης εἰσὶ τὰ φυσικὰ, ἥ τις οὐδέν ἐστιν· εἶδος γὰρ οὐδὲν ἔχει, ἀλλ' ἔστιν ἀνείδεος· εἰ γὰρ εἶχεν ὡρισμένην τί εἶδος, οὐδενὸς εἴδους δεκτικὴ ἐγίνετο· εἰ δὲ μηδὲν τῶν ὄντων εἶδος ἔχει, οὐκ ὄν ἐστιν· εἰ γὰρ ἀληθὲς εἰπεῖν περὶ αὐτῆς ὅτι οὔτε ὕδωρ ἐστὶν, οὔτε πῦρ, οὐκ ἄνθρωπος, οὐχ ἵππος, οὐκ ἄλλο οὐδὲν τῶν ὄντων, τὸ μὴ ὂν εἴη ἄν· οὐκοῦν εἰ πάντα τὰ φυσικὰ, καὶ ἔνυλά ἐστιν, ἡ δὲ ὕλη τὸ μὴ ὂν ἐστὶν, οὐδὲν ἄρα τῶν φυσικῶν ὄντως ὂν ἐστὶ, ἐπειδὴ καὶ τοῦ μὴ ὄντος μετέχει.

Τὰ μὲν οὖν φυσικὰ πάντα τοιαῦτα ἐστὶ· τὰ δὲ νοητὰ καὶ θεῖα εἴδη, ἀΐδια καὶ ἀμετάβλητα καθαρῶς ὄντα, καὶ ἐξ ἐκείνων παράγονται τὰ ἐνταῦθα εἴδη, οὔτε ἐξ ἑαυτῶν· ἐκ μὲν τῆς ὕλης οὐ γίνονται, ἐπειδὴ οὐ δυνατόν ἐστι τὰ κρείττονα ὑπὸ τῶν χειρόνων παράγεσθαι· ἀλλ' οὐδὲ αὐτὰ τὰ εἴδη παράγουσι, τὸ γὰρ εἶδος χρήζει τῆς ὕλης εἰς τὸ ὑποστῆναι· οὐκοῦν καὶ ἡ οὐσία αὐτοῦ ἐν αὐτῇ ἐστιν· ὅπου δὲ ἡ οὐσία, ἐκεῖ καὶ ἡ ἐνέργεια, ὡς δέδεικται τῷ Ἀριστοτέλει· τὸ δ' ἐν ἄλλῳ τὸ εἶναι ἔχον, παράγειν ἑαυτὸ οὐ δύναται· ἄλλως τε οὐδὲν ἑαυτὸ παράγειν δύναται· τὸ γὰρ παραγόμενον ἤ παράγεται οὐκ ἔστι· πῶς οὖν τὸ μὴ ὂν αὐτὸ, εἰς τὸ εἶναι παράξει; ἐκεῖθεν οὖν ἐκ τῶν ἀτρέπτων καὶ ἀϊδίων, καὶ ὄντως ὄντων τὰ ἐνταῦθα παράγονται, ἐκεῖνα δὲ ἄτρεπτά εἰσιν, ἐπειδὴ καὶ αἰώνια· οὐ γάρ ἐστι χρόνος ἐκεῖ, ἀλλὰ πάντα ἀεὶ ὄντα· οὐκ ἔστιν οὖν παρελήλυθὸς ἐκεῖ καὶ μέλλον· οὐκοῦν οὐδὲ τὸ μὴ ὄν· ὅθεν καὶ ὁ Ἀριστοτέλης εἶπε περὶ αὐτοῦ ἐν τῷ μετὰ τὰ φυσικὰ ἐλάττονι ἄλφα, ὅτι τῇ μὲν ἰδεῖν χαλεπὰ, τῇ δὲ καθαρὰ καὶ φανώτατα· φα-

νώτατα μὲν καὶ καθαρὰ πρὸς τὴν εἰκείαν φύσιν· ἐπειδὴ ὄντως ὄντα εἰσὶ, καὶ τοῦ μὴ ὄντος σὐθαμῆ μετέχουσι, καὶ τοῖς ἐνταῦθα τοῦ εἶναι εἰσὶν αἴτια· χαλεπὰ δὲ, ὅτι ἀσκαρδαμυκτὶ οὐ δυνάμεθα γνῶναι ἐκεῖνα διὰ τὴν ἡμετέραν ἀσθένειαν· ὥσπερ οὐδὲ ἀκτῖνας ἡλίου ἀτενῶς ἰδεῖν, διὰ τὸ τῶν ὁμμάτων ἀσθενὲς ἐν τῇ ἡμέρᾳ· καὶ ὁ ἡμεῖς πρὸς τὰς ἀκτῖνας ἀποβλέποντες τοῦ ἡλίου, τοῦτο καὶ ἡ ψυχὴ πάσχει ἐν τῇ τῶν νοητῶν θεωρίᾳ.

Ἄλλως τε καὶ ὡς εἴρηται ἐν τῷ Φαίδωνι, δίσκολον ἡμᾶς θεωρῆσαι τὰ νοητὰ· πρῶτον μὲν, διὰ τὸ ἐμποδίζειν ἡμῖν τὸ σῶμα, νόσοις συμφοραῖς καὶ φροντίσι μυρίαις ἐχλούμενον, διὰ ταῦτα σκοτίζον τὸν νοῦν· δεύτερον δὲ, ὅτι εἰ καὶ τοῦ σώματος καταφρονήσομεν, ἡ φαντασία προτρέχουσα, οὐκ ἐᾷ ἀκιβδήλως ἐκεῖνα θεωρῆσαι, ἀλλ' εὐθέως ὄγκους παρέχει καὶ σχήματα καὶ ἄλλα τοιαῦτα πρὸς ἐμποδισμὸν τῆς τῶν ἀσωμάτων θέας· οὐκοῦν διὰ πάντων δέδεικται, ὅτι ἐκεῖνα μὲν ἄϋλα καὶ ἄτρεπτα καὶ θεῖα, καὶ ἀεὶ κατὰ τὰ αὐτὰ, καὶ ὡσαύτως ὄντα· ταῦτα δὲ τρεπτὰ, καὶ οὐδέποτε ὡσαύτως ἔχοντα· τὰ μέν τοι οὐράνια, ὡς μεταξὺ ἀμφοτέρων ὄντα, ἐκείνοις μὲν κατὰ τὴν οὐσίαν κοινωνεῖ, ὡς ἀμετάβλητα κατὰ οὐσίαν· ἡμῖν δὲ κατ' ἐνέργειαν, μεταβλητὰ γὰρ ταῦτα, τὴν τοπικὴν μεταβολὴν ὑπομένοντα· καθ' ὃ ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς κινεῖται, καὶ ἀπὸ δυσμῶν ἐπὶ ἀνατολάς· τὸ πλεῖον οὖν ἐκείνοις κοινωνεῖ ὡς πλησιάζοντα τοῖς ἀεὶ καὶ ὡσαύτως ἔχουσιν· ὅθεν καὶ πάντες ἐκεῖ τὸν θεὸν ἱδρῦσθαι νομίζουσιν, ὡς μᾶλλον τῶν οὐρανίων τῆς ἐκείνου ἐλλάμψεως μετεχόντων· ὥσπερ γὰρ τὸν ἐγκέφαλον μᾶλλον ἀπολαύειν λέγομεν τῶν τῆς ψυχῆς ἐνεργειῶν, οὕτω καὶ τὸν οὐρανὸν τῆς τοῦ θεοῦ μᾶλλον εἰκὸς μετέχειν ἐλλάμψεως· ὅθεν καὶ τὰς

χεῖρας πάντες οἱ ἄνθρωποι εὐχόμενοι, ἄνω αἴρουσιν, ὡς ἂν ἐκεῖ τοῦ θείου κατοικοῦντος· ἐκ τούτων ἐστὶν ἐπιλύσασθαι καὶ τὸ παρὰ Πλάτωνι ἐν Τιμαίῳ εἰσηγμένον, τί τὸ ὂν ἀεὶ, γένεσιν δὲ οὐκ ἔχον; τὸ νοητὸν πᾶν, καὶ ἀΐδιον καλεῖ, διὰ τὸ πάντη ἀμετάβλητον εἶναι· γινόμενον δὲ καὶ οὐδέποτε ὄν, τὸ τῇδε πᾶν, διὰ τὸ συνεχὲς τῆς μεταβολῆς.

Ἐπιστήμην μὲν οὖσαν.

Οὕτως γὰρ καὶ ὁ Ἀριστοτέλης ἐν ταῖς ἀποδεικτικαῖς λέγει, ἐπιστήμην εἶναι τὴν ἀεὶ καὶ ὡσαύτως ἔχουσαν καὶ τὴν αὐτήν· ἐπιστήμη γὰρ εἴρηται, ἀπὸ τοῦ εἰς ἐπίστασιν ἄγειν τὴν ψυχήν· πῶς οὖν ἂν εἴη ἐπιστήμη, τῶν μὴ ἑστώτων ἀλλ' ἐν συνεχείᾳ μεταβολῆς θεωρουμένων; μόνων οὖν τῶν ἀεὶ ὄντων ἡ γνῶσις, ἐπιστήμη ἐστίν.

Διατελοῦντα ἐν τῷ κόσμῳ.

Οὐχ ὅτι ἐν τῷ κόσμῳ ὑπάρχουσι διὰ παντὸς· πῶς γὰρ, εἴπερ εἰσὶν ὑπερκόσμια; ἀλλ' ὅτι ἀεὶ τὰ ἐν τῷ κόσμῳ κοσμοῦσιν ἐπιλάμποντα τούτοις τὸ ἑαυτῶν ἀγαθὸν εἰκονικῶς.

Τῶν ὁμωνύμως ὄντων.

Ὥσπερ γὰρ ὁμωνύμως τὸ ὄντως ζῶον, καὶ τὸ γεγραμμένον καλοῦμεν, οὕτω καὶ τὰ τῇδε ὄντα· οὐ γὰρ συνωνύμως ἐκείνοις ἔχουσι προσηγορίας.

Τὴν τῆς ἐξ ἀρχῆς ἀϊδίου.

Ἀντὶ τῆς ἀρχούσης αὐτῶν ὕλης· ἅμα γὰρ τῇ ἀρχῇ καὶ ὕλη· λέγω οὖν ὅτι τὰ σωματικὰ ταῦτα εἴδη, ἐν διηνεκεῖ ῥύσει ὄντα, μιμοῦνται τῆς ὑλικῆς ἀρχῆς αὐτῶν τὸ ἄστατον· κἀκείνη γὰρ δυνάμει πάντα οὖσα τὰ εἴδη, οὐκ ἀνέχεται τὸ αὐτὸ σχεῖν εἶδος ἀεί· ὁ μέν τοι φιλόσοφος Ἀμμώνιος, ὁ ἡμέτερος διδάσκαλος, ἔφη ὅτι οὐ καλῶς εἶπε τὸ μιμεῖσθαι τὴν ὕλην, οὐδενὸς γὰρ παράδειγμά ἐστιν ἡ ὕλη·

τὶς γὰρ θέλει ὕλη γενέσθαι; ἀλλ' οὐχὶ τοῦτο οἶμαι τὸν Νικόμαχον δηλοῦν διὰ τοῦ μιμεῖσθαι, ὅτι ὡς πρὸς παράδειγμα ταύτην ἀποβλέποντα, μιμεῖται αὐτὴν τὰ εἴδη· ἀλλ' ὡς εἰ ἔλεγεν, ὅτι τὰ αἰσθητὰ διὰ τοῦτο ἐν συνεχεῖ ἐστὶ μεταβολῇ, τῇ οἰκείᾳ ἀρχῇ τῇ ὕλῃ φησὶ συνεξεμισύμενα τῷ μὴ δύνασθαι διὰ τὸ ἄστατον αὐτῆς, ἐν αὐτῇ εἶναι ἀεί· ὥσπερ ἂν εἰ καὶ τὸν ἐν πλοίῳ δινεῖσθαι, καὶ αὐτὸν ἰδίᾳ, καὶ πάντα νομίζοντα, λέγοι τὶς τὸ ἄσατον πλοίου μιμεῖσθαι.

Δι' ὅλης ἦν τρεπτὴ καὶ ἀλλοιωτή.

Κακῶς εἶπε καὶ τοῦτο, ὡς ἔφη ὁ αὐτὸς ἡμῶν διδάσκαλος· ἔδει γὰρ εἰπεῖν τρεπτικὴ καὶ ἀλλοιωτική· περὶ αὐτὴν γὰρ αἱ τροπαὶ καὶ ἀλλοιώσεις γίνονται, οὐ δήπου γὰρ αὐτὴ τρέπεται ἢ ἀλλοιοῦται· εἰ γὰρ αὐτὴ ἐτρέπετο, ἐδέετο ἑτέρας ὕλης, ἐν ᾗ ἔμελλεν ἀλλοιοῦσθαι καὶ τρέπεσθαι· ὥστε αὐτὴ μὲν ἄτρεπτος καὶ ἀναλλοίωτος, τὰ δὲ περὶ αὐτὴν εἴδη ἀλλοιοῦνται· λέγω δὴ ποσότητες, καὶ ποιότητες, καὶ διαθέσεις καὶ ἐνέργειαι, καὶ πηλικότητες, μᾶλλον δὲ τὸ σύνθετον, κατὰ ταύτην τὴν ἀλλοίωσιν ὑπομένει· τὸ μὲν γὰρ ἀλλοιούμενον, ὑπομένειν δεῖ καὶ ὅλως τὸ κινούμενον· ταῦτα δὲ οὐχ ὑπομένει, ὅταν κατ' αὐτὰ ἡ ἀλλοίωσις γένηται· τὸ γὰρ ἐκ λευκοῦ γινόμενον μέλαν, οἷον ἄνθρωπος, αὐτὸς μὲν ὑπομένει, ἐξισάμενον δὲ τοῦ λευκοῦ, ἀντιλαμβάνει τὸ μέλαν· ἔσι δὲ πάλιν ἀπολογούμενον ὑπὲρ τοῦ Νικομάχου λέγειν· ὅτι τὸ ὅλη δι' ὅλης τρέπεται, οὐχ ὡς καὶ αὐτῆς καθὸ ὕλη ἐστὶ μεταβαλλούσης καὶ ἐξισταμένης τοῦ εἶναι ὕλη, ἀλλ' ὥσπερ ἂν εἴπειμεν ὅλον δι' ὅλου τὸν χαλκὸν εἰς τὰ ἐν αὐτῷ γινόμενα χαλκευτικὰ εἴδη τρέπεσθαι κ. τ. λ.

Hactenus, speciminis ergo, edidisse interim sufficit.

DE FRAGMENTIS HISTORICIS TUSCULANIS.

Quum essem in rure tusculano, mense maio, anno .M.DCCC.XLII., ob reparandas valetudinis affectae vires, adivi interdum proximi monasterii Basilianorum, quod vulgo dicitur Cryptae ferratae, bibliothecam, olim quidem graecis codicibus abunde instructam, nunc autem valde imminutam, postquam eius pars melior et maxima in vaticanum palatium sub pontificibus Sixto V, Paulo V, et Pio VI. transiit; quos ego plerosque codices Romae ante hos annos non solum vidi, verum etiam manu tractavi, quum vaticanae bibliothecae praecessem. Et quidem S. Sophronii historiam miraculorum SS. Cyri et Ioh. e codice cryptensi, nunc vaticano, sumptam, in tertio huius Spicilegii volumine edidi. Alios insuper eiusdem coenobii codices ad Barberiniorum bibliothecam translatos Urbani VIII. nutu, narrat Rodotà in historia graeci apud Italos ritûs lib. II. cap. 11. Nec vero dubito quin alia praeterea detrimenta bibliothecae illi, ut fit, contigerint a lapsu temporis, a loci per politicas conversiones solitudine et vastitate, et ab hominum quandoque improbitate. Itaque nec ille famigeratus Aesopi codex, quem rumor inter doctos diditus, apud Cryptam ferratam servari tradidit, nunc certe uspiam apparet: etsi ego suspicor plus fortasse in hac fama latere fabulae, quam fabularum in eo codice umquam extitisse. Modicus igitur illic remanet graecorum codicum numerus (nam de latinis sileo) rem asceticam, hagiologicam, et liturgicam ferme spectantium: scio tamen me ibi vidisse Galeni quoque partem, iuris civilis tractatum, lexici fragmentum, scholia parva ad Homerum, item odysseam, et iliadis fragmentum, et ut puto pauca alia, inter

quae priscarum haeresum, si bene memini, quandam historiam. Sed quantula demum haec sunt prae copia vetere, et prae romanarum bibliothecarum lautissimis opibus? Illud peculiare cryptensium codicum est, quod paene omnes in palimpsestis scripti fuerunt. Etenim hoc in more positum apud illos monachos fuisse videtur, ut numquam fere novus codex exararetur, quin alicuius prisci et obsoleti membranae huic usui accommodarentur. Magna est igitur in iis codicibus sepultarum scripturarum seges, quae primo quidem aspectu curiositatem legentis prolicit, mox tamen notae ut plurimum rei satietate studium infringit.

Quamquam igitur in his pusillis codicum reliquiis parum aut nihil immorandum mihi censebam, praesertim ne valetudinem labore obtunderem, mentem tamen parumper defixi in quodam palimpsesto, quem multos quoque ante annos vidisse memineram, iliadis dico fragmentum, saeculo XIV. desinente scriptum, cuius membranae ex variorum codicum ruina collectae, diversas sub Homero scripturas exhibent, grandioris quidem et priscae formae, sed praeter unam, liturgici vel certe sacri argumenti omnes. Ergo his omissis, unicam illam scripturam spectare coepi, quae studium meum magis commovebat, quia graeci imperii ecclesiaeque res gestas continebat; quam tamen in quatuor tantum paribus foliis, id est sexdecim paginis, coarctatam comperi; quorum foliorum nexus ita se habet. Fol. 62-69. Fol. 63-68. Fol. 64-67. Fol. 65-66. Ex his paribus foliis duo perverse complicata fuisse animadverti ab eo qui rescripsit codicem; ita ut nunc folium simplex 69 praeponendum sit simplici 62; itemque simplex 67 simplici 64. Ergo his quatuor foliorum inventis paribus, speravi primo me integrum codicis quaternionem tenere, ideoque materiae seriem fore continuam: sed ea spes illico evanuit; etenim

in primo folio (sic enim foliorum ordinem mihi demonstrat temporum series) expeditio persica Iuliani imp. narratur: in secundo sunt res Arcadii, et mox filii eius Theodosii: in tertio res sub hoc Theodosio paulo serius gestae: in quarto demum Iustiniani magni aetas decurrit. Necessario itaque paria haec foliorum, interiectis lacunis, invicem absunt. Quamvis autem paria ipsa foliorum inter se distant, simplicia tamen, uno excepto, cohaerent: vel, ut clarius loquar, fragmenta tria I. III. IV. continuam singula totis paginis dictionem continent; secundo excepto, in quo simplex folium 67. non continuatur a folio 64. Itaque tria illa fragmenta, quaternionum totidem intima fuerunt folia; secundum non item: quam rem palimpsestorum seu codicum periti mecum facile intelligent.

Quae quum ita se haberent (neglecto Homero, quod est per se nullius pretii fragmentum, prae tot integris et antiquioribus iliadis codicibus alibi obviis) ad exscribendam sub Homero sepultam historici graeci scripturam incumbere coepi; cuius etsi partes aliquot erant conspicuae, pleraeque tamen ita obrutae, ut nulla prope vi suscitari posse viderentur. Gravi demum conatu, multaque animi et oculorum per splendidiores dici horas molestia perfunctus, quicquid in his plagulis fuerat, in adversaria retuli; et me Romam ad graecos christianorum temporum historicos lectitandos contuli. Hactenus enim mihi constabat, hunc historicum magno vivente Iustiniano scripsisse, qui in postremo folio ter ab eo dicitur ὁ δεσπότης ἡμῶν *dominus noster*, quod nonnisi de vivente principe dici solet. Multis igitur consultis historicis, quorum ratio in scholiis habebitur, unum prae ceteris Iohannem Malalam grandiores historici mei partes usurpasse cognovi, Iuliani scilicet augusti tractum, et Areobindi monomachiam, aliasque aliquot partes:

quin tamen ipse Malalas fragmentorum nostrorum auctor esse possit. Nam praeter quam quod Humphredus Hodius Malalam longe recentiorem Iustiniano fuisse, satis demonstravit in prolegomenis ad eundem cap. XV-XXIX, sunt multa in his fragmentis quae modo a Malalae historia absunt, modo discrepant. Ceteroqui byzantinorum sequioris aevi scriptorum hunc perpetuum ac molestissimum morbum fuisse scimus, ut alter alterum impudentissime exscripserit. Et quidem praestans in his Theophanes fatetur in praefatione, nihil se de suo penu depromere, sed omnia ex priscis ante se scriptoribus sumere, ordine tantum temporum a se concinne disposito: quem deinde ordinem Georgius Hamartolus, non contemnendus profecto historicus, secutus est, cuius chronicas tabulas in mss. codicibus persimiles video. Chronici paschalis insuper, Cedreni, Glycae, Zonarae, Nicephori Callisti, aliorumque de corpore byzantinae collectionis scriptorum, quis plagia non videt? quis recoctam crambem non aversatur? Ac de eodem plagii crimine postulandi sunt inediti quoque chronographi, v. gr. Iohannes siculus, Theodosius melitinus, atque alii quos in vaticanis codicibus indemtidem vidi.

Ab hac tamen byzantinorum quasi reiectione, tusculana seu cryptensia fragmenta prorsus excipio; non tam ut meae rusticationis fructus aliquis extet, quam quia reliquiae hae utpote hominis sub Iustiniano, ut dixi, scribentis, ideoque praedictis omnibus antiquioris, sub illis homericae vestis involucris relinquendae non erant. Immo et meam interpretationem latinam adiungendam esse putavi. Namque, ut legenti constabit, et novi aliquid continent, et in aliis historicis quaedam emendant, et fontem unde multi hauserunt demonstrant. Quis Gargilii Martialis quaternionem neapolitanum non edendum iudicasset, propterea quod rei rusticae scriptor Palla-

